ΜΥΣΤΙΚΗ ΠΡΟΣΕΥΧΗ
ΤΟΥ ΜΕΤΑΞΥ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΑ ΜΑΣ ΣΥΜΕΩΝ ΜΕ ΤΗΝ ΟΠΟΙΑ ΕΠΙΚΑΛΕΙΤΑΙ ΤΟ ΑΓΙΟ ΠΝΕΥΜΑ ΠΟΥ ΤΟ ΠΡΟΟΡΑ

Ἔλα ἐσὺ τὸ φῶς τὸ ἀληθινό[1], ἔλα ἡ αἰώνια ζωή, ἔλα τὸ μυστήριο ποὺ εἶναι κρυμμένο, ἔλα ὁ θησαυρὸς ποὺ δὲν μπορεῖ νὰ ὀνομαστεῖ, τὸ πράγμα ποὺ δὲν μπορεῖ νὰ ἐκφωνηθεῖ, ἐσὺ τὸ ἀκατανόητο πρόσωπο, ἡ ἀγαλλίαση ἡ παντοτινή· ἔλα τὸ φῶς τὸ ἀνέσπερο, ἡ ἀληθινὴ προσδοκία ὅλων ὅσοι πρόκειται νὰ σωθοῦν, ἔλα ἐσὺ ἡ ἔγερση ὅσων κείτονται στὴ γῆ, ἡ ἀνάσταση τῶν νεκρῶν[2], ἔλα ἐσὺ ὁ δυνατός, ποὺ δημιουργεῖς τὰ πάντα καὶ τὰ μεταπλάθεις καὶ τ' ἀλλοιώνεις μὲ τὴ θέλησή σου μόνο! Ἔλα ἐσὺ ὁ ἀόρατος καὶ ὁ ὁλότελα ἀνέγγιχτος καὶ ἀψηλάφητος, ἔλα ἐσὺ ποὺ μένεις πάντοτε ἀμετακίνητος καὶ ποὺ κάθε στιγμὴ μετακινεῖσαι ἀκέραιος κι ἔρχεσαι σ' ἐμᾶς ποὺ κειτόμαστε στὸν Ἅδη, ἐσὺ ποὺ εἶσαι πάνω ἀπὸ ὅλους τοὺς οὐρανούς[3]· ἔλα ἐσὺ τὸ πολυπόθητο ὄνομα ποὺ τὸ λένε τὰ στόματα ὅλων, ἀλλὰ εἶναι ὁλότελα ἔξω ἀπὸ τὰ μέτρα μας νὰ ποῦμε ἐμεῖς τί ἦσουν ἢ νὰ μαθευτεῖ ποιός καὶ τί λογῆς εἶσαι. Ἔλα ἐσὺ ἡ χαρὰ ἡ αἰώνια, τὸ στεφάνι ἀπὸ ἀμάραντα[4], ἡ πορφύρα τοῦ μεγάλου Θεοῦ καὶ βασιλιᾶ μας, ἡ ζώνη ἀπὸ κρύσταλλα καὶ πολύτιμη πέτρα, τὸ σανδάλι τὸ ἀπρόσιτο, ὁ ἅλικος βασιλικὸς μανδύας καὶ ἡ αὐτοκρατορικὴ πράγματι δεξιά! Ἔλα ἐσὺ ποὺ πόθησε καὶ ποθεῖ ἡ ταλαίπωρη ψυχή μου, ἔλα ὁ μόνος ἐσὺ στὸ μόνο ἐμένα, γιατὶ εἶμαι μόνος ὅπως βλέπεις. Ἔλα ἐσὺ ποὺ μὲ χώρισες ἀπὸ ὅλους καὶ μ' ἔκανες μόνο πάνω στὴ γῆ. Ἔλα ἐσὺ ποὺ ἔγινες ὁ πόθος

4. Α' Πέτρ. 5,4.

πόθος αὐτὸς ἐν ἐμοὶ καὶ ποθεῖν σε ποιήσας με, τὸν ἀπρόσιτον παντελῶς! Ἐλθὲ ἡ πνοή μου καὶ ἡ ζωή, ἐλθὲ ἡ παραμυθία τῆς ταπεινῆς μου ψυχῆς, ἐλθὲ ἡ χαρὰ καὶ ἡ δόξα καὶ ἡ διηνεκής μου τρυφή!

Εὐχαριστῶ σοι, ὅτι ἓν πνεῦμα ἐγένου μετ' ἐμοῦ, ἀσυγχύτως, ἀτρέπτως, ἀναλλοιώτως ὁ ἐπὶ πάντων Θεός, καὶ αὐτός μοι τὰ πάντα ἐν πᾶσι γεγένησαι, τροφὴ ἀνεκλάλητος καὶ εἰς ἅπαν ἀδάπανος, ἀεννάως ὑπερεκχεομένη τοῖς τῆς ἐμῆς ψυχῆς χείλεσι καὶ ὑπερεκβλύζουσα ἐν τῇ πηγῇ τῆς καρδίας μου, ἔνδυμα ἀπαστράπτον καὶ καταφλέγον τοὺς δαίμονας, κάθαρσις διὰ ἀφθάρτων καὶ ἁγίων δακρύων ἐκπλύνουσά με, ὧν ἡ σὴ παρουσία, πρὸς οὓς παραγίνῃ, χαρίζεται. Εὐχαριστῶ σοι, ὅτι φῶς ἀνέσπερόν μοι γεγένησαι καὶ ἥλιος ἄδυτος, ποῦ κρυβῆναι μὴ ἔχων ὁ πληρῶν τῆς σῆς δόξης τὰ σύμπαντα. Οὐδέποτε γὰρ ἀπεκρύβης ἀπό τινος, ἀλλ' ἡμεῖς ἀεὶ κρυπτόμεθα ἀπὸ σοῦ, ἐλθεῖν πρὸς σὲ μὴ βουλόμενοι. Ποῦ γὰρ καὶ κρυβήσῃ ὁ μηδαμοῦ ἔχων τόπον τῆς σῆς καταπαύσεως; Ἢ διὰ τί, ὁ μήποτε ἀποστρεφόμενος τῶν πάντων τινά, μήτε τινὰ αὐτῶν ἐντρεπόμενος; Νῦν οὖν ἐνσκήνωσον, Δέσποτα, ἐν ἐμοὶ καὶ κατοίκησον καὶ μεῖνον ἀδιαστάτως, ἀχωρίστως μέχρι τέλους ἐν ἐμοί, τῷ δούλῳ σου, ἀγαθέ, ἵνα κἀγὼ εὑρεθῶ ἐν τῇ ἐξόδῳ μου καὶ μετὰ τὴν ἔξοδον ἐν σοί, ἀγαθέ, καὶ συμβασιλεύσω σοι, τῷ ἐπὶ πάντων Θεῷ! Μεῖνον, Δέσποτα, καὶ μὴ ἐάσῃς με μόνον, ἵνα ἐρχόμενοι οἱ ἐχθροί μου, οἱ ζητοῦντες ἀεὶ τοῦ καταπιεῖν τὴν ψυχήν μου καὶ εὑρίσκοντές σε μένοντα ἐν ἐμοί, φεύξωνται παντελῶς καὶ μὴ ἰσχύσωσι κατ' ἐμοῦ, βλέποντές σε, τὸν ἰσχυρότερον πάντων, ἔνδοθεν καθήμενον ἐν τῇ οἰκίᾳ τῆς ταπεινῆς μου ψυ-

5. Πράξ. 17,25. 6. Α' Κορ. 6,18.
7. Ρωμ. 3,5 καὶ Α' Κορ. 15,28. 8. Παρμ. 5,16.
9. Πράξ. 7,49. 10. Ἰω. 1,14 καὶ Ἐφ. 3,17.

τῆς ψυχῆς μου καὶ μ' ἔκανες νὰ σὲ ποθῶ, ἐσένα τὸν τελείως ἀπροσέγγιστο. Ἔλα ἡ πνοή μου καὶ ἡ ζωή μου[5], ἡ παρηγοριὰ τῆς ταπεινῆς ψυχῆς μου· ἔλα ἡ χαρὰ καὶ ἡ δόξα καὶ ἡ τρυφή μου ἡ ἀτελείωτη!

Σ' εὐχαριστῶ ποὺ ἔγινες ἕνα πνεῦμα μαζί μου[6], ἀλλὰ ἀσύγχυτα καὶ δίχως τροπὴ καὶ μεταβολή, ἐσὺ ὁ Θεὸς τῶν ὅλων[7], κι ἔγινες γιὰ χάρη μου τὰ πάντα μέσα στὰ πάντα, τροφὴ ἀνεξήγητη καὶ γιὰ πάντα ἀδαπάνητη ποὺ ἀέναα ξεχειλίζει ἀπὸ τὴν ψυχή μου κι ἀναπηδᾶ ἀπὸ τὴν πηγὴ τῆς καρδιᾶς μου[8], φόρεμα ποὺ βγάζει φλόγες καὶ κατακαίει τοὺς δαίμονες ποὺ γίνεσαι ἡ κάθαρσή μου καὶ μὲ ξεπλένεις μὲ ἄφθαρτα καὶ ἅγια δάκρυα, ποὺ χαρίζει ἡ παρουσία σου σ' ὅποιους ἐπισκεφτεῖς. Σ' εὐχαριστῶ γιατὶ μοῦ ἔχεις γίνει ἀνέσπερο φῶς καὶ ἀβασίλευτος ἥλιος ποὺ δὲν ἔχεις ποῦ νὰ βασιλέψεις ἐσὺ ποὺ γεμίζεις τὰ σύμπαντα μὲ τὴ δόξα σου. Ποτὲ δὲν ἔχεις κρυφτεῖ γιὰ κάποιον, ἀλλὰ εἴμαστε ἐμεῖς ποὺ κρυβόμαστε ἀπὸ ἐσένα μὴ θέλοντας νὰ ρθοῦμε κοντά σου. Ποῦ θὰ κρυφτεῖς ἐσὺ ποὺ δὲν ὑπάρχει πουθενὰ ὁ τόπος τῆς ἀνάπαυσής σου[9]; Ἢ γιατί νὰ κρυφτεῖς Ἐσὺ ποὺ δὲν ἀποστρέφεται τίποτε ἀπὸ τὰ πάντα οὔτε προσκαλεῖς κάποια μόνο ἀπὸ αὐτά. Τώρα λοιπόν, Κύριε, κατασκήνωσε καὶ κατοίκησε μέσα μου[10] καὶ μεῖνε μέσα μου ὥς τὸ τέλος ἑνωμένος μαζί μου κι ἐχώριστος ἀπὸ μένα τὸ δοῦλο σου, ἐσὺ ὁ ἀγαθός, γιὰ νὰ βρεθῶ κι ἐγὼ μέσα σ' ἐσένα κατὰ καὶ μετὰ τὴν ἔξοδό μου[11] καὶ νὰ ζήσω στὴ βασιλεία σου[12], πανάγαθε, τῶν ὅλων, Θεέ[13]. Μεῖνε, Δέσποτα, καὶ μὴ μ' ἀφήσεις μόνο, ὥστε, ἐρχόμενοι οἱ ἐχθροί μου ποὺ ζητοῦν πάντοτε νὰ καταπιοῦν τὴν ψυχή μου[14] καὶ βρίσκοντας νὰ μένεις μέσα μου, νὰ ἐγκαταλείψουν τὸν ἀγώνα τους καὶ νὰ μὴ μπορέσουν νὰ μὲ καταβάλουν, ἀντικρίζοντας ἐσένα, τὸν ἰσχυρότερο ὅλων[15], νὰ κάθεσαι μέσα στὴν οἰκία τῆς ταπεινῆς μου ψυχῆς. Ναί, Κύριε, ὅπως μὲ θυμήθηκες, ὅταν ζοῦσα

---

11. Φιλ. 3,9.
12. Β' Τιμ. 2,12. 13. Ρωμ. 9,5.
14. Α' Πέτρ. 5,8. 15. Μάρκ. 3,27.

χῆς. Ναί, Δέσποτα, ὡς ἐμνήσθης μου, ὅτε ἐν τῷ κόσμῳ ἐτύγχανον καὶ ἀγνοοῦντάς μου αὐτὸς ἐξελέξω με καὶ ἀπὸ τοῦ κόσμου ἐχώρισας καὶ πρὸ προσώπου τῆς δόξης σου ἔστησας, οὕτω καὶ νῦν ἔνδον ἱστάμενόν με εἰς ἀεὶ καὶ ἀμετακίνητον ἐν τῇ ἐν ἐμοὶ οἰκήσει σου διαφύλαξον, ἵνα βλέπων σε διηνεκῶς ὁ νεκρὸς ἐγὼ ζῶ καὶ ἔχων σε ὁ πένης ἀεὶ πλουτῶ καὶ βασιλέων πάντων ἔσομαι πλουσιώτερος καὶ ἐσθίων καὶ πίνων σε καὶ καθ' ὥραν ἐπενδυόμενος ἐν ἀνεκλαλήτοις ὢ καὶ ἔσομαι ἐντρυφῶν ἀγαθοῖς, ὅτι σὺ ὑπάρχεις πᾶν ἀγαθὸν καὶ πᾶσα δόξα καὶ πᾶσα τρυφὴ καὶ σοὶ πρέπει ἡ δόξα, τῇ Ἁγίᾳ καὶ Ὁμοουσίῳ καὶ Ζωοποιῷ Τριάδι, τῇ ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι σεβομένῃ τε καὶ γνωριζομένῃ καὶ προσκυνουμένῃ καὶ λατρευομένῃ ὑπὸ πάντων πιστῶν νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

μέσα στὸν κόσμο καὶ χωρὶς νὰ τὸ ξέρω μὲ ἐξέλεξες καὶ μὲ χώρισες ἀπὸ τὸν κόσμο καὶ μὲ ἔβαλες νὰ σταθῶ ἀπέναντι στὴ δόξα σου[16], ἔτσι καὶ τώρα φύλαξέ με νὰ στέκομαι πάντοτε ἀμετακίνητος στὴν μέσα μου κατοικία σου, γιὰ νὰ σὲ βλέπω ἀδιάκοπα ὁ νεκρὸς ἐγὼ[17] καὶ νὰ κρατιέμαι ζωντανός, νὰ σὲ ἔχω ἐγὼ ὁ φτωχὸς καὶ νὰ πλουτῶ πάντα καὶ νὰ εἶμαι πλουσιότερος ἀπὸ ὅλους τοὺς βασιλιάδες καὶ τρώγοντας καὶ πίνοντας κι ἀλλάζοντας κάθε ὥρα φορέματα νὰ ζῶ μέσα σὲ ἀνείπωτη τρυφὴ καὶ εὐτυχία[18]. Γιατὶ ἐσὺ εἶσαι κάθε ἀγαθὸ καὶ κάθε δόξα καὶ κάθε τρυφὴ καὶ σὲ σένα πρέπει ἡ δόξα, στὴν Ἁγία καὶ Ὁμοούσιο καὶ Ζωοποιὸ Τριάδα, ποὺ τὴν πιστεύομε καὶ τὴν ἀναγνωρίζομε στὰ πρόσωπα τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος καὶ τὴν προσκυνοῦμε καὶ τὴ λατρεύομε ὅλοι οἱ πιστοὶ τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

16. Ἰούδα 24.
17. Λουκᾶ 15,25 καὶ Ρωμ. 13,14.
18. Λουκᾶ 15,22 καὶ Ἰω. 6,54.

ΤΩΝ ΘΕΙΩΝ ΥΜΝΩΝ ΟΙ ΕΡΩΤΕΣ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΜΕΓΑΛΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΥΜΕΩΝ ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ, ΗΓΟΥΜΕΝΟΥ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΥ ΓΕΓΟΝΟΤΟΣ ΜΟΝΗΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΜΑΝΤΟΣ ΤΗΣ ΞΗΡΟΚΕΡΚΟΥ

Ὁ πίναξ τῶν θείων ἐρώτων

Σελὶς

α *Περὶ θείας ἐλλάμψεως καὶ φωτισμοῦ Πνεύματος ἁγίου· και ὅτι εἷς τόπος ὁ Θεός, ἐν ᾧ μετὰ πότμον τὴν ἀνάπαυσιν πάντες οἱ ἅγιοι ἔχουσι· καὶ ὅτι ὁ τοῦ Θεοῦ ἐκπίπτων ἐν ἑτέρῳ τόπῳ οὐχ ἕξει τὴν ἀνάπαυσιν ἐν τῇ μελλούσῃ ζωῇ.* 50–65

β *Τίς ἡ ἐπὶ τῷ πατρὶ τούτῳ γενομένη ἀλλοίωσις καὶ πῶς καθαρθεὶς εἰς ἄκρον ἡνώθη Θεῷ καὶ οἷος ἐξ οἵου ἐγένετο, οἱ πρὸς Θεὸν ἐρωτικοὶ αὐτοῦ λόγοι δηλοῦσιν ἐντεῦθεν· ὃς καὶ θεολογῶν λέγει πρὸς τὸ τέλος περὶ ἀγγέλων.* 66–75

γ *Τίς ὁ μοναχὸς καὶ τίς ἡ αὐτοῦ ἐργασία· καὶ εἰς οἷον ὕψος οὗτος ὁ θεῖος πατὴρ θεωρίας ἀνῆλθεν.* 76–77

δ *Διδασκαλία εἰς μοναχοὺς ἀποταξαμένους ἄρτι κόσμῳ καὶ τοῖς ἐν κόσμῳ· καὶ περὶ τοῦ, ὁποίαν τις ὀφείλει πίστιν πρὸς τὸν ἴδιον ἔχειν πατέρα.* 78–85

ε *Ἀλφάβητος κατὰ στοιχεῖον διπλοῦς, προτρέπων καὶ ὁδηγῶν εἰς τελειότητα τοῦ βίου ἀναδραμεῖν τὸν ἄρτι ἀπὸ τοῦ κόσμου ἀναχωρήσαντα.* 86–89

ς *Τετράστιχα τοῦ αὐτοῦ, τὸν πρὸς Θεὸν αὐτοῦ ἐντεῦθεν δεικνύοντα ἔρωτα.* 90–93

ΟΙ ΕΡΩΤΕΣ ΤΩΝ ΘΕΙΩΝ ΥΜΝΩΝ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΜΕΓΑΛΟΥ ΠΑΤΕΡΑ ΜΑΣ ΣΥΜΕΩΝ ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ · ΠΟΥ ΥΠΗΡΞΕ ΗΓΟΥΜΕΝΟΣ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΣ ΤΗΣ ΜΟΝΗΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΜΑΝΤΟΣ ΤΗΣ ΞΗΡΟΚΕΡΚΟΥ

Πίνακας τῶν θείων ἐρώτων

α Περὶ θείας ἔλλαμψης καὶ φωτισμοῦ τοῦ ἁγίου Πνεύματος. Καὶ ὅτι ὁ Θεὸς εἶναι ἕνας τόπος, ὅπου μετὰ τὸ θάνατο βρίσκουν ὅλοι οἱ ἅγιοι τὴν ἀνάπαυσή τους· καὶ ὅτι ὅποιος ἐκπίπτει ἀπὸ τὸ Θεὸ σὲ ἄλλο τόπο δὲ θὰ βρεῖ ἀνάπαυση στὴ μέλλουσα ζωή. 50-65

β Ποιά εἶναι ἡ ἀλλοίωση ποὺ ἔγινε σ' αὐτὸν τὸν πατέρα καὶ πῶς τέλεια καθαρμένος ἑνώθηκε μὲ τὸ Θεό, καθὼς καὶ πῶς ἦταν προηγουμένως καὶ πῶς ἔγινε ἔπειτα· αὐτὰ δηλώνουν ἐδῶ οἱ ἐρωτικοί του λόγοι πρὸς τὸ Θεό· θεολογώντας μιλᾶ πρὸς τὸ τέλος καὶ γιὰ τοὺς ἀγγέλους. 66-75

γ Ποιός εἶναι ὁ μοναχὸς καὶ ποιό εἶναι τὸ ἔργο του· καὶ σὲ ποιό ὕψος θεωρίας ἀνέβηκε ὁ θεῖος αὐτὸς πατέρας. 76-77

δ Διδασκαλία πρὸς μοναχοὺς ποὺ ἀρνήθηκαν πρόσφατα τὸν κόσμο καὶ τὰ κοσμικὰ πράγματα. 'Ακόμα γιὰ τὸ πόση ἐμπιστοσύνη ὀφείλει νὰ ἔχει κάποιος στὸ δικό του πατέρα. 78-85

ε Πίνακας διπλὸς σύμφωνα μὲ τὰ στοιχεῖα τοῦ ἀλφαβήτου, ποὺ προτρέπει καὶ ὁδηγεῖ νὰ σπεύσει γιὰ τὴν τελειότητα τοῦ βίου αὐτὸν ποὺ μόλις ἀναχώρησε ἀπὸ τὸν κόσμο. 86-89

στ Τετράστιχα τοῦ ἴδιου, ποὺ δείχνουν ἀπὸ ἐδῶ τὸν ἔρωτά του πρὸς τὸ Θεό. 90-93

		Σελὶς
ζ	Ἔντευξις τοῦ αὐτοῦ εἰς Θεόν, καὶ ὅπως Θεῷ συναπτόμενος καὶ δόξαν Θεοῦ ὁρῶν ἐν ἑαυτῷ ἐνεργοῦσαν ἐξεπλήττετο.	94–97
η	Τίσι Θεὸς ἐμφανίζεται καὶ τίνες ἐν ἕξει γίνονται τοῦ καλοῦ διὰ τῆς τῶν ἐντολῶν ἐργασίας.	98–105
θ	Ὅτι ὁ τοῦ ἁγίου Πνεύματος μέτοχος γεγονὼς ὑπὸ τοῦ φωτὸς καὶ τῆς δυνάμεως αὐτοῦ ἁρπαζόμενος ἐπάνω πάντων φέρεται τῶν παθῶν, μὴ βλαπτόμενος τῷ πλησιασμῷ ὑπ' αὐτῶν.	106–109
ι	Ὅτι ὁ θάνατος καὶ τῶν στερεωτέρων τῇ λύπῃ καθάπτεται.	110–111
ια	Ὅπως ὠράθη αὐτῷ Θεὸς ὡς Στεφάνῳ καὶ Παύλῳ τοῖς ἀποστόλοις, ἐνταῦθα ὁ πατὴρ ἐκπληττόμενος διηγεῖται.	112–119
ιβ	Περὶ τοῦ ἑνὸς κατὰ πάντα τῆς τρισυποστάτου θεότητος θεολογία· καὶ δι' ὧν τῇ ταπεινώσει χρώμενος λέγει περὶ ἑαυτοῦ, τῶν δοκούντων εἶναί τι ἐντρέπει τὴν οἴησιν.	120–129
ιγ	Προτροπὴ εἰς μετάνοιαν, καὶ πῶς τὸ θέλημα τῆς σαρκὸς τῷ θελήματι τοῦ πνεύματος ἑνωθὲν θεοειδῆ τὸν ἄνθρωπον ἀπεργάζεται.	130–137
ιδ	Εὐχαριστία πρὸς Θεὸν τῶν δωρεῶν ἕνεκα, ὧν παρ' αὐτοῦ ἠξιώθη· καὶ ὅτι φρικτὸν καὶ ἀγγέλοις τὸ τῆς ἱερωσύνης καὶ ἡγουμενείας ἀξίωμα.	138–145
ιε	Ὅπως βλέπων τὴν δόξαν τοῦ Θεοῦ ἐνεργεῖτο ὑπὸ τοῦ ἁγίου Πνεύματος· καὶ ὅτι τὸ Θεῖον ἐντὸς καὶ ἐκτός ἐστι τοῦ παντός, ἀλλὰ καὶ ληπτόν τε καὶ ἄληπτον τοῖς ἀξίοις· καὶ ὅτι οἶκος Δαυὶδ ἡμεῖς ἐσμεν καὶ ὅτι εἰς πολλὰ γινόμενος ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν μέλη, εἷς ἐστι καὶ ὁ αὐτός, μένων ἀμέριστός τε καὶ ἀναλλοίωτος.	146–163
ιϛ	Ὅτι ποθεινόν τε καὶ ἐπιθυμητὸν κατὰ φύσιν μόνον τὸ Θεῖον, οὗ ὁ μετέχων πάντων ἐν μετοχῇ γέγονε τῶν καλῶν.	164–167
ιζ	Ὅτι ὁ φόβος γεννᾷ τὴν ἀγάπην, ἡ δὲ ἀγάπη ἐκριζοῖ τὸν φόβον ἀπὸ τῆς ψυχῆς καὶ μένει μόνη ἐν αὐτῇ, Πνεῦμα θεῖον οὖσα καὶ ἅγιον.	168–221
ιη	Διδασκαλία σὺν θεολογίᾳ περὶ τῶν ἐνεργειῶν τῆς ἁγίας ἀγάπης, ἤγουν αὐτοῦ τοῦ φωτὸς τοῦ ἁγίου Πνεύματος.	222–237

ζ Προσευχὴ τοῦ ἴδιου στὸ Θεὸ καὶ πόση ἔκπληξη δοκίμαζε ὅταν ἑνωνόταν μὲ τὸ Θεὸ κι ἔβλεπε νὰ ἐνεργεῖ μέσα του ἡ δόξα τοῦ Θεοῦ. 94-97

η Σὲ ποιούς φανερώνεται ὁ Θεὸς καὶ ποιοί κάνουν συνήθειά τους τὸ καλὸ μὲ τὴν ἐκτέλεση τῶν ἐντολῶν. 98-105

θ Ὅτι, ὅποιος ἔγινε μέτοχος τοῦ ἁγίου Πνεύματος ἁρπαζόμενος ἀπὸ τὸ φῶς καὶ τὴ δύναμή του, ὑψώνεται πάνω ἀπὸ τὰ πάθη χωρὶς νὰ τὸν βλάπτει ἡ προσέγγισή τους. 106-109

ι Ὅτι ὁ θάνατος πληγώνει ἀκόμα καὶ τοὺς δυνατοὺς μὲ τὴ λύπη ποὺ προκαλεῖ. 110-111

ια Ἐδῶ ὁ πατέρας διηγεῖται μὲ ἔκπληξη πὼς φανερώθηκε σ' αὐτὸν ὁ Θεὸς ὅπως στοὺς ἀποστόλους Παῦλο καὶ Στέφανο. 112-119

ιβ Θεολογία γιὰ τὸ ὅτι εἶναι ἕνα ἡ τρισυπόστατη θεότητα καὶ πῶς μὲ ὅσα λέει μὲ ταπεινοσύνη γιὰ τὸν ἑαυτό του ἀποτρέπει τὴν οἴηση ὅσων νομίζουν σπουδαῖο τὸν ἑαυτό τους. 120-129

ιγ Προτροπὴ σὲ μετάνοια καὶ πῶς ἑνωμένο τὸ θέλημα τῆς σάρκας μὲ τὸ θέλημα τοῦ Πνεύματος κάνει τὸν ἄνθρωπο θεόμορφο. 130-137

ιδ Εὐχαριστία στὸ Θεὸ γιὰ τὶς δωρεὲς ποὺ ἀξιώθηκε ἀπὸ αὐτόν, καὶ ὅτι τὸ ἀξίωμα τῆς ἱερωσύνης καὶ ἡγουμενείας εἶναι φρικτὸ καὶ γιὰ τοὺς ἀγγέλους. 138-145

ιε Πῶς ὅταν ἔβλεπε τὴ δόξα τοῦ Θεοῦ τὸν κινοῦσε τὸ ἅγιο Πνεῦμα. Ὅτι τὸ θεῖο εἶναι καὶ μέσα καὶ ἔξω ἀπὸ τὸ πᾶν, καὶ συλληπτὸ μαζὶ καὶ ἀσύλληπτο γιὰ τοὺς ἄξιους· ὅτι 'οἶκος Δαβὶδ' εἴμαστε ἐμεῖς καὶ ὅτι, ἐνῶ μερίζεται ὁ Χριστὸς καὶ Θεός μας σὲ πολλὰ μέλη, εἶναι ἕνας καὶ ὁ αὐτός, παραμένοντας ἀμέριστος καὶ ἀναλλοίωτος. 146-163

ιστ Ὅτι ἡ θεότητα μόνο εἶναι ποθητὴ καὶ ἐπιθυμητὴ καὶ ὅποιος τὴν μετέχει, κετέχει ὅλα τὰ ἀγαθά. 164-167

ιζ Ὅτι ὁ φόβος γεννᾶ τὴν ἀγάπη, ἐνῶ ἡ ἀγάπη ξεριζώνει τὸ φόβο ἀπὸ τὴν ψυχὴ καὶ μένει μόνη μέσα σ' αὐτή, ἐπειδὴ εἶναι Πνεῦμα θεῖο καὶ ἅγιο. 168-221

ιη Διδασκαλία μαζὶ καὶ θεολογία γιὰ τὶς ἐνέργειες τῆς ἀγάπης, δηλαδὴ τοῦ ἴδιου τοῦ φωτὸς τοῦ ἁγίου Πνεύματος. 222-237

ιθ	*Διδασκαλία σὺν θεολογίᾳ, ἐν ᾗ περὶ ἱερωσύνης ἅμα καὶ ἀπαθοῦς θεωρίας.*	Σελὶς 238–249
κ	*Εὐχαριστία καὶ ἐξομολόγησις σὺν θεολογίᾳ, καὶ περὶ δωρεᾶς καὶ μετουσίας Πνεύματος ἁγίου.*	250–265
κα	*Ἐπιστολὴ πρὸς μοναχὸν ἐρωτήσαντα· Πῶς χωρίζεις τὸν Υἱὸν ἀπὸ τοῦ Πατρός, ἐπινοίᾳ ἢ πράγματι; Ἐν ᾗ πλοῦτον εὑρήσεις θεολογίας, ἀνατρεπούσης τὴν αὐτοῦ βλασφημίαν.*	266–297
κβ	*Εὐχαριστία σὺν θεολογίᾳ, καὶ περὶ ὧν ἡ θεία χάρις τοῦ Πνεύματος διὰ τῶν ἐνεργειῶν ὀνομάζεται.*	298–311
κγ	*Περὶ τῆς ἀκαταλήπτου καὶ ἀπεριγράπτου θεότητος ἀκριβὴς θεολογία· καὶ ὅτι ἀπερίγραπτος οὖσα ἡ θεία φύσις οὔτε ἐντὸς οὔτε ἐκτός ἐστι τοῦ παντός, ἀλλὰ καὶ ἐντὸς καὶ ἐκτός ἐστιν ὡς τῶν ὅλων αἰτία· καὶ ὅτι μόνον κατὰ νοῦν τῷ ἀνθρώπῳ ληπτὸν ἀλήπτως τὸ Θεῖον, ὡς τοῖς ὀφθαλμοῖς αἱ τοῦ ἡλίου ἀκτῖνες.*	312–347
κδ	*Δι' ὧν ἐξομολογούμενος ἐν τῷ παρόντι γράφει λόγῳ, δείκνυσι τὸ βάθος τῆς ἑαυτοῦ ταπεινώσεως καὶ προϊὼν διδάσκει αὐτὴν τὸν εἰς μέτρον ἐλάσαντα τελειότητος καὶ ἀξιωθέντα τοιούτων ἐν θεολογίᾳ ἀποκαλύψεων, Παῦλον τὸν θεῖον κἀν τούτῳ μιμούμενος, ἁμαρτωλὸν ἑαυτὸν ἀποκαλοῦντα καὶ ἀνάξιον τοῦ καλεῖσθαι ἀπόστολον.*	348–371
κε	*Περὶ τῆς γενομένης θεωρίας αὐτῷ τοῦ θείου φωτὸς καὶ ὅπως τὸ θεῖον φῶς οὐ καταλαμβάνεται ὑπὸ τοῦ σκότους. Ἐν οἷς καὶ διὰ τὴν ὑπερβολὴν τῶν ἀποκαλύψεων ἐκπληττόμενος μέμνηται τῆς ἀνθρωπίνης ἀσθενείας καὶ ἑαυτὸν κατακρίνει.*	372–383
κϛ	*Ὅτι ὁ ἐν ἀγνωσίᾳ Θεοῦ ἔτι ζῶν νεκρός ἐστι μέσον τῶν ζώντων ἐν γνώσει Θεοῦ· καὶ ὅτι τοῖς ἀναξίως τῶν μυστηρίων μεταλαμβάνουσιν ἄληπτον τὸ θεῖον σῶμα καὶ αἷμα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ γίνεται.*	384–391
κζ	*Ὁποῖον δεῖ εἶναι τὸν μοναχὸν καὶ τίς ἡ ἐργασία καὶ τίς ἡ τούτου προκοπὴ καὶ ἀνάβασις.*	392–403

ιθ Διδασκαλία μαζὶ μὲ θεολογία, ὅπου γίνεται συγχρόνως λόγος καὶ γιὰ τὴν ἱερωσύνη καὶ τὴν ἀπαθὴ θεωρία. 238-249

κ Εὐχαριστία καὶ ἐξομολόγηση μαζὶ καὶ θεολογία. Ἐπίσης περὶ δωρεᾶς καὶ μετουσίας τοῦ ἁγίου Πνεύματος. 250-265

κα Ἐπιστολὴ σὲ κάποιο μοναχὸ ποὺ ρώτησε· Πῶς χωρίζεις τὸν Υἱὸ ἀπὸ τὸν Πατέρα, λογικὰ μόνο ἢ στὴν πραγματικότητα; Στὴν ἐπιστολὴ θὰ βρεῖς πλοῦτο θεολογίας ἡ ὁποία ἀνατρέπει τὴ βλασφημία αὐτοῦ. 266-297

κβ Εὐχαριστία καὶ θεολογία καὶ σὲ ποιά ἡ θεία χάρη τοῦ Πνεύματος παίρνει τὰ ὀνόματα τῶν ἐνεργειῶν του. 298-311

κγ Λεπτομερὴς θεολογία σχετικὰ μὲ τὴν ἀκατάληπτη καὶ ἀπερίγραπτη θεότητα. Καὶ ἐπειδὴ ἡ θεία φύση δὲν περιγράφεται, δὲν εἶναι οὔτε μέσα οὔτε ἔξω ἀπὸ τὸ σύμπαν, ἀλλὰ εἶναι καὶ μέσα σ' αὐτὸ καὶ ἔξω ἀπὸ αὐτὸ ὡς αἰτία τῶν ὅλων. Καὶ ὅτι ἡ θεότητα νοερὰ μόνο εἶναι καταληπτὴ ἀπὸ τὸν ἄνθρωπο κατὰ τρόπο ἀσύλληπτο, ὅπως ἀπὸ τὰ μάτια οἱ ἀκτίνες τοῦ ἥλιου. 312-347

κδ Μὲ ὅσα ἐξομολογεῖται σ' αὐτὸ τὸ λόγο, δείχνει τὸ βάθος τῆς ταπείνωσής του, καὶ προχωρώντας μιλάει γι' αὐτὸν ποὺ τὴν ἔφερε στὸ μέτρο τῆς τελειότητας καὶ ἀξιώθηκε τέτοιες θεολογικὲς ἀποκαλύψεις. Μιμεῖται καὶ σ' αὐτὸ τὸν θεῖο Παῦλο, ποὺ ἀποκαλεῖ τὸν ἑαυτό του ἁμαρτωλὸ κι ἀνάξιο νὰ ὀνομάζεται ἀπόστολος. 348-371

κε Σχετικὰ μὲ τὴ θεωρία τοῦ θείου φωτὸς ποὺ τοῦ συνέβη καὶ πῶς τὸ θεῖο φῶς δὲν τὸ σκεπάζει τὸ σκότος. Ἐπίσης, δοκιμάζοντας ἔκπληξη ἀπὸ τὶς ὑπερβολικὲς ἀποκαλύψεις, θυμᾶται τὴν ἀνθρώπινη ἀσθένεια καὶ κατακρίνει τὸν ἑαυτό του. 372-383

κστ Ὅποιος ἀγνοεῖ τὸ Θεὸ εἶναι νεκρός, ἐνῶ ζεῖ ἀκόμα, ἀνάμεσα σὲ ὅποιους ζοῦν μὲ γνώση τοῦ Θεοῦ. Καὶ ὅποιοι κοινωνοῦν ἀνάξια τὰ μυστήρια δὲν παίρνουν τὸ θεῖο σῶμα καὶ τὸ αἷμα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. 384-391

κζ Ποιός πρέπει νὰ εἶναι ὁ μοναχός, ποιό τὸ ἔργο του καὶ ποιά ἡ προκοπὴ καὶ ἄνοδός του. 392-403

ΘΕΙΟΙ ΕΡΩΤΕΣ

(Α' – ΚΖ')

Α

ΠΕΡΙ ΘΕΙΑΣ ΕΛΛΑΜΨΕΩΣ ΚΑΙ ΦΩΤΙΣΜΟΥ ΠΝΕΥΜΑΤΟΣ ΑΓΙΟΥ

Καὶ ὅτι εἷς τόπος ὁ Θεός, ἐν ᾧ μετὰ πότμον τὴν ἀνάπαυσιν πάντες οἱ ἅγιοι ἔχουσι· καὶ ὅτι ὁ τοῦ Θεοῦ ἐκπίπτων ἐν ἑτέρῳ τόπῳ οὐχ ἕξει τὴν ἀνάπαυσιν ἐν τῇ μελλούσῃ ζωῇ.

Τί τὸ φρικτὸν μυστήριον, ὃ ἐν ἐμοὶ τελεῖται;
Λόγος ἐκφράζειν οὐδαμῶς ἰσχύει οὐδὲ γράφειν
ἡ χείρ μου ἡ ταλαίπωρος εἰς ἔπαινον καὶ δόξαν
τοῦ ὄντος ὑπὲρ ἔπαινον, τοῦ ὄντος ὑπὲρ λόγον.
Εἰ γὰρ τὰ νῦν τελούμενα ἐν ἐμοὶ τῷ ἀσώτῳ
ἄρρητα, ἀνεκλάλητα πέλουσι, πῶς ἐκεῖνος,
ὁ τῶν τοιούτων παροχεὺς καὶ ποιητής, εἰπέ μοι,
ἔπαινον χρήζει παρ' ἡμῶν ἢ δόξαν προσλαβέσθαι;
Οὐδὲ γὰρ δοξασθήσεται ὁ ὢν δεδοξασμένος,
ὡς οὐδὲ λαμπρυνθήσεται ἢ φωτὸς μεταλάβοι
ὁ παρ' ἡμῶν βλεπόμενος ἥλιος ἐν τῷ κόσμῳ·
φωτίζει, οὐ φωτίζεται· φαίνει, φῶς οὐ λαμβάνει.
Ἔχει γάρ, ὅπερ ἔλαβεν, ἐξ ἀρχῆς, ἐκ τοῦ κτίστου.
Εἰ οὖν ποιήσας ἥλιον Θεὸς ὁ πάντων κτίστης
ἀνενδεῆ πεποίηκεν, ἄφθονον σέλας φαίνειν
καὶ μηδαμῶς παρά τινος ἄλλου πλείονος χρήζειν,
πῶς δόξαν λάβοι παρ' ἐμοῦ τοῦ τεταπεινωμένου;
Ἀνενδεὴς γὰρ παντελῶς ὁ τοῦ ἡλίου κτίστης,
ὁ ἐμπιπλῶν τὰ σύμπαντα τῶν ἀγαθῶν ἁπάντων

---

3. Φιλ. 1,11.

1

ΠΕΡΙ ΘΕΙΑΣ ΕΛΛΑΜΨΕΩΣ ΚΑΙ ΦΩΤΙΣΜΟΥ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

Καὶ ὅτι ὁ Θεὸς εἶναι ἕνας τόπος ὅπου μετὰ τὸ θάνατο βρίσκουν ὅλοι οἱ ἅγιοι τὴν ἀνάπαυσή τους. Καὶ ὅτι ὅποιος ἐκπίπτει ἀπὸ τὸ Θεὸ σὲ ἄλλο τόπο δὲ θὰ βρεῖ ἀνάπαυση στὴ μέλλουσα ζωή.

Τί νά 'ναι τὸ φριχτὸ μυστήριο ποὺ τελεῖται μέσα μου;
Δὲν ἔχει δύναμη οὔτε ὁ λόγος νὰ τὸ πεῖ καὶ μήτε νὰ τὸ γράψει
τὸ χέρι τὸ ταλαίπωρο ἐπαινώντας καὶ δοξάζοντας
αὐτὸν ποὺ ξεπερνᾶ κάθε ἔπαινο καὶ κάθε λόγο.
Κι ἂν ὅσα τώρα γίνονται σ' ἐμὲ τὸν ἄσωτο
ἀνείπωτα εἶναι κι ἀνεκλάλητα, πῶς τότε ἐκεῖνος ποὺ ὅλα
αὐτὰ μᾶς δημιουργεῖ καὶ μᾶς χαρίζει, πές μου
ἔχει ἀπὸ ἐμᾶς ἀνάγκη δόξα κι ἔπαινο νὰ λάβει;
Ὁ δοξασμένος βέβαια δὲ θὰ δοξαστεῖ,
ὅπως καὶ δὲ θὰ γίνει πιὸ λαμπρὸς οὔτε θὰ λάβει φῶς
ὁ ἥλιος τοῦ κόσμου αὐτοῦ ἀπὸ τὰ δικά μας βλέμματα·
φωτίζει δὲ φωτίζεται, σκορπᾶ δὲν παίρνει φῶς.
Ἔχει ὅ,τι ἔλαβε ἀπ' τὸν κτίστη του ἐξαρχῆς.
Κι ἂν ὁ τῶν ὅλων κτίστης Θεὸς τὸν ἥλιο τίποτα
τὸν ἔκανε νὰ μὴν τοῦ λείπει μὰ ἄφθονο φῶς νὰ στέλνει
καὶ νὰ μὴν ἔχει ἀνάγκη ἀπὸ ἄλλο περισσότερο,
πῶς γίνεται ἀπὸ μένα τὸν ἀσήμαντο νὰ λάβει δόξα;
Εἶναι κι ἂν εἶναι δίχως ἔλλειψη καμιὰ ὁ κτίστης τοῦ ἥλιου
ὁ ποὺ τὰ σύμπαντα γεμίζει μ' ὅλα τὰ ἀγαθά,

---

9. Β΄ Κορ. 3,10.

νεύματι καὶ βουλήματι τὴν ἰσχὺν κεκτημένος.
Ἐν τούτῳ καὶ ἡ γλῶσσά μου ἐξαπορεῖ ρημάτων
καὶ τὰ τελούμενα ὁ νοῦς ὁρᾷ, οὐχ ἑρμηνεύει·
βλέπει καὶ βούλεται εἰπεῖν καὶ λόγον οὐχ εὑρίσκει·
ἀόρατα γὰρ καθορᾷ, ἀνείδεα εἰς ἅπαν,
ἁπλᾶ, πάντῃ ἀσύνθετα, ἄπειρα τῷ μεγέθει.
Οὔτε ἀρχὴν γὰρ καθορᾷ, οὐ τέλος ὅλως βλέπει,
μέσην δὲ πάντῃ ἀγνοεῖ· καὶ πῶς εἴπῃ, τί βλέπει;
Ἀνακεφαλαιούμενον ὅλον, δοκῶ, ὁρᾶται·
οὐ τῇ οὐσίᾳ πάντως δέ, ἀλλὰ τῇ μετουσίᾳ.
Ἐκ τοῦ πυρὸς ἀνάπτεις γὰρ καὶ πῦρ ὅλον λαμβάνεις,
κἀκεῖνο μένει ἄτμητον, ἀνέκλειπτον ὡς πρώην,
πλὴν τὸ μεταδιδόμενον χωρίζεται τοῦ πρώτου
καὶ εἰς λαμπάδας γίνεται πολλάς· σωματικὸν γάρ.
Ἐκεῖνο δὲ πνευματικόν, ἀμέριστον ὑπάρχον,
καὶ παντελῶς ἀχώριτον καὶ ἄτμητον ὑπάρχει·
οὐ γὰρ μεταδιδόμενον εἰς πολλὰ διαιρεῖται,
ἀλλὰ καὶ μένει ἄτμητον καὶ ἐν ἐμοὶ ὑπάρχει·
ἐξανατέλλει ἐν ἐμοὶ ἔνδοθεν τῆς ταλαίνης
καρδίας μου ὡς ἥλιος ἢ ὡς δίσκος ἡλίου
σφαιροειδὴς δεικνύμενος, φωτοειδής, ὡς φλὸξ γάρ.
Οὐκ οἶδα, καθὼς εἴρηται, τί εἴπω περὶ τούτου,
καὶ ἤθελον τοῦ σιωπᾶν (εἴθε καὶ ἐδυνάμην!),
ἀλλὰ τὸ θαῦμα τὸ φρικτὸν κινεῖ μου τὴν καρδίαν
καὶ ἐξανοίγει στόμα μου τὸ κατεσπιλωμένον,
καὶ μὴ βουλόμενον ποιεῖ λαλεῖν μέ τε καὶ γράφειν.
Ὁ ἀνατείλας ἄρτι μου ἐν σκοτεινῇ καρδίᾳ,
ὁ δείξας μοι θαυμάσια, ἃ ὀφθαλμοὶ οὐκ εἶδον,

---

24. Ρωμ. 1,20. 38. Ψαλμ. 111,4.
46. Β' Πέτρ. 1,19.

30–57. Οἱ στίχοι αὐτοὶ ἀποτελοῦν χαρακτηριστικὴ προσπάθεια γιὰ ἐμβάθυνση στὸ νόημα τῆς θεότητας. Γιὰ παρόμοιες ἐξάλλου προσπάθειες ὁ Συμεὼν ὀνομάστηκε 'Νέος Θεολόγος'.

μὲ νεῦμα μόνο καὶ ἁπλὴ θέληση, τὴ δύναμη ἔχοντας.
Γι' αὐτὸ κι ἀπὸ τὴ γλώσσα μου λείπουν τὰ λόγια
κι ὅσα μέσα σου γίνονται τὰ βλέπει ὁ νοῦς, δὲν τὰ ἑρμηνεύει.
Βλέπει καὶ θέλει νὰ τὰ πεῖ, μὰ δὲ βρίσκει τὰ λόγια.
Γιατὶ βλέπει ὅσα δὲ βλέπονται καὶ μορφὴ δὲν ἔχουν
ἀλλὰ εἶναι ἁπλὰ καὶ δίχως μέρη κι ἄπειρα στὸ μέγεθος.
Οὔτε τὴν ἀρχή τους βλέπει, οὔτε ξεχωρίζει καθόλου τὸ τέλος,
τὸ μέσο τους ὁλότελ' ἀγνοεῖ. Πῶς λοιπὸν νὰ πεῖ ὅ,τι βλέπει;
Φαίνονται, νομίζω, ἕνα ὅλο ἀξεδιάλυτο,
ὄχι πῶς εἶναι στὴν οὐσία τους ἀλλὰ μὲ τὴ μετουσία.
Ἀνάβεις ἀπὸ τὴ φωτιὰ καὶ τὴν παίρνεις ὁλόκληρη
μένει ἐκείνη ἀκέραια, ἀλιγόστευτη ὅπως πρῶτα·
μὰ αὐτὴ ποὺ μεταδίδεται χωρίζεται ἀπ' τὴν πρώτη
καὶ γίνετ' ἄπειρες λαμπάδες, ὑλικὴ φωτιὰ ἀφοῦ εἶναι.
Ἐνῶ ἡ πρώτη εἶναι πνευματικὴ καὶ εἶναι δίχως μέρη
καὶ εἶναι ὁλότελα ἀχώριστη κι ἀκομμάτιαστη.
Δὲν κομματιάζεται σὲ πολλὰ ὅταν μεταδίδεται
ἀλλὰ καὶ ἀκομμάτιαστη μένει καὶ μέσα μου τὴ βρίσκεις.
Ἀνατέλλει μέσα μου ἀπὸ τὰ βάθη τῆς καημένης
καρδιᾶς μου σὰν ἥλιος καὶ ὅπως ὁ δίσκος τοῦ ἥλιου
ποὺ φαίνεται σὰν σφαίρα ὁλοφώτεινη, ἀφοῦ εἶνα φλόγα.
Δὲν ξέρω, ὅπως εἶπα, πῶς νὰ τὸ ἐξηγήσω
κι ἤθελα νὰ σωπάσω (μακάρι νὰ μποροῦσα),
ἀλλὰ τὸ φρικτὸ θαῦμα βάζει τὴν καρδιά μου σὲ κίνηση
κι ἀνοίγει τὸ στόμα μου τὸ κατασπιλωμένο
καὶ μὲ κάνει νὰ ψάλλω καὶ νὰ γράφω χωρὶς νὰ θέλω.
Ἐσὺ ποὺ μόλις ἀνέτειλες στὰ σκοτεινὰ βάθη τῆς καρδιᾶς μου,
ποὺ μοῦ ἔδειξες θαύματα ποὺ μάτια ἀνθρώπου δὲν εἶδαν·

41. Μέσα στὴν ψυχὴ τοῦ μυστικοῦ τελεῖται 'φρικτὸ θαῦμα'. Τὸν κατακλύζει τὸ θεῖο φῶς ποὺ τὸν καταπλήσσει καὶ τὸν ἀφήνει πραγματικὰ ἄναυδο· ἀπὸ τὴ μιὰ δὲν μπορεῖ νὰ περιγράψει τὸ βίωμά του, τὴν ἐμπειρία του, καὶ γι' αὐτὸ θὰ ἤθελε νὰ βυθιστεῖ στὴ σιωπὴ τῆς θέας, ἀπὸ τὴν ἄλλη ὅμως 'τὸ φρικτὸ θαῦμα' κινεῖ τὴν καρδιά του καὶ ἐξανοίγει τὸ κατασπιλωμένο στόμα, πρὸς ἔκφραση ὅσων βλέπει.

ὁ κατελθὼν καὶ ἐν ἐμοὶ ὡς εἰς ἔσχατον πάντων,
ὁ ἀποστόλου μαθητὴν καὶ υἱὸν ἀποδείξας
ἐμέ, ὃν εἶχεν ὁ δεινὸς δράκων καὶ βροτοκτόνος
τὸ πρὶν ἐργάτην ὑπουργὸν πάσης παρανομίας,
ὁ πρὸ αἰώνων ἥλιος ὁ ἐν τῷ ᾅδῃ λάμψας,
ὕστερον καὶ φωτίσας μου ψυχὴν ἐσκοτισμένην
καὶ χαρισάμενος ἐμοὶ ἀνέσπερον ἡμέραν
–τὸ δύσπιστον τοῖς κατ' ἐμὲ ὀκνηροῖς καὶ ῥᾳθύμοις–,
ὁ πλήσας πάντων ἀγαθῶν τὴν ἐν ἐμοὶ πτωχείαν,
αὐτὸς καὶ λόγον δώρησαι καὶ ῥήματα παράσχου
τοῖς πᾶσι διηγήσασθαι τὰς σὰς τερατουργίας
καὶ ἅπερ σήμερον ποιεῖς μεθ' ἡμῶν τῶν σῶν δούλων,
ἵνα καὶ οἱ καθεύδοντες ἐν σκότει ῥᾳθυμίας
καὶ λέγοντες· 'Αδύνατον ἁμαρτωλοὺς σωθῆναι
καί, ὥσπερ Πέτρον καὶ λοιποὺς ἀποστόλους, ἁγίους,
ὁσίους καὶ δικαίους τε, αὐτοὺς ἐλεηθῆναι,
γνώσωσι καὶ μαθήσωνται, ὅτι εὔκολον τοῦτο
τῇ ἀγαθότητι τῇ σῇ ἦν καὶ ἐστὶ καὶ ἔσται!
Καὶ οἱ δοκοῦντες ἔχειν σε, τὸ φῶς παντὸς τοῦ κόσμου,
καὶ μὴ βλέπειν σε λέγοντες, μὴ ἐν φωτὶ διάγειν,
μὴ λάμπεσθαι, μὴ καθορᾶν ἀεννάως σε, σῶτερ,
μάθωσιν, ὡς οὐκ ἔλαμψας αὐτῶν ἐν διανοίᾳ
οὐδὲ κατῴκησας αὐτῶν τὴν ῥυπαρὰν καρδίαν
καὶ μάτην ἐπαγάλλωνται ἐπὶ κεναῖς ἐλπίσιν
οἰόμενοι θεάσασθαι τὸ φῶς σου μετὰ τέλος.
Ὁ ἀρραβὼν ἐντεῦθεν γάρ, ἡ σφραγὶς πάντως ὧδε
παρά σου, σῶτερ, δίδοται τοῖς δεξιοῖς προβάτοις·
εἰ γὰρ ἑκάστου θάνατος ὁ συγκλεισμὸς τυγχάνει

---

48. Α' Κορ. 15,8. 66. Ἰω. 8,12. 70. Ἐφ. 3,17.
73. Β' Κορ. 1,22 καὶ Ἀποκ. 9,4. 74. Ματθ. 25,32.

61. Ἡ παρατήρηση ποὺ ἀποστομώνει ὅλους ὅσοι φωνάζουν 'εἶναι ἀδι το νὰ σωθοῦν οἱ ἁμαρτωλοὶ' εἶναι ἡ ἑξῆς· Πῶς σώθηκαν ὅλοι οἱ ἅγιοι;

Ἐσὺ ποὺ κατέβηκες καὶ σ' ἐμένα στὸν ἔσχατο ὅλων,
ποὺ μὲ ἀνέδειξες μαθητὴ καὶ γιὸ ἀποστόλου,
ἐμένα ποὺ ὁ δεινὸς κι ἀνθρωποκτόνος δράκοντας μὲ εἶχε
πρωτύτερα ἐργάτη κι ὑπηρέτη κάθε παρανομίας.
Ἐσὺ ὁ προαιώνιος ἥλιος ποὺ ἔλαμψες στὸν Ἅδη
ὕστερα καὶ φώτισες τὴ σκοτεινιασμένη ψυχή μου
καὶ μοῦ χάρισες τὴν ἀβασίλευτη ἡμέρα
–δυσπιστοῦν μόνο ὅσοι θεωρῶ ὀκνηροὺς καὶ ράθυμους–·
Ἐσὺ ποὺ γέμισες τὴ φτώχεια μου μὲ ὅλα τ' ἀγαθά,
Ἐσὺ καὶ λόγο δώρισέ μου καὶ λόγια δῶσε μου
νὰ διηγηθῶ σὲ ὅλους τὰ τεράστια ἔργα σου
καὶ ὅσα κάνεις σήμερα σ' ἐμᾶς τοὺς δούλους σου,
ὥστε κι ὅσοι καθεύδουν στὸ σκότος τῆς ἀδιαφορίας
καὶ λένε ὅτι 'εἶναι ἀδύνατο νὰ σωθοῦν οἱ ἁμαρτωλοὶ'
κι αὐτοὶ νὰ ἐλεηθοῦν ὅπως ὁ Πέτρος καὶ οἱ ἄλλοι ἀπόστολοι
οἱ ἅγιοι, οἱ ὅσιοι καὶ οἱ δίκαιοι.
Καὶ νὰ μάθουν καὶ νὰ καταλάβουν ὅτι αὐτὸ ἦταν εὔκολο
γιὰ τὴν ἀγαθότητά σου καὶ εἶναι καὶ θὰ εἶναι.
Ὅποιοι νομίζουν πὼς κρατοῦν ἐσένα τὸ φῶς τοῦ κόσμου
καὶ λὲν πὼς δὲν σὲ βλέπουν, πὼς δὲ ζοῦνε στὸ φῶς,
δὲ φωτίζονται, δὲ σὲ θωροῦνε, Σωτήρα, ἀδιάκοπα,
ἂς μάθουν πὼς δὲν ἔλαμψες μέσα στὸ νοῦ τους
οὔτε στὴ ρυπαρὴ καρδιά τους κατοίκησες
κι ἂς μὴ χαίρονται ἄδικα γιὰ ἐλπίδες κούφιες
πιστεύοντας ὅτι θὰ ἀντικρίσουν τὸ φῶς σου ὅταν πεθάνουν.
Ἐδῶ δίνεις, Σωτήρα, τὸν ἀρραβῶνα κι ἐδῶ σίγουρα
τὴ σφραγίδα στὰ πρόβατα ποὺ εἶναι δεξιά σου.
Ἂν ὁ θάνατος τοῦ καθένα μας εἶναι τὸ κλείσιμο τοῦ λογαρια-[σμοῦ

---

73. Ἡ μετουσία τοῦ Θεοῦ πρέπει νὰ γίνεται ἀπὸ τὴ γῆ καὶ τὴ ζωὴ αὐτὴ ὡς 'ἀρραβὼν' τῶν ἐπουρανίων ἀγαθῶν. Ἀλλιῶς θὰ ἐπέλθει τότε ὁ φριχτὸς χωρισμὸς ἀπὸ τὸ Θεό, ποὺ εἶναι τὸ φῶς, καὶ ἡ ἀπόρριψη στὸ σκότος. Ἡ σημείωση αὐτὴ μαζὶ μὲ τὴν σημείωση τοῦ στίχου 41 ἀποτελοῦν κατὰ κάποιο τρόπο καὶ μιὰ περίληψη τοῦ ὕμνου.

75. Ὁ συγκλεισμός: Ὁ θάνατος παρομοιάζεται μὲ τὸ κλείσιμο τῆς πόρτας γιὰ τὶς μωρὲς παρθένες καὶ τὴν παρεμπόδισή τους νὰ εἰσέλθουν στὸ νυμφῶνα.

καὶ μετὰ τέλος ἄπρακτα πᾶσιν ἐπίσης ἔστι
καὶ οὔτε φαῦλον ἢ καλὸν δύναταί τις ποιῆσαι,
σωτήρ μου, πάντως ἕκαστος, ὡς εὑρεθῇ, καὶ ἔσται.
Τοῦτο φοβεῖ με, Δέσποτα, τοῦτο ποιεῖ με τρέμειν,
τοῦτο ἐκτήκει ἅπαντα τὰ αἰσθητήριά μου,
ὅτι τυφλὸς ἀποθανὼν καὶ μεταστὰς ἐκεῖσε
οὐκέτι τοῦτον ἥλιον αἰσθητῶς θεωρήσει,
εἰ καὶ τὸ φῶς τῶν ὀφθαλμῶν ἀναστὰς πάλιν λάβοι·
οὕτως οὐδ' ὁ τὸν νοῦν ἔχων τυφλόν, εἰ ἀποθάνοι,
τὸν νοητὸν θεάσεται ἥλιόν τε, Θεέ μου,
ἀλλὰ ἐκ σκότους ἐξελθὼν πρὸς σκότος ἐνδημήσει
καὶ εἰς αἰῶνας ἔσεται ἐκ σοῦ κεχωρισμένος.
Μηδεὶς ἀνθρώπων, Δέσποτα, τῶν εἰς σὲ πιστευόντων,
μηδεὶς τῶν εἰς τὸ ὄνομα τὸ σὸν βεβαπτισμένων
τὸ μέγα τοῦτο καὶ φρικτὸν ὑποστήσεται βάρος
τοῦ χωρισμοῦ σου, εὔσπλαχνε· δεινὴ γὰρ αὕτη θλῖψις,
δεινή, ἀνυπομόνητος, αἰώνιος ἡ λύπη.
Τί γὰρ καὶ χεῖρον ἔσεται τοῦ χωρισμοῦ σου, σῶτερ;
Τί δὲ ὀδυνηρότερον ζωῆς διαζευχθῆναι
καὶ ζῆν ἐκεῖθεν ὡς νεκρὸς ζωῆς ἐστερημένος,
ἀπάντων τε τῶν ἀγαθῶν ὁμοῦ ἀποστερεῖσθαι;
Σοῦ γὰρ ὁ χωριζόμενος παντὸς καλοῦ στερεῖται·
οὐ γάρ, ὡς ἔστιν ἐπὶ γῆς τὰ νῦν, ἔσται καὶ τότε·
νῦν γὰρ οἱ ἀγνοοῦντές σε σωματικῶς τρυφῶσιν
ἐνταῦθα καὶ ἀγάλλονται ὡς ἄλογα σκιρτῶντες,
ἅπερ δέδωκας ἔχοντες εἰς ἀπόλαυσιν βίου
καὶ ταῦτα μόνα βλέποντες, οὕτως εἶναι δοκοῦσι
καὶ τὰ μετὰ τὴν ἔξοδον τῆς ψυχῆς καὶ τοῦ βίου.
Ἀλλὰ κακῶς τεκμαίρονται, ἀλλὰ κακῶς φρονοῦσιν
οἱ λέγοντες μὴ μετὰ σοῦ, ἀλλ' ἐν ἀνέσει εἶναι
καὶ τόπον ἑτοιμάζοντες τινὰ –ὢ ἀφροσύνης!–
μήτε φωτὸς μετέχοντα καὶ σκότους ἀμοιροῦντα,
τῆς βασιλείας ἔξωθεν, ἀλλὰ καὶ τῆς γεέννης,
καὶ τοῦ νυμφῶνος πόρρωθεν καὶ τοῦ πυρὸς τῆς δίκης,

78. Β' Κορ. 5,3. 84. Β' Κορ. 4,4. 89. Πράξ. 8,16.

καὶ μετὰ τὸ τέλος σταματοῦν ἐξίσου οἱ δουλειὲς ὅλων
καὶ δὲν μπορεῖ κανένας νὰ πράξει κάτι καλὸ ἢ κακό,
σίγουρα τότε, Σωτήρα μου, καθένας θὰ εἶναι ὅπως θὰ βρεθεῖ.
Μὲ φοβίζει τοῦτο, Κύριε, τοῦτο μὲ κάνει νὰ τρέμω,
τοῦτο μοῦ παραλύει ὅλα τὰ αἰσθητήρια·
ὅτι ὅποιος πεθάνει κι ἐκδημήσει ἐκεῖ τυφλὸς
δὲ θὰ δεῖ πιὰ χειροπιαστὰ τοῦτον τὸν ἥλιο,
ἀκόμα κι ἂν ἀναστηθεῖ καὶ ξαναβρεῖ τὸ φῶς τῶν ὀφθαλμῶν του.
Ἔτσι κι αὐτὸς ποὺ ἔχει νοῦ τυφλό, ἂν πεθάνει,
δὲ θὰ θεαστεῖ ἐσένα τὸ νοητὸ ἥλιο, Θεέ μου,
ἀλλὰ ἀπὸ σκοτάδι βγαίνοντας σὲ σκοτάδι θὰ κατοικήσει
καὶ θὰ μείνει χωρισμένος ἀπὸ ἐσένα στοὺς αἰῶνες.
Κανένας ἄνθρωπος ποὺ πιστεύει σ' ἐσένα, Κύριε,
κανένας ἀπὸ ὅσους βαφτίστηκαν στὸ ὄνομά σου
δὲ θὰ σηκώσει τοῦτο τὸ μέγα καὶ φρικτὸ βάρος
τοῦ χωρισμοῦ σου, εὔσπλαχνε· εἶναι δεινὴ αὐτὴ ἡ θλίψη,
δεινή, λύπη ἀβάσταχτη, αἰώνια.
Τί μπορεῖ νὰ γίνει, Σωτήρα μου, χειρότερο ἀπὸ τὸ χωρισμό σου;
Ποιός πόνος εἶναι μεγαλύτερος παρὰ νὰ χωριστεῖς τὴ ζωὴ
καὶ νὰ ζεῖς στὸ ἑξῆς ὅπως ὁ νεκρὸς ποὺ ἔχει στερηθεῖ τὴ ζωή,
κι εἶναι στερημένος κι ἀπὸ ὅλα μαζὶ τὰ ἀγαθά;
Ὅποιος χωρίζεται ἀπὸ σέ, κάθε καλὸ στερεῖται.
Δὲ θά 'ναι βέβαια τότε ὅπως εἶναι τώρα στὴ γῆ.
Ὅσοι τώρα σ' ἀγνοοῦν τρυφοῦν σωματικὰ
ἐδῶ καὶ χαίρονται σκιρτώντας σὰν ἄλογα ζῶα,
χρησιμοποιώντας γιὰ τὶς ἀπολαύσεις τῆς ζωῆς ὅσα μᾶς ἔδωσες
καὶ βλέποντας αὐτὰ μονάχα, πιστεύουν πὼς ἔτσι εἶναι
κατὰ τὴν ἔξοδο τῆς ψυχῆς καὶ τὸ τέλος τοῦ βίου.
Ἀλλὰ ὑπολογίζουν λάθος καὶ φρονοῦν κακῶς
ὅσοι λὲν πὼς δὲν εἶναι μαζί σου, ἀλλὰ ὅτι περνοῦν μὲ ἄνεση
κι ἑτοιμάζουν κάποιο τόπο –οἱ ἀνόητοι!–
ποὺ μήτε φῶς ἔχει, ἀλλὰ τοῦ λείπει καὶ τὸ σκότος,
μακριὰ ἀπ' τὴ βασιλεία μὰ κι ἀπ' τὴ γέεννα,
ἔξω ἀπὸ τὸ νυμφώνα καὶ πέρα ἀπ' τὴ φωτιὰ τῆς δικαιοσύνης·

100. Β' Πέτρ. 2,12 καὶ Ἰούδα 10. 106. Ἰω. 14,2. 109. Ἰούδα 7.

ἐν ᾧ καὶ οἱ ταλαίπωροι εὔχονται καταντῆσαι
καὶ λέγουσι μὴ χρῄζειν σου τὴν αἰώνιον δόξαν
ἢ βασιλείαν οὐρανῶν, ἀλλ' ἐν ἀνέσει εἶναι.
Φεῦ τῆς αὐτῶν σκοτώσεως, φεῦ τῆς αὐτῶν ἀγνοίας,
φεῦ τῆς ταλαιπωρίας τε καὶ τῶν κενῶν ἐλπίδων!
Οὐδαμοῦ τοῦτο γέγραπται οὐδὲ γὰρ ἔσται τοῦτο,
ἀλλ' ἐν φωτὶ μὲν ἀγαθῶν οἱ πεπραχότες θεῖα,
ἐν σκότει δ' ἔσονται ποινῶν οἱ τῶν φαύλων ἐργάται,
μέσον δὲ χάσμα φοβερὸν ἑκατέρους διεῖργον,
ὡς αὐτὸς σὺ ἐδίδαξας, ὁ ἑτοιμάσας ταῦτα.
Τῷ γὰρ μέσον ἐμπίπτοντι ἀνθρώπῳ ὑπὲρ πᾶσαν
βάσανον ἔσται φοβερὰν τοῦτο καὶ τιμωρίαν,
εἰς ἄβυσσον κολάσεων, εἰς χάος ἀπωλείας
ἐγκυβιστῶντι δυστυχῶς καὶ καταφερομένῳ,
οὗ ἐπιβῆναι δυσχερὲς τοῖς οὖσιν ἐν βασάνοις,
ἵνα διαπεράσωσιν ἐν τῇ γῇ τῶν δικαίων,
οἳ προαιροῦνται ἐν πυρὶ δεινῶς ἀποτεφροῦσθαι
ἢ γὰρ εἰς χάος τὸ φρικτὸν ἑαυτοὺς ἐπιρρῖψαι.
Οἱ οὖν ἐκεῖ εὐχόμενοι γενέσθαι μετὰ πότμον
πολλῶν δακρύων ἄξιοι τυγχάνουσι καὶ θρήνων,
ὅτι ὡς κτήνη ἄλογα ὅλως ἀναισθητοῦσι
καὶ ἑαυτῶν κατεύχονται καὶ ἑαυτοὺς πλανῶσιν.
Σὺ βασιλεία οὐρανῶν, σὺ γῆ, Χριστέ, πρᾳέων,
σὺ χλόης ὁ παράδεισος, σὺ ὁ νυμφὼν ὁ θεῖος,
σὺ ὁ παστός, ὁ ἄρρητος, σὺ ἡ τράπεζα πάντων,
σὺ ἧς ὁ ἄρτος τῆς ζωῆς, σὺ καινότατον πόμα,
σὺ καὶ κρατὴρ τοῦ ὕδατος, σὺ καὶ ζωῆς τὸ ὕδωρ,
σὺ καὶ λαμπὰς καθ' ἕκαστον ἄσβεστος τοῖς ἁγίοις,
σὺ καὶ χιτὼν καὶ στέφανος καὶ διαιρῶν στεφάνους,

---

112. Ματθ. 3,2.
117. Α' Ἰω. 3,18–21. 118. Λουκᾶ 16,26
124. Λουκᾶ 16,23·26. 132. Ματθ. 5,5.
135. Ἰω. 6,35. 136. Ἀποκ. 21,6.

στὸν τόπο αὐτὸ εὔχονται νὰ καταλήξουν οἱ ταλαίπωροι
καὶ λένε δὲν τοὺς χρειάζεται ἡ αἰώνια δόξα σου
κι ἡ βασιλεία τῶν οὐρανῶν ἀλλὰ ἄνετα περνοῦν.
Ἀλίμονο! Πόσο βαθὺ τὸ σκοτάδι κι ἡ ἄγνοιά τους [φιες.
Ἀλίμονο! Ἄσκοπη ἡ ταλαιπωρία τους κι οἱ ἐλπίδες τους κού-
Τοῦτο δὲν ἔχει γραφτεῖ πουθενὰ κι οὔτε θὰ συμβεῖ·
παρὰ ὅσοι ἔπραξαν τὰ θεῖα θὰ ζήσουν στὸ φῶς τῶν ἀγαθῶν
κι οἱ ἐργάτες τῶν φαύλων θὰ βρεθοῦν στὸ σκότος τῆς τιμωρίας
καὶ μὲς στὴ μέση φοβερὸ θὰ τοὺς χωρίζει χάσμα·
ἔτσι δίδαξες ἐσὺ ποὺ τὰ ὅρισες αὐτά.
Τὸ νὰ πέσει κάποιος στὴ μέση ξεπερνᾶ
κάθε φοβερὸ βασανιστήριο καὶ τιμωρία,
στὴν ἄβυσσο τῆς κόλασης, στὸ χάος τῆς ἀπώλειας
κατρακυλᾶ ἀξιολύπητος καὶ γκρεμίζεται
κι εἶναι δύσκολο ποῦ νὰ πατήσουν ὅσοι βασανίζονται
γιὰ νὰ περάσουν στὴ γῆ τῶν δικαίων,
ὅσοι προτιμοῦν νὰ γίνουν τέφρα στὴ φοβερὴ φωτιὰ
ἢ νὰ ριχτοῦνε στὸ φριχτὸ χάος.
Ὅσοι λοιπὸν εὔχονται νὰ φτάσουν ἐκεῖ μετὰ τὸ θάνατό τους
εἶναι ἄξιοι γιὰ πολλὰ δάκρυα καὶ θρήνους,
γιατὶ σὰ νά 'ναι ἄλογα ζῶα δὲν ἔχουν καμιὰ συναίσθηση,
καταριοῦνται τὸν ἑαυτό τους καὶ τὸν ἑαυτό τους παραπλανοῦν.
Ἐσὺ εἶσαι, Χριστέ, ἡ βασιλεία τῶν οὐρανῶν καὶ ἡ γῆ τῶν πράων,
ἐσὺ ὁ κατάφυτος παράδεισος κι ὁ θεῖος νυμφώνας,
ἐσὺ ὁ κρυφὸς θάλαμος, τὸ κοινὸ τραπέζι ἐσύ,
ἐσὺ εἶσαι ὁ ἄρτος τῆς ζωῆς καὶ τ' ὀλόδροσο νερό.
Ἐσὺ εἶσαι τὸ σταμνὶ τοῦ νεροῦ καὶ τὸ νερὸ τῆς ζωῆς,
ἐσὺ καὶ ἡ ἄσβεστη λαμπάδα γιὰ κάθε ἅγιο, [νια·
ἐσὺ ὁ χιτώνας καὶ τὸ στεφάνι κι αὐτὸς ποὺ ἀπονέμεις τὰ στεφά-

---

119. Ἡ ἀναφορὰ γίνεται στὴν παραβολὴ τοῦ πλουσίου καὶ τοῦ φτωχοῦ Λαζάρου.

132 κ.έ. Σὲ πολλοὺς στίχους ὁ Συμεὼν ἐκθέτει παρακάτω τὸ θρησκευτικὸ δραμά του μὲ λυρισμό, λαμπρὴ φαντασία, βαθὺ αἴσθημα καὶ ἤρεμο ἐνθουσιασμό.

σὺ καὶ χαρὰ καὶ ἄνεσις, σὺ τρυφή τε καὶ δόξα,
σὺ καὶ ἀγαλλίασις, σὺ καὶ ἡ εὐφροσύνη,
καὶ λάμψει ὥσπερ ἥλιος ἡ χάρις σου, Θεέ μου,
τοῦ παναγίου Πνεύματος ἐν πᾶσι τοῖς ἁγίοις,
καὶ λάμψεις ὁ ἀπρόσιτος ἥλιος τούτων μέσον
καὶ πάντες ἐλλαμφήσονται κατὰ ἀναλογίαν
τῆς πίστεως, τῆς πράξεως, ἐλπίδος καὶ ἀγάπης,
καθάρσεως καὶ φωτισμοῦ τοῦ ἐκ τοῦ Πνεύματός σου,
Θεέ, μόνε μακρόθυμε καὶ κριτὰ τῶν ἁπάντων,
οἷς μοναὶ λογισθήσονται διάφοροι καὶ τόποι,
τὰ μέτρα τῆς λαμπρότητος, τὰ μέτρα τῆς ἀγάπης,
τῆς θεωρίας τε τῆς σῆς, τὸ πόσον ἔσται πάλιν
μεγαλειότητος αὐτοῖς δόξα, τρυφὴ καὶ κλέος
εἰς διαιρέσεις οἰκιῶν καὶ μονῶν παραδόξων.
Τοῦτο σκηναὶ διάφοροι, τοῦτο πολλαὶ οἰκίαι,
τοῦτο στολαὶ λαμπρόταται πολλῶν ἀξιωμάτων
καὶ στέφανοι παμποίκιλοι, λίθοι καὶ μαργαρῖται
καὶ ἄνθη τὰ ἀμάραντα ξένην ἔχοντα θέαν·
τοῦτο καὶ κλίναι καὶ στρωμναὶ καὶ τράπεζαι καὶ θρόνοι
καὶ ἅπαν, ὅπερ εἰς τρυφὴν ἡδύτατον ὑπάρχει,
ἦν καὶ ἐστὶ καὶ ἔσεται τὸ βλέπειν σε καὶ μόνον.
Οἱ οὖν, καθάπερ εἴρηται, μὴ βλέποντες τὸ φῶς σου,
μὴ παρὰ σοῦ βλεπόμενοι, ἀλλὰ κεχωρισμένοι
τῆς παναγάθου θέας σου, τῶν ἀγαθῶν στεροῦνται.
Ποῦ ἂν εὕρωσιν ἄνεσιν, ποῦ ἀνώδυνον τόπον;
Ἐν τίνι κατοικήσουσιν εὐθεῖς μὴ γεγονότες;
Σὺν τῷ προσώπῳ σου καὶ γὰρ εὐθεῖς κατοικιοῦσι·
μεμόρφωσαι καὶ γὰρ αὐτῶν ἐν τῇ εὐθεῖ καρδίᾳ
καὶ κατοικοῦσι σὺν τῇ σῇ μορφῇ ἐν σοί, Χριστέ μου.
Ὢ θαῦμα, ὢ παράδοξον ἀγαθωσύνης δῶρον!

---

141. Ματθ. 17,2. 143. Α' Τιμ. 6,16.
147. Ἑβρ. 12,23. 148. Ἰω. 14,2-3.
165. Ψαλμ. 139,14. 166. Γαλ. 4,18.

ἐσὺ ἡ χαρὰ καὶ ἡ ἄνεση καὶ ἡ τρυφὴ καὶ ἡ δόξα·
ἐσὺ ἡ ἀγαλλίαση καὶ ἡ εὐφροσύνη ἐσύ,
καὶ ἡ χάρη σου θὰ λάμψει σὰν ἥλιος, Θεέ μου,
ἡ χάρη τοῦ παναγίου Πνεύματός σου σὲ ὅλους τοὺς ἁγίους,
καὶ θὰ λάμψεις ἀνάμεσά τους ἐσὺ ὁ ἀπρόσιτος ἥλιος
καὶ θὰ λάμψουν ὅλα κατὰ τὴν ἀναλογία
τῆς πίστης, τῶν ἔργων, τῆς ἐλπίδας καὶ τῆς ἀγάπης,
ἀνάλογα μὲ τὴν κάθαρση καὶ τὸ φωτισμὸ τοῦ Πνεύματός σου,
Θεέ, ὁ μόνος μακρόθυμος καὶ κριτὴς τῶν ὅλων.
Θὰ ὁριστοῦν γι' αὐτοὺς καὶ διάφοροι τόποι,
ὁ βαθμὸς τῆς λαμπρότητας κι ὁ βαθμὸς τῆς ἀγάπης
τῆς θεωρίας τοῦ προσώπου σου, πόση πάλι ἔχουν
λάμψη ἀπὸ τὸ μεγαλεῖο σου, πόση τρυφὴ καὶ δόξα
στὴν κατανομὴ τῶν κατοικιῶν καὶ τῶν παράδοξων διαμονῶν.
Ἐδῶ κατασκηνώσεις διάφορες, ἐκεῖ πολλὲς κατοικίες,
ἐδῶ στολὲς ὁλόλαμπρες πάμπολλων ἀξιωμάτων
καὶ στεφάνια ὁλοστόλιστα, πέτρες, μαργαριτάρια
καὶ τ' ἄνθη τ' ἀμάραντα μὲ τὴν παράξενη θέα·
ἀλλὰ καὶ κλίνες καὶ στρώματα καὶ τραπέζια καὶ καθίσματα
καὶ τὸ κορύφωμα, ἡ γλυκύτερη ἀπόλαυση,
ποὺ ἦταν, εἶναι καὶ θὰ εἶναι, νὰ βλέπουν ἐσένα καὶ μόνο.
Μὰ ὅποιοι, ὅπως εἶπα, δὲ βλέπουν τὸ φῶς σου,
καθὼς δὲν τοὺς ἀγγίζει τὸ βλέμμα σου, ἀλλὰ εἶναι χωρισμένοι
ἀπὸ τὴν πανάγαθη θέα σου, στεροῦνται τὰ ἀγαθά.
Ποῦ θὰ βροῦν ἄνεση; Ποῦ τόπο χωρὶς ὀδύνες;
Ποῦ θὰ κατοικήσουν, ἀφοῦ δὲν ἔγιναν εὐθεῖς;
Γιατὶ μαζὶ μὲ λόγου σου θὰ κατοικήσουν οἱ εὐθεῖς.
Ἔχεις βάλει τὴ μορφή σου μέσα στὴν ἄδολη καρδιά τους
κι ἔχοντας τὴ μορφή σου μαζί της κατοικοῦν σ' ἐσένα,
Χριστέ μου. Ὢ θαῦμα, ὢ παράδοξο δῶρο καλοσύνης!

---

153 κ.ἑ. Ζωντανὴ παρουσίαση τοῦ χωρίου τοῦ Ἰω. 14,2. «ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου πολλαὶ μοναί εἰσι».

163–214 Ἔκθεση τῆς κατάστασης μακαριότητας, θὰ λέγαμε, τὴν ὁποία ζοῦν οἱ ἅγιοι.

Ἐν τῇ μορφῇ τῇ τοῦ Θεοῦ τοὺς ἀνθρώπους γενέσθαι
καὶ μορφωθῆναι ἐν αὐτοῖς τὸν ἀχώρητον πᾶσι,
τὸν ἀναλλοίωτον Θεόν, τὸν ἄτρεπτον τῇ φύσει,
τὸν εἰς πάντας βουλόμενον ἐνοικεῖν τοὺς ἀξίους,
ὡς ὅλον ἔχειν ἕκαστον ἐντὸς τὸν βασιλέα,
τὴν βασιλείαν τε αὐτὴν καὶ τὰ τῆς βασιλείας
καὶ λάμπειν, ὥσπερ ἔλαμψεν ἀναστὰς ὁ Θεός μου,
ὑπὲρ ἡλίου τὰς βολὰς τοῦ ὁρωμένου τούτου
καὶ οὕτω τῷ δοξάσαντι αὐτοὺς παρεστηκότες
ἔκθαμβοι διαμένουσιν ὑπερβολῇ τῆς δόξης
καὶ προσθήκῃ διηνεκεῖ λαμπρότητος τῆς θείας·
οὐδὲ γὰρ τέλος ἔσεται προκοπῆς εἰς αἰῶνας,
ἡ στάσις τῆς προσθήκης γὰρ τοῦ ἀτελέστου τέλους
ποιήσει καὶ κατάληψιν πάντως ἀκαταλήπτου,
καὶ προσκορὴς γενήσεται ὁ ἀκόρεστος πᾶσιν.
Ἀλλὰ τὸ πλήρωμα αὐτοῦ καὶ τοῦ φωτὸς ἡ δόξα
ἄβυσσος ἔσται προκοπῆς, ἀτέλεστος ἀρχὴ δέ·
καὶ ὥσπερ ἔχοντες Χριστὸν ἔνδον μεμορφωμένον
τούτῳ αὐτῷ παρίστανται λάμποντι ἀπροσίτως·
οὕτω τὸ τέλος ἐν αὐτοῖς ἀρχὴ τυγχάνει δόξης,
καὶ –ἵνα σοι σαφέστερον τὸ νόημα ποιήσω–
ἐν τέλει ἕξουσιν ἀρχὴν καὶ ἀρχῇ τὸ τέλος.
Τὸν ὑπερπλήρη νόει μοι ἀνενδεῆ προσθήκης,
τοῦ ἀτελοῦς τὸ τέλος δὲ τοὺς τρέχοντας μὴ φθάζειν.
Εἰ γὰρ παρέλθῃ οὐρανὸς ὁ ὁρώμενος οὗτος
καὶ γῆ καὶ πάντα τὰ ἐν γῇ, στοχάσθητι, τί εἶπον·
ἔσται τόπου κατάληψις, ἔνθα τέλος εὑρήσεις·
οὐ λέγω σοι σωματικόν, ἀλλὰ νοῒ ἰσχύσεις
καταλαβεῖν τὸ πλήρωμα τοῦ ἀσωμάτου κόσμου·
οὐ κόσμος δέ, ἀλλὰ ἀὴρ ὑπάρχει ὥσπερ πρώην·
οὐδὲ ἀήρ, ἀλλ' ἄφθεγκτος χῶρος, ὅνπερ τὸ πᾶν καλοῦσι.

169. Φιλ. 2,6. 176. Ματθ. 17,2.
178. Β' Κορ. 4,17.

Νὰ φτάσουν νὰ πάρουν οἱ ἄνθρωποι τὴ μορφὴ τοῦ Θεοῦ
καὶ νὰ λάβει μέσα τους μορφὴ αὐτὸς ποὺ δὲν χωροῦν τὰ πάντα,
ὁ Θεὸς ὁ ἀναλλοίωτος μὲ τὴν ἄτρεπτη φύση,
ποὺ ἐπιθυμεῖ νὰ κατοικεῖ σ' ὅλους τοὺς ἄξιους,
γιὰ νὰ ἔχει καθένας μέσα του τὸ βασιλιὰ ἀκέραιο,
τὴ βασιλεία ὁλόκληρη μὲ τὰ καλά της ὅλα
καὶ νὰ λάμπουν, ὡς ἔλαμψε σὰν ἀναστήθηκε ὁ Θεός μου,
πιὸ πολὺ ἀπὸ τὶς ἀκτίνες τοῦ ἥλιου ποὺ βλέπομε·
κι ἔτσι παραστεκόμενοι σ' ἐκεῖνον ποὺ τοὺς δόξασε,
νὰ μείνουν θαμπωμένοι ἀπὸ τὴν ὑπέλαμπρη δόξα
καὶ τὴν ἀδιάκοπη προσθήκη τῆς θείας δόξας·
καὶ στοὺς αἰῶνες δὲ θὰ δοῦν νὰ σταματᾶ ἡ προκοπή τους
κι ἂν σταματήσει ἡ προσθήκη σὲ πρόοδο ἀτελείωτη
θὰ φέρει τὴν κατάληψη τότε τοῦ ἀκατάληπτου,
καὶ θὰ χορτάσει αὐτὸν ποὺ δὲν χορταίνεται ἀπὸ τίποτα ἡ ψυχή.
Μὰ ἡ τέλεια κατανόηση κι ἡ δόξα τοῦ φωτός του
εἶναι ἄβυσσος προκοπῆς, ἀρχὴ μὲ δίχως τέλος,
κι ὅπως ἔχουν μέσα τους τὴ μορφὴ τοῦ Χριστοῦ,
στέκονται δίπλα του ἐνῶ λάμπει μὲ φῶς ἀπρόσιτο,
ἔτσι ὁ θάνατός τους γίνεται γι' αὐτοὺς ἀρχὴ τῆς δόξας
καί, γιὰ νὰ σοῦ τὸ πῶ πιὸ εὐκολονόητα,
στὸ τέλος θὰ βροῦνε τὴν ἀρχὴ καὶ στὴν ἀρχὴ τὸ τέλος.
Προσθήκη δὲ χρειάζεται, σκέψου, ὅποιος ξεχειλίζει
καὶ στὸ τέλος τοῦ ἀτελείωτου δὲ φτάνουν ὅσοι τρέχουν.
Ἂν περάσει ὁ οὐρανὸς αὐτὸς ποὺ βλέπομε
καὶ ἡ γῆ καὶ ὅσα τῆς γῆς, τί σοῦ εἶπα, σκέψου:
μπορεῖς στὸ νοῦ νὰ βάλεις τὸν τόπο ὅπου θὰ βρεῖς τέλος·
δὲν ἐννοῶ σωματικό, ἀλλὰ θὰ καταλάβεις
ὅλο τὸ νόημα τοῦ ἀσώματου κόσμου μὲ τὸ νοῦ.
Καὶ δὲν εἶναι κόσμος, ἀλλὰ ὅπως στὴν ἀρχὴ ἀέρας
κι οὔτε ἀέρας μὰ τόπος ἄρρητος, ποὺ τὸν λὲν σύμπαν,

186. Α΄ Κορ. 4,19. 190. Ἀποκ. 21,6.
193. Ματθ. 5,18.

καὶ ἔστιν ἄβυσσος ἀτέλεστος εἰς ἅπαν,
ἐξ ἴσης ὅλον πάντοθεν, μερῶν ἐξ ἑκατέρων·
τοῦτο τὸ πᾶν πεπλήρωται θεότητος τῆς θείας.
Οἱ οὖν αὐτοῦ μετέχοντες, ἐν αὐτῷ τε οἰκοῦντες,
πῶς ὅλον περιλάβωσιν, ἵνα καὶ κορεσθῶσιν;
Ἢ πῶς τοῦ τέλους δράξωνται τοῦ ἀτελοῦς, εἰπέ μοι;
Ἀδύνατον καὶ πάντῃ δὲ ἀμήχανον ὑπάρχει·
οὔτε γὰρ ὧδε πέλουσιν ἐν σαρκὶ τοῖς ἁγίοις,
οὔτε ἐκεῖ ἐν τῷ Θεῷ μεταστᾶσι τοιαύτη
ἔννοια ὅλως ἐν αὐτοῖς ὑπεισελθεῖν ἰσχύει·
καὶ γὰρ κατακαλύπτονται φωτὶ τῆς θείας δόξης,
ἐλλάμπονται καὶ λάμπουσι καὶ τρυφῶσιν ἐν τούτοις
καὶ ἴσασιν ὡς ἀληθῶς πάσῃ πληροφορίᾳ,
ὡς ἔσεται ἀτέλεστος ἡ τούτων τελειότης
καὶ ἡ τῆς δόξης προκοπὴ ἀένναος ὑπάρξει.
Οἱ δὲ Θεοῦ ἐκπίπτοντες θαυμάζω, ποῦ καὶ στῶσιν,
ἀπὸ τοῦ ὄντος πανταχοῦ ἀφεστηκότες πόρρω,
καὶ ὄντως φρίκης, ἀδελφοί, θαῦμα μεγάλης γέμον,
δεόμενόν τε λογισμοῦ νοὸς πεφωτισμένου,
ἵνα καλῶς νοήσειε τοῦτο καὶ μὴ ἐμπέσῃ
εἰς αἵρεσιν ὡς ἀπιστῶν θείου Πνεύματος λόγους.
Ἐντὸς μὲν πάντως τοῦ παντὸς ὑπάρξουσι καὶ οὗτοι,
ἔξω φωτὸς δὲ τοῦ θείου καὶ Θεοῦ ὄντως ἔξω·
ὥσπερ γὰρ οἱ μὴ βλέποντες λάμποντος τοῦ ἡλίου,
κἂν ὅλοι περιλάμπωνται, ἔξω φωτὸς τελοῦσιν,
αἰσθήσει θεωρίᾳ τε κεχωρισμένοι τούτου·
οὕτως ἐστὶν ἐν τῷ παντὶ φῶς τῆς Τριάδος θεῖον
καὶ μέσον οἱ ἁμαρτωλοὶ ἐν σκότει καθειργμένοι,
μὴ βλέποντες, μὴ αἴσθησιν ὅλως ἔχοντες θείαν,
ἀλλὰ κατακαιόμενοι αὐτῶν τῇ συνειδήσει
καὶ καταδικαζόμενοι, ἀπόρρητον τὴν θλῖψιν
καὶ τὴν ὀδύνην ἄφθεγκτον ἕξουσιν εἰς αἰῶνας.

καὶ ποὺ εἶναι ἄβυσσος ἀτελείωτη γιὰ πάντα,
καὶ εἶναι ἴση ἀπὸ παντοῦ, ἀπὸ τὴ μιὰ καὶ τὴν ἄλλη·
αὐτὸ τὸ σύμπαν εἶναι ἀπ' τὴ θεότητα γεμάτο ὡς πέρα,
κι ὅποιοι εἶναι μέρη του καὶ κατοικοῦν σ' αὐτό,
πῶς θὰ τὸ περιλάβουν ὅλο γιὰ νὰ κορεστοῦν;
Ἢ πῶς θ' ἁρπάξουν τὸ τέλος τοῦ ἀτελείωτου, πές μου;
Δύναμη δὲν ὑπάρχει γι' αὐτὸ οὔτε τρόπος.
Οὔτε ἐδῶ μὲ τὴ σάρκα πλησιάζουν τὰ ἅγια
οὔτε ἐκεῖ ὅταν μεταστοῦν στὸ Θεὸ μιὰ τέτοια
ἔννοια μπορεῖ νὰ γεννηθεῖ καθόλου μέσα τους.
Γιατὶ κατασκεπάζονται ἀπ' τὸ φῶς τῆς θείας δόξας,
αὐγάζονται κι ἀκτινοβολοῦν, τρυφοῦν μ' αὐτὰ
καὶ ἀληθινὰ γνωρίζουν μὲ κάθε βεβαιότητα,
ὅτι ἡ τελειότητά τους θὰ μείνει ἀνολοκλήρωτη
καὶ ἡ προκοπὴ στὴ δόξα θὰ εἶναι ἀέναη.
Ἀλλὰ θαυμάζω ὅσοι ἀπ' τὸ Θεὸ γλιστροῦν ποῦ θὰ σταθοῦν,
στέκοντας σὲ ἀπόσταση μακριὰ ἀπὸ τὸν Ὄντα παντοῦ,
κι εἶναι, ἀδέλφια μου, θαῦμα, γεμάτο μεγάλη φρίκη,
κι ἀπαιτεῖ λογισμὸ νοῦ φωτισμένου,
σωστὰ νὰ νιώσει τὸ θαῦμα καὶ νὰ μὴν πέσει
σὲ αἵρεση, ἀφοῦ ἀπιστεῖ στοῦ θείου Πνεύματος τὰ λόγια.
Βέβαια καὶ τοῦτοι θὰ εἶναι μέσα στὸ πᾶν
ἔξω ὅμως ἀπ' τὸ θεῖο τὸ φῶς καὶ τὸν ἀληθινὸ Θεό·
καθὼς ὅσοι δὲ βλέπουν ἐνῶ λάμπει ὁ ἥλιος,
κι ἂς λούζει ὅλους μὲ φῶς, μένουν ἀφώτιστοι
κι εἶναι μακριά του χωρὶς νὰ τὸν αἰσθάνονται καὶ νὰ τὸν βλέπουν,
ἔτσι τὸ θεῖο φῶς τῆς Τριάδας γεμίζει τὸ σύμπαν
κι εἶναι κλεισμένοι οἱ ἁμαρτωλοὶ στὴ μέση στὸ σκοτάδι
κι οὔτε βλέπουν οὔτε ἔχουν καμιὰ αἴσθηση τοῦ Θεοῦ,
ἀλλὰ φωτιὰ κατακαίει τὴ συνείδησή τους,
καὶ καταδικασμένοι θὰ ἔχουν θλίψη ἀνείπωτη
καὶ στοὺς αἰῶνες ὀδύνη ἀπερίγραπτη.

---

215. 'Ποῦ καὶ στῶσιν;' Τὸ ἐρώτημα εἶναι γιὰ ὅσους ἐκπίπτουν ἀπὸ τὸ Θεό· «ὄντως θαῦμα μεγάλης φρίκης γέμον'.

B

Τίς ἡ ἐπὶ τῷ πατρὶ τούτῳ γενομένη ἀλλοίωσις καὶ πῶς καθαρθεὶς εἰς ἄκρον ἡνώθη Θεῷ καὶ οἷος ἐξ οἵου ἐγένετο, οἱ πρὸς Θεὸν ἐρωτικοὶ αὐτοῦ λόγοι δηλοῦσιν ἐνταῦθα· ὃς καὶ πρὸς τῷ τέλει θεολογῶν λέγει περὶ ἀγγέλων.

Τίς ἡ ἄμετρος εὐσπλαχνία σου, σῶτερ;
Πῶς ἠξίωσας μέλος σόν με γενέσθαι,
τὸν ἀκάθαρτον, τὸν ἄσωτον, τὸν πόρνον;
Πῶς ἐνέδυσας στολήν με λαμπροτάτην
ἀπαστράπτουσαν αἴγλην ἀθανασίας
καὶ φῶς ποιοῦσαν ἅπαντά μου τὰ μέλη;
Σῶμα γὰρ τὸ σόν, τὸ ἄχραντον καὶ θεῖον
ἀπαστράπτει ὅλον πυρὶ θεότητός σου
ἀναφυραθὲν καὶ συμμιγὲν ἀρρήτως·
τοῦτο οὖν κἀμοὶ ἐδωρήσω, Θεέ μου.
Τὸ γὰρ ῥυπαρὸν καὶ φθαρτὸν τοῦτο σκῆνος
τῷ παναχράντῳ ἑνωθὲν σώματί σου
καὶ μιγὲν τὸ αἷμά μου τῷ αἵματί σου
ἡνώθην, οἶδα, καὶ τῇ θεότητί σου
καὶ γέγονα σὸν καθαρώτατον σῶμα,
μέλος ἐκλάμπον, μέλος ἅγιον ὄντως,
μέλος τηλαυγὲς καὶ διαυγὲς καὶ λάμπον.
Ὁρῶ τὸ κάλλος, βλέπω τὴν λαμπηδόνα,
ἐνοπτρίζομαι τὸ φῶς τῆς χάριτός σου
καὶ τὸ ἄρρητον ἐκπλήττομαι τῆς αἴγλης
καὶ ἐξίσταμαι κατανοῶν ἑαυτόν·

---

3. Ἐφ. 5,5.

2

Ποιά εἶναι ἡ ἀλλοίωση ποὺ ἔγινε σ' αὐτὸν τὸν πατέρα καὶ πῶς τέλεια καθαρμένος ἑνώθηκε μὲ τὸ Θεό, καθὼς καὶ πῶς ἦταν προηγουμένως καὶ πῶς ἔγινε ἔπειτα· αὐτὰ δηλώνουν ἐδῶ οἱ ἐρωτικοί του λόγοι πρὸς τὸ Θεό· θεολογώντας μιλᾶ πρὸς τὸ τέλος καὶ γιὰ τοὺς ἀγγέλους.

Τί σημαίνει τὸ ἄπειρο ἔλεός σου, Σωτήρα;
Πῶς μέλος τοῦ σώματός σου μ' ἀξίωσες νὰ γίνω,
τὸν ἀκάθαρτο ἐμένα, τὸν ἄσωτο, τὸν πόρνο;
Πῶς μοῦ φόρεσες ὁλόλαμπρη στολή,
ποὺ ἀκτινοβολεῖ αἴγλη ἀθανασίας
καὶ κάνει φῶς ὅλα τὰ μέλη μου;
Τὸ σῶμα τὸ δικό σου, τὸ ἄχραντο καὶ θεῖο,
ἀστράφτει ἀκέραιο μὲ τὴ φλόγα τῆς θεότητάς σου
ἀνακραμένο καὶ σμιγμένο ἀνέκφραστα.
Τὸ σῶμα αὐτὸ δώρισες καὶ σὲ μένα, Θεέ μου.
Γιατὶ τὸ ρυπαρὸ καὶ φθαρτὸ τοῦτο σκῆνος
μὲ τὸ πανάχραντο ἑνωμένο σῶμα σου
καὶ τὸ αἷμα σου μὲ τὸ δικό μου ὡς ἔσμιξε,
ξέρω, μὲ τὴ θεότητά σου ἑνώθηκα
καὶ τὸ δικό σου καθαρότατο σῶμα ἔγινα
μέλος ποὺ ἀστράφτει, μέλος ἅγιο ἀληθινά,
φωτίζει ὡς πέρα κι ἀκτινοβολεῖ καὶ λάμπει.
Θωρῶ τὴν ὀμορφιά σου καὶ τὴ λαμπηδόνα,
σὰν σὲ καθρέφτη τὸ φῶς τῆς χάριτός σου,
μὲ ξαφνιάζει ἡ ἀνείπωτή σου λάμψη
καὶ μένω ἐκστατικὸς βλέποντας τὸν ἑαυτό μου

4. Λουκᾶ 15,22.

ἐκ ποίου οἷος ἐγενόμην, ὢ θαῦμα!
Καὶ εὐλαβοῦμαι καὶ ἐμαυτὸν αἰδοῦμαι
καί, ὡς σὲ αὐτόν, καὶ τιμῶ καὶ φοβοῦμαι
καὶ ἐξαπορῶ, ἐντρεπόμενος ὅλος,
τὸ ποῦ καθίσω καὶ τίνι προσεγγίσω
καὶ ποῦ τὰ μέλη τὰ σὰ προσανακλίνω,
εἰς ποῖα ἔργα, εἰς ποίας ταῦτα πράξεις
ὅλως χρήσωμαι τὰ φρικτά τε καὶ θεῖα.
Δός μοι καὶ λαλεῖν καὶ πράττειν, ἅπερ λέγω,
ὦ δημιουργὲ καὶ πλάστα καὶ Θεέ μου!
Εἰ γάρ, ἃ λαλῶ, οὐκ ἐκπληρῶ ἐξ ἔργου,
γέγονα χαλκὸς ἠχῶν μάτην μεγάλα
καὶ ἀναισθητῶν πρὸς τὴν ἠχὴν τῶν κτύπων·
ἀλλὰ μὴ ἀφῇς μηδὲ ἐγκαταλίπῃς
μηδὲ πλανᾶσθαι ἐάσῃς με, σωτήρ μου,
τὸν ταλαίπωρον, τὸν πτωχόν τε καὶ ξένον,
τὸν μυρία σοι τάλαντα χρεωστοῦντα,
ἀλλ' ὥσπερ πάλαι, καὶ νῦν ποίησον, Λόγε!
Τότε γὰρ κλήρου καὶ γῆς πατρῴας πάσης,
πατρός, ἀδελφῶν, μητρός, ἰδίων, ξένων
καὶ ἄλλων πάντων συγγενῶν τε καὶ φίλων
ἀπεχώρισας ἁμαρτωλόν με ὄντα
καὶ πάντων τούτων εὐτελέστερον, σῶτερ,
καὶ προσελάβου σαῖς ἀχράντοις ἀγκάλαις
τὸν ἀγνώμονα φανέντα τοῖς καλοῖς σου.
Οὕτω καὶ νῦν με ἐλέησον, οἰκτίρμον,
οὕτω μᾶλλον δὲ μειζόνως, ὦ Θεέ μου,
καὶ σπλαγχνίσθητι καὶ περιφύλαξόν με
καὶ τοῦ θυμοῦ μου πράϋνον τὰς κινήσεις
καὶ ἱκάνωσον τοῦ μακροθύμως φέρειν

---

33. Α' Κορ. 13,1. 38. Ματθ. 18,24. 41. Ματθ. 19,29.

22. 'Εκ ποίου οἷος ἐγενόμην', ποιός ἤμουν καὶ τί ἔχω γίνει· αὐτὴ εἶναι ἡ

τί γίνηκα ἀπ' αὐτὸ ποὺ ἤμουνα πρῶτα, ὢ θαῦμα.
Εὐλαβοῦμαι καὶ τὸν ἑαυτό μου ντρέπομαι
καὶ τὸν τιμῶ σὰ νὰ εἶσαι ἐσὺ καὶ φοβοῦμαι
κι εἶμαι ὅλος ἀπορία κι ὅλος φροντίδα,
ποῦ νὰ καθίσω καὶ ποιόν νὰ πλησιάσω,
ποῦ τὰ δικά σου μέλη ν' ἀποθέσω,
σὲ ποιά ἔργα καὶ σὲ ποιές πράξεις τὰ δικά σου,
τὰ φριχτὰ μέλη αὐτὰ καὶ θεῖα νὰ ὁδηγήσω.
Δῶσε τὰ λόγια μου ἔργα νὰ τὰ κάνω,
ὢ δημιουργὲ καὶ πλάστη μου καὶ Θεέ μου!
Γιατὶ ὅσα λέω ἂν δὲ γίνονται ἔργα
χάλκινο εἶμαι κύμβαλο ποὺ μάταια ἠχεῖ,
ποὺ τί σημαίνουν τὰ χτυπήματα δὲ νιώθω·
ἀλλὰ ὅμως μὴ μ' ἀφήσεις, μὴ μὲ παρατήσεις,
μήτε, Σωτήρα μου, ἐπιτρέψεις νὰ πλανιέμαι
ἐγὼ ὁ ταλαίπωρος, ὁ φτωχὸς κι ὁ ξένος,
ποὺ εἶναι ἄπειρα ὅσα τάλαντα σοῦ ὀφείλω.
Ἀλλὰ ὅπως πρῶτα κάνε, Λόγε, ἐσὺ καὶ τώρα.
Τότε ἀπ' τὸν κλῆρο μου κι ὅλη τὴν πατρική μου γῆ,
ἀπὸ πατέρα, ἀδέρφια, μητέρα, δικοὺς καὶ ξένους
κι ὅλους τοὺς ἄλλους συγγενεῖς καὶ φίλους
μὲ χώρισες, Σωτήρα, ἐνῶ ἤμουν ἁμαρτωλὸς
κι ἀπ' ὅλους τούτους πολὺ πιὸ ἀνάξιος
καὶ δέχτηκες στὴν ἄχραντη ἀγκαλιά σου
τὸν ἀχάριστο ἐμένα στὰ τόσα δῶρα σου
Ἔτσι καὶ τώρα, εὔσπλαχνε, ἐλέησέ με,
καὶ τώρα, Θεέ μου, πολὺ περισσότερο
τὴν εὐσπλαχνία σου δεῖξε μου καὶ φύλαξέ με
καὶ τοῦ θυμοῦ μου πράυνε τὰ ξεσπάσματα
καὶ κάνε με ἱκανὸ μακρόθυμα να' ἀντέχω

θεία ἀλλοίωση. Τὸ ρυπαρὸ ἀνθρώπινο σκεῦος μεταμορφώθηκε στὸ καθαρότατο σῶμα τοῦ Θεοῦ μὲ τὴ μετουσία τοῦ Θεοῦ.

30. Ἡ οὐσία γιὰ τὸ Χριστιανὸ εἶναι ὁ συνδυασμὸς τοῦ λόγου καὶ τῆς πράξης. 'Δός μοι καὶ λαλεῖν καὶ πράττειν ἅπερ λέγω'.

πάντα πειρασμὸν καὶ λύπην τὴν τοῦ βίου,
ὅσα ἐμαυτῷ προξενῶ κακοφρόνως,
ὅσα δαιμόνων πειράζει φθονερὰ φύσις
καὶ οἱ ἀσθενεῖς τούτων τῶν ἀδελφῶν μου
ἔργῳ μοι, λόγῳ προξενοῦσι, φεῦ οἴμοι,
ὅτι τὰ ἐμὰ μέλη με δαπανῶσι,
καὶ ὀδυνῶμαι δι' αὐτὰ ταῦτα πάλιν.
῎Αγομαι ποσὶ κεφαλὴ λαχὼν εἶναι
καὶ γυμνοποδῶ καὶ ἀκάνθαις κεντοῦμαι
καὶ σφόδρα ἀλγῶ τὴν ὀδύνην μὴ φέρων·
τοῖς ἔμπροσθεν εἷς τῶν ἐμῶν ποδῶν βαίνει
καὶ εἰς τοὐπίσω στρέφεται πάλιν ἄλλος·
ἔνθεν κἀκεῖθεν σύρουσιν, ἕλκουσί με
καὶ περισκελίζομαι καὶ πίπτω κάτω.
᾿Ακολουθεῖν οὖν οὐκ ἰσχύω τοῖς πᾶσι·
τὸ κεῖσθαι κακὸν καὶ τὸ ὁδεύειν οὕτως
χεῖρον πέλει τοῦ κεῖσθαι
ὡς πάσας ἄλλας συμφορὰς ὑπερβαῖνον.
Κύριε, δός μοι κατάνυξιν καὶ πένθος
καὶ ἀξίωσον ἐν τῷ σκότει τοῦ βίου,
ἐν τῷ κόσμῳ τούτῳ τε, τῷ τῆς λύπης χωρίῳ
ἐκδουλεῦσαί σοι καὶ καλῶς θεραπεῦσαι
καὶ τὰς ἁγίας ἐντολάς σου φυλάξαι!
Εὐχαριστῶ σοι, ὅτι ζῆν δέδωκάς μοι
καὶ γινώσκειν σε καὶ προσκυνεῖν, Θεέ μου·
τοῦτο γὰρ ζωή, τὸ σὲ γινώσκειν μόνον
Θεόν, κτίστην τε καὶ ποιητὴν ἁπάντων,
ἀγέννητον, ἄκτιστον, ἄναρχον, μόνον,
καὶ τὸν σὸν Υἱὸν ἀπὸ σοῦ γεννηθέντα,
καὶ ἐκπορευτὸν τὸ πανάγιον Πνεῦμα,
τὴν πανύμνητον τριαδικὴν μονάδα,

---

75. ᾿Από ὅλα τὰ δεινὰ ποὺ προκαλοῦνται στὸ Συμεών, ἀκόμα κι ἀπὸ

στοῦ βίου μου κάθε πειρασμὸ καὶ λύπη,
σ' ὅσα ἐγὼ κακοκέφαλα στὸν ἑαυτό μου προκαλῶ
κι ὅσους πειρασμοὺς οἱ φθονεροὶ μοῦ κάνουν δαίμονες
κι ὅσα οἱ ἀδύναμοι ἀπ' τοὺς ἀδελφούς μου,
ἀλίμονό μου, μὲ ἔργα μοῦ δημιουργοῦν καὶ λόγια,
μέλη κι αὐτοὶ μ' ἐμένα, μὲ καταεξαντλοῦν
κι ὀδύνη πάλι γι' αὐτὰ μὲ κυριεύει.,
Τὰ πόδια μὲ ὁδηγοῦν, ἐνῶ μοῦ ἔλαχε νὰ εἶμαι
κεφάλι, καὶ τρυποῦν ἀγκάθια τὰ γυμνά μου πόδια
κι ἀφάνταστα ὑποφέρω λυγίζοντας ἀπὸ τὸν πόνο.
Τό 'να μου πόδι πηγαίνει μπροστὰ
καὶ τὸ ἄλλο στρέφεται πρὸς τὰ πίσω πάλι,
ἀπὸ δῶ κι ἀπὸ κεῖ μὲ σέρνουν καὶ μὲ τραβοῦν
μπερδεύτηκαν τὰ πόδια μου καὶ πέφτω κάτω.
Δὲν ἔχω δύναμη ν' ἀκολουθῶ τοὺς πάντες·
κακὸ νά 'σαι πεσμένος καὶ νὰ βαδίζεις ἔτσι.
Εἶναι χειρότερο κι ἀπὸ τὸ πέσιμο
ὅλες τὶς ἄλλες συμφορὲς τὶς ξεπερνᾶ.
Δός μου, Κύριε, κατάνυξη καὶ πένθος
κι ἀξίωσέ με στῆς ζωῆς τὸ σκοτάδι
καὶ στὸν κόσμο τοῦτο, στὸν τόπο τῆς λύπης
νὰ σοῦ δουλέψω καὶ νὰ σὲ ὑπηρετήσω καλὰ
καὶ νὰ φυλάξω τὶς ἅγιες ἐντολές σου.
Σ' εὐχαριστῶ ποὺ μοῦ 'δωσες τὴ ζωὴ
νὰ σὲ γνωρίζω, Θεέ μου, καὶ νὰ σὲ προσκυνῶ.
Τοῦτο ἡ ζωή, ἐσένα νὰ γνωρίζω Θεὸ μόνο,
δημιουργὸ καὶ ποιητὴ τῶν ὅλων,
ἀγέννητο, ἄκτιστο, ἄναρχο, μονάχο,
κι ὁ γιός σου νά 'χει γεννηθεῖ ἀπὸ ἐσένα
καὶ τὸ πανάγιο πνεῦμα νὰ ἐκπορεύεται
μονάδα τριαδικὴ πανύμνητη,

ὑφισταμένους του, προέρχεται ἡ δωρεὰ τοῦ Θεοῦ πρὸς αὐτὸν 'ζῆν, γινώσκειν καὶ προσκυνεῖν' τὸ Θεό.

ἣν τὸ προσκυνεῖν εὐσεβῶς καὶ λατρεύειν
ὑπὲρ δόξαν ἅπασαν ἄλλην ὑπάρχει,
κἂν ἐπίγειον, κἂν οὐράνιον εἴπῃς.
Τί γὰρ ἀγγέλων, τί δὲ τῶν ἀρχαγγέλων,
κυριοτήτων, χερουβίμ, σεραφίμ τε
καὶ πασῶν ἄλλων στρατιῶν οὐρανίων
ὑπάρχει δόξα ἢ φῶς ἀθανασίας
ἢ χαρὰ ἢ ἔλλαμψις ζωῆς ἀΰλου,
εἰ μὴ τὸ ἓν φῶς τῆς ἁγίας Τριάδος
διαιρούμενον τρισσῶς ἀδιαιρέτως,
ὃ ἓν ὑπάρχει ἐν τρισὶ χαρακτῆρσι,
γινωσκόμενον ἀγνώστως, ὅσον θέλει·
οὐδὲ γὰρ ἐνδέχεται κτίσμα τὸν κτίστην
οὕτω γινώσκειν ὅλον, ὡς αὐτὸς εἶδεν
ἑαυτὸν κατὰ φύσιν·
κατὰ χάριν δὲ βλέπουσι καὶ νοοῦσιν
ἄγγελοι πάντες καὶ πᾶσα κτιστὴ φύσις,
οὐ καταλαμβάνοντες, ἀλλὰ νοοῦντες,
καθὸ γνωσθῆναι ἢ φανῆναι θελήσει
τοῖς τυφλοῖς τὸ φῶς ἢ καὶ βλέπουσι πάντως·
καὶ γὰρ ὀφθαλμὸς χωρὶς φωτὸς οὐ βλέπει,
ἀλλὰ καὶ ὁρᾶν ἐκ τοῦ φωτὸς λαμβάνει,
ὅτι παρ' αὐτοῦ καὶ ἐδημιουργήθη.
Κἂν ἀσώματον, κἂν ἐσώματον εἴπῃς,
εὑρήσεις πάντα Θεὸν πεποιηκότα.
Τὰ ἐν οὐρανοῖς εἴ τι δ' ἂν καὶ ἀκούσῃς,
τὰ ἐπὶ τῆς γῆς καὶ τὰ ἐν ταῖς ἀβύσσοις,
καὶ τούτων πάντων μία ζωὴ καὶ δόξα,
μία ἔφεσις καὶ μία βασιλεία,
πλοῦτος, χαρά, στέφανος, νῖκος, εἰρήνη
καὶ πᾶσα εὐπρέπεια ὑπάρχει ἄλλη,
ἡ ἐπίγνωσις τῆς ἀρχῆς καὶ αἰτίας,
ὅθεν παρήχθη καὶ γεγόνασι πάντα.
Τοῦτο σύστασις τῶν ἄνω καὶ τῶν κάτω,

πού αὐτὴν προσκυνοῦμε καὶ νὰ τὴ λατρεύομε εὐσεβῶς
εἶναι δόξα ἀπὸ ὅλες πιὸ μεγάλη,
δόξα τῆς γῆς ἂν πεῖς ἢ τ' οὐρανοῦ.
Ποιά ἄλλη γιὰ τοὺς ἀγγέλους καὶ τοὺς ἀρχαγγέλους,
γιὰ τὶς κυριότητες, τὰ Χερουβὶμ καὶ Σεραφὶμ
κι ὅλες τὶς ἄλλες τὶς οὐράνιες στρατιὲς
ποιά ἄλλη δόξα ὑπάρχει ἢ ἀθανασίας φῶς
ἢ χαρὰ ἢ λαμπηδόνα τῆς ἄυλης ζωῆς,
ἂν ὄχι τῆς ἁγίας Τριάδας τὸ ἕνα φῶς
ποὺ ἀχώριστα χωρίζεται σὲ τρία·
ποὺ εἶναι ἕνα σὲ τρία πρόσωπα
κι ἀμάθευτα μαθαίνεται, ὅσο θέλει.
Οὔτε εἶναι δυνατὸ τὸν κτίστη του ἕνα κτίσμα
νὰ τὸν γνωρίζει ὁλότελα ὅπως ὁ ἴδιος
τὸν ἑαυτό του γνωρίζει ὡς πρὸς τὴ φύση.
Μὰ κατὰ χάρη τὸν βλέπουν κι ἐννοοῦν
οἱ ἄγγελοι ὅλοι κι ὅλη ἡ κτιστὴ φύση
δὲν τὸν καταλαβαίνουν κατὰ βάθος, ἀλλὰ νιώθουν
νὰ δοῦν ὅσο θελήσει ἢ νὰ νιώσουν
τὸ φῶς οἱ τυφλοὶ ἤ, ὅπως καὶ νά 'ναι, νὰ τὸ δοῦνε.
Γιατὶ χωρὶς τὸ φῶς οὔτε τὰ μάτια βλέπουν
μ' ἀπὸ τὸ φῶς παίρνουν καὶ τὸ νὰ βλέπουν,
γιατὶ κι ἀπὸ τὸ φῶς δημιουργήθηκαν.
Κι ὅποιο σωματικὸ ἢ ἀσώματο κι ἂν πάρεις
ὅλα θὰ βρεῖς τὸ Θεὸ νὰ τά 'χει πλάσει.
Μ' ἂν κι ἀπ' τὰ οὐράνια ἀκούσεις κάτι
κι' ἀπ' τὰ ἐπίγεια καὶ στὴν ἄβυσσο ὅσα
καὶ γιὰ ὅλα τοῦτα μιὰ ζωή, μιὰ δόξα,
μιὰ ἐπιθυμία καὶ βασιλεία μία,
πλοῦτοι, χαρά, στεφάνι, νίκη, εἰρήνη
κι ὅποια ἄλλη ὑπάρχει ὀμορφιὰ στὸν κόσμο
τῆς ἀρχῆς ἡ ἐπίγνωση καὶ τῆς αἰτίας
ἀπ' ὅπου ὅταν προῆλθαν καὶ γενῆκαν.
Αὐτὸ εἶναι ἡ σύσταση τῶν ἄνω καὶ τῶν κάτω,

τοῦτο ἡ τάξις πάντων τῶν νοουμένων,
τοῦτο δούλωσις πάντων τῶν ὁρωμένων,
τοῦτο ἔσχον ἄγγελοι στάσιν βεβαίαν
προσλαβόμενοι γνῶσιν καὶ φόβον πλείω,
ὅτε πίπτοντα τὸν Σατανᾶν ἑώρων
καὶ τοὺς σὺν αὐτῷ ὑπαχθέντας οἰήσει·
ὅσοι γὰρ μόνον ἐπελάθοντο τούτου
καὶ κατέπεσον ἐπάρσει δουλωθέντες,
ὅσοι δὲ τοῦτο πάλιν εἶχον εἰς γνῶσιν,
ἐκουφίζοντο φόβῳ καὶ τῇ ἀγάπῃ,
προσκολλώμενοι τῷ ἑαυτῶν Δεσπότῃ.
Ὅθεν ἡ ἐπίγνωσις τῆς δεσποτείας
καὶ τὴν προσθήκην τῆς ἀγάπης ἐποίει,
ὅτι καὶ πλείω τὴν ἀστράπτουσαν αἴγλην
καὶ τρανοτέραν ἑώρων τῆς Τριάδος,
καὶ τοῦτο πάλιν πᾶσαν ἔννοιαν ἄλλην
ἀπεκρούετο καὶ ἀτρέπτους ἐποίει
τοὺς τρεπτὴν φύσιν τὸ κατ' ἀρχὰς λαβόντας
ἐν τῷ ὕψει μένοντας τῶν οὐρανίων.

αὐτὸ εἶναι ἡ τάξη ὅλων ὅσα νοοῦνται,
αὐτὸ ἡ ὑποταγὴ κι ὅσων θεωροῦμε,
αὐτὸ ἡ βέβαιη σταθερότητα ἦταν τῶν ἀγγέλων
σὰν γνώση ἀπόχτησαν καὶ φόβο πιὸ μεγάλο,
ὅταν τὸ Σατανὰ ἔβλεπαν νὰ πέφτει
ἀπὸ τὴν περηφάνεια καὶ τοὺς ὑποταχτικούς του.
Ὅσοι μόνο εἶχαν λησμονήσει τοῦτο
καὶ κατέπεσαν δουλωμένοι ἀπ᾽ τὴν ἔπαρσή τους,
κι ὅσοι πάλι ἦταν τοῦτο σὲ γνώση τους
ἀπὸ τὸ φόβο ἀνακουφίζονταν μὲ τὴν ἀγάπη
σφιχτὰ μὲ τὸ δεσπότη τους δεμένοι.
Γι᾽ αὐτὸ κι ἡ ἐπίγνωση τῆς ἀρχῆς τοῦ Δεσπότη
ἔφερνε καὶ τὴν πρόοδο τῆς ἀγάπης
καθὼς καὶ πιὸ πολλὴ ἔβλεπαν ν᾽ ἀστράφτει
τῆς Τριάδας ὁλοζώντανη τὴ λάμψη.
Καὶ τοῦτο πάλι κάθε ἔννοιαν ἄλλη
ἀπόδιωχνε κι ἀνάδειχνε ἀμετάτρεπτους
ὅποιους ἀπ᾽ τὴν ἀρχὴ τρεπτὴ εἶχαν λάβει φύση
ἐκεῖ στὰ ὕψη ὅπου ἔμεναν τῶν οὐρανίων.

Γ

Τίς ὁ μοναχὸς καὶ τίς ἡ αὐτοῦ ἐργασία καὶ εἰς ο ὕψος θεωρίας οὗτος ἀνῆλθεν.

Μοναχός, ὅστις ἀμιγής ἐστι κόσμῳ
καὶ ἀεννάως ὁμιλεῖ Θεῷ μόνῳ,
βλέπων βλέπεται, φιλῶν φιλεῖται
καὶ γίνεται φῶς λαμπόμενος ἀρρήτως·
δοξαζόμενος δοκεῖ πλέον πτωχεύειν
καὶ προσοικειούμενος ὡς ξένος πέλει.
Ὢ ξένου πάντη θαύματος καὶ ἀφράστου!
Διὰ πλοῦτον ἄπειρον ὑπάρχω πένης
καὶ μηδὲν ἔχειν δοκῶ πολὺ κατέχων
καὶ λέγω· Διψῶ διὰ πλῆθος ὑδάτων
καὶ τίς μοι δώσει, ὅπερ ἔχω πλουσίως,
καὶ ποῦ εὑρήσω, ὃν ὁρῶ καθ' ἑκάστην;
Πῶς δὲ κρατήσω, ὃ ἐντός μου ὑπάρχει
καὶ ἔξω κόσμου οὐ γὰρ βλέπεται ὅλως;
Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω
νοῶν ἀληθῶς ρήματα ἀγραμμάτου!

3

Ποιός εἶναι ὁ μοναχὸς καὶ ποιό τὸ ἔργο του· καὶ σὲ ποιό ὕψος θεωρίας ἀνέβηκε ὁ θεῖος αὐτὸς πατέρας.

Ὁ μοναχὸς ποὺ ἀποχωρίστηκε τὸν κόσμο
κι ἀδιάκοπα συνομιλεῖ μὲ μόνο τὸ Θεὸ
βλέπει τὸ Θεὸ κι ὁ Θεὸς τὸν βλέπει, τότε ἀγαπᾶ κι ἀνταγαπιέται
κι ὅπως φωτίζεται ἄρρητα γίνεται φῶς·
ἂν τὸν δοξάζουν νιώθει ταπεινότερος
κι ὅταν τὸν παίρνουν σὰ δικὸ νιώθει σὰν ξένος.
Θαῦμα παράδοξο κι ἀνέκφραστο!
Ὑπάρχω ἐγὼ ὁ φτωχὸς ἀπὸ πλοῦτον ἄπειρο
κι ἐνῶ πολλὰ κατέχω λέω δὲν ἔχω τίποτα.
Ρωτῶ: Καὶ μέσα σὲ νερῶν πλημμύρα
διψῶ· ποιός θὰ μοῦ δώσει ὅ,τι ἄφθονο ἔχω
καὶ ποῦ θὰ βρῶ ὅποιον βλέπω ὅλη τὴν ὥρα;
Πῶς θὰ κρατήσω αὐτὸ ποὺ ὑπάρχει ἐντός μου
κι ἔξω στὸν κόσμο πουθενὰ δὲ βλέπω;
Ὅποιος ἔχει αὐτιὰ ποὺ ἀκοῦνε ἂς ἀκούει.
ἐννοώντας ἀληθινὰ λόγια ἀγραμμάτου!

---

15. Ματθ. 11,15.

16. ‘ἀγραμμάτου’, κατὰ τὸ παράδειγμα τῶν μαθητῶν τοῦ Χριστοῦ, ποὺ ἦταν ‘ἀγράμματοι’ κατὰ κόσμον, ἀλλὰ ‘διδακτοὶ τοῦ ἁγίου Πνεύματος’. Τὸ μειονέκτημα γίνεται τίτλος τιμῆς.

Δ

Διδασκαλία εἰς μοναχοὺς ἄρτι ἀποταξαμένους κόσμῳ καὶ τοῖς ἐν κόσμῳ· καὶ περὶ τοῦ, ὁποίαν τις ὀφείλει πίστιν ἔχειν πρὸς τὸν ἴδιον πατέρα.

Ἄφες κόσμον ἅπαντα καὶ τοὺς ἐν κόσμῳ·
μόνον προσλαβοῦ τὸ μακάριον πένθος!
Θρήνησον μόνα τὰ κακῶς σοι πραχθέντα,
ὅτι ταῦτά σε τοῦ ποιητοῦ τῶν ὅλων
ἀπεστέρησαν, Χριστοῦ καὶ τῶν ἁγίων!
Μηδενὸς ἄλλου φροντίσῃς ἐκτὸς τούτου,
ἀλλὰ καὶ τὸ σῶμά σου ὡς ξένον ἔχε
καὶ κάτω βλέπε ὡς κατακεκριμένος
καὶ τὴν ἐπὶ θάνατον ὁδὸν βαδίζων
στέναζε ἀεὶ ἐκ βάθους τῆς καρδίας
καὶ τὸ πρόσωπον μόνοις δάκρυσι πλύνε!
Τοὺς δὲ πόδας σου, τοὺς εἰς κακὰ δραμόντας
μὴ θελήσῃς ὕδατι νίψαι μηδόλως,
ναὶ δή, καὶ τὰς χεῖράς σου συνεσταλμένας ἔχε·
ταύτας ἀναιδῶς πρὸς Θεὸν μὴ ἐκτείνῃς,
ἃς πολλάκις ἥπλωσας εἰς ἁμαρτίαν!
Κράτει προπετοῦς, ὅση δύναμις, γλώσσης
–εὐχερὴς καὶ γὰρ αὕτη πρὸς ἁμαρτίαν–,
ἐπεὶ δι' αὐτῆς μόνης καὶ τῶν μεγάλων
πολλοὶ ἀπεσφάλησαν ὁδοῦ εὐθείας
καὶ ἀπώλεσαν οὐρανῶν βασιλείαν.

---

2. Ματθ. 5,4.
12. Παρμ. 1,16.

4

Διδασκαλία πρὸς μοναχοὺς ποὺ ἀρνήθηκαν πρόσφατα τὸν κόσμο καὶ τὰ κοσμικὰ πράγματα. Ἀκόμα γιὰ τὸ πόση ἐμπιστοσύνη ὀφείλει νὰ ἔχει κάποιος στὸ δικό του πατέρα.

Ὅλο τὸν κόσμο κι ὅσους ζοῦν σ' αὐτὸν παράτησέ τους,
μόνο πάρε μαζί σου τὸ μακάριο πένθος!
Θρήνησε μόνο κακὰ ὅσα ἔχεις πράξει,[11]
γιατὶ αὐτὰ τὸ δημιουργὸ τῶν ὅλων
σοῦ στέρησαν τὸ Χριστὸ καὶ τοὺς ἁγίους.
Χώρια ἀπ' αὐτὸ γιὰ τίποτ' ἄλλο μὴ φροντίσεις.
Καὶ τὸ σῶμα σου ἀκόμα νὰ τὸ θεωρεῖς σὰν ξένο,
σὰν καταδικασμένος κάτω ἔχε τὸ βλέμμα
κι ὡς τὴν ὁδὸ βαδίζεις τοῦ θανάτου
στέναζε πάντα ἀπ' τῆς καρδιᾶς τὰ βάθη
καὶ πλύνε μὲ τὰ δάκρυά σου τὸ πρόσωπό σου!
Ἀλλὰ τὰ πόδια σου στὴν ἁμαρτία ποὺ ἐτρέξαν
καθόλου μὴ θελήσεις μὲ νερὸ νὰ πλύνεις,
καὶ βέβαια νάχεις μαζεμένα καὶ τὰ χέρια σου·
νὰ μὴν τ' ἁπλώνεις στὸ Θεὸ μ' ἀναίδεια
ποὺ στὴν ἁμαρτία συχνὰ ἔχεις ἁπλωμένα.
Τὴν αὐθάδη ὅσο μπορεῖς γλῶσσα σου κράτα
–γλιστρᾶ εὔκολα στῆς ἁμαρτίας τὸ δρόμο–
γιατὶ ἀπ' αὐτὴν καὶ μονάχα μεγάλοι
πολλοὶ ξαστόχησαν τὸν ἴσιο δρόμο
κι ἔχασαν τὴν οὐράνια βασιλεία.

---

11. Πολὺ σημαντικὸ μέσο κάθαρσης τῆς ψυχῆς γιὰ τὸ μοναχὸ εἶναι τὰ δάκρυα, τὰ πολλὰ καὶ θερμὰ δάκρυα τῆς μετάνοιας.

Ταύτης δὲ πρῶτον φράξον τὰς ἀκοάς σου,
ἀκούειν μηδὲν τῶν αἰσχρῶν καὶ ματαίων,
καὶ τότε ἴσως κυριεύσεις καὶ ταύτης.
Ἄκουε μόνας πατρός σου νουθεσίας,
ποιοῦ ταπεινὰς πρὸς αὐτὸν ἀποκρίσεις
καὶ ὡς τῷ Θεῷ λέγε τοὺς λογισμούς σου
μέχρι προσβολῆς καὶ μηδὲν ἀποκρύψῃς
μηδέ τι πράξῃς ἄνευ γνώμης τῆς τούτου,
μήτε κοιμηθῇς μήτε φάγῃς ἢ πίῃς!
Καὶ ὅτε ταῦτα φυλάξῃς ἐπὶ χρόνοις,
μηδὲν δοκήσῃς μέγα κατωρθωκέναι·
καὶ γὰρ ἔσπειρας ἐν ἱδρῶτι καὶ κόπῳ,
οὔπω δὲ καρπὸν τῶν σῶν πόνων ἐδρέψω.
Μὴ οὖν πλανηθῇς ἢ δόξῃς εὑρηκέναι,
πρὶν ἢ ὀφθαλμοὺς ψυχικοὺς ἐπικτήσῃ
καὶ σῆς καρδίας καθαρθῶσι τὰ ὦτα
τοῖς δάκρυσί σου ἐκπλυθέντα τοῦ ῥύπου
καὶ πνευματικῶς βλέπειν τε καὶ ἀκούειν
καὶ ἀλλοιοῦσθαι ὅλας αἰσθήσεις ἄρξῃ,
καὶ γὰρ θεάσῃ πολλὰ τῶν ἀνεκφράστων
καὶ ἀκούσεις πλείονα πανεξαισίως,
ἃ οὐ δυνήσῃ τῇ γλώσσῃ σου λαλῆσαι.
Φρικτὸν οὖν θαῦμα πνευματικῶς ἀκούειν,
καὶ τὸ οὕτως βλέπειν δὲ θαῦμα θαυμάτων!
Οὐδὲν σαρκικὸν ἐννοεῖ ὁ τοιοῦτός ποτε,
πατεῖ δὲ τὴν γῆν ὡς εἰς ἀέρα βαίνων,
πάντα τε ὁρᾷ μέχρι καὶ τῶν ἀβύσσων
καὶ κατανοεῖ τὰ ποιήματα πάντα,
γνωρίζει Θεόν, ἐκπλήττεται τῷ φόβῳ
καὶ ὡς ποιητὴν προσκυνεῖ καὶ δοξάζει·
μέγα τὸ γνωρίσαι δὲ τὴν δεσποτείαν,

---

22. Παρμ. 21,13. 34. Ψαλμ. 127,2.
43. Α' Κορ. 14,2.

Πρὶν ἀπὸ αὐτὴν τ' αὐτιὰ νὰ φράζεις πρέπει,
νὰ μὴν ἀκοῦς κανένα αἰσχρὸ οὔτε μάταιο
καὶ μπορεῖ τότε κι αὐτὴν νὰ ἐξουσιάσεις.
Τοῦ πατέρα σου μόνο τὶς συμβουλὲς ν' ἀκοῦς
καὶ ν' ἀποκρίνεσαι σ' αὐτὸν μὲ ταπεινότητα
καὶ λέγε του, ὅπως στὸ Θεό, τὶς σκέψεις σου
μόλις ποὺ σὲ πλησιάσουν καὶ μὴν κρύψεις τίποτε
μήτε δίχως τὴ γνώμη του νὰ πράξεις κάτι
μήτε νὰ κοιμηθεῖς μήτε νὰ φᾶς μήτε νὰ πιεῖς!
Κι ὅταν αὐτὰ γιὰ χρόνια τὰ φυλάξεις,
νὰ μὴ νομίσεις πὼς κατόρθωμα ἔχεις κάνει μέγα.
Ἔσπειρες ναί, μὲ ἱδρώτα καὶ μὲ κόπο,
μὰ τοὺς καρποὺς τῶν κόπων σου δὲ μάζεψες.
Μὴν πλανηθεῖς λοιπὸν καὶ μὴ θαρρεῖς πὼς βρῆκες
προτοῦ καὶ μάτια ψυχικὰ ἀποχτήσεις
καὶ τῆς καρδιᾶς σου καθαρθοῦν τ' αὐτιά,
ἀφοῦ τὸ ρύπο τους ξεπλύνεις μὲ τὰ δάκρυα σου
καὶ πιὰ πνευματικὰ νὰ βλέπεις καὶ ν' ἀκοῦς ἀρχίσεις,
μὲ τὶς αἰσθήσεις σου ἀλλαγμένες ὅλες.
Πολλὰ ἀπὸ ὅσα ἀνέκφραστα θὰ δεῖς
καὶ πανεξαίσια πιότερα θ' ἀκούσεις,
ποὺ μὲ τὴ γλώσσα σου νὰ πεῖς δὲ θὰ μπορέσεις.
Θαῦμα φριχτὸ νὰ φτάσεις σ' ἀκοὲς πνευματικὲς
καὶ τὰ ὅμοια ὁράματα θαυμάτων Θεοῦ μου!
Κανένα τότε σαρκικὸ τὸ σῶμα αὐτὸ δὲ σκέφτεται,
πατᾶ τὴ γῆ στὸν ἀέρα ὡς νὰ βαδίζει,
τὰ πάντα βλέπει ὡς μὲς στὰ μύχια τους
κι ὅλα τὰ δημιουργήματα καταλαβαίνει,
τὸ Θεὸ γνωρίζει, ἀπὸ τὸ φόβο του σαστίζει,
τὸν προσκυνᾶ ὡς ποιητὴ καὶ τὸν δοξάζει·
τὸν Κύριό σου ν' ἀναγνωρίσεις μέγα,

---

25. Δὲ γίνεται μοναχὸς χωρὶς πνευματικὸ πατέρα.

52. Ἐπίγνωση τῆς δεσποτείας τοῦ Θεοῦ, ποὺ εἶναι 'μέγα ἐπίτευγμα, ἔχουν μόνο 'οἱ φωτισθέντες'.

κἂν πάντες νομίζωσι τοῦτο εἰδέναι,
ἀπατῶνται δὲ πλεῖστοι, μὴ ἀμφιβάλῃς!
Τοῦτο ἴσασιν οἱ φωτισθέντες,
οἱ δ' ἄλλοι πάντες, ὢ τῆς δεινῆς ἀγνοίας,
σκοτεινότεροί εἰσι καὶ τῶν δαιμόνων.
Ἀλλ', ὦ Κύριε καὶ κτίστα τῶν ἁπάντων,
ὃς ἐποίησας ζῷον θνητὸν ἐκ γῆς με
καὶ ἐτίμησας χάριτι ἀθανάτῳ
καὶ ζῆν δέδωκας καὶ λαλεῖν καὶ κινεῖσθαι
καὶ δοξάζειν σέ, τὸ Δεσπότην τῶν ὅλων,
αὐτός, Δέσποτα, δός μοι τῷ ταλαιπώρῳ
καὶ προσπίπτειν σοι καὶ αἰτεῖν τὸ συμφέρον!
Ἀγνοῶ καὶ γάρ, πῶς παρήχθην ἐν κόσμῳ
καὶ τί τὰ τῇδε, ἃ νομίζουσιν εἶναι·
τίς ἡ ὅρασις ἡ ἐμή, ὦ Θεέ μου,
τί δὲ τὰ ὁρώμενα, εἰπεῖν οὐκ ἔχω,
πῶς ἐματαιώθημεν ἄνθρωποι πάντες
καὶ κρίσιν ὀρθὴν οὐκ ἔχομεν τῶν ὄντων.
Χθὲς ἦλθον πάντως καὶ αὔριον ὑπάγω
καὶ εἶναι δοκῶ ἀθάνατος ἐνταῦθα.
Ἔχειν σε Θεὸν ὁμολογῶ τοῖς πᾶσιν,
ἀρνοῦμαι δέ σε τοῖς ἔργοις καθ' ἑκάστην·
διδάσκομαί σε ποιητὴν εἶναι πάντων,
ἄνευ δὲ βιάζομαί σου πάντα ἔχειν.
Σὺ βασιλεύεις τῶν ἄνω καὶ τῶν κάτω
κἀγὼ μόνος σοι ἀντιπίπτειν οὐ φρίσσω·
δὸς τῷ ἀπόρῳ, δός μοι τῷ παναθλίῳ
πᾶσαν ἀπορρίψασθαι ψυχῆς κακίαν,
ἣν φυσίωσις, ἣν ἔπαρσις ματαία
συνθλῶσιν ἅμα καὶ συντρίβουσιν, οἴμοι!
Δὸς ταπείνωσιν, δὸς χεῖρα βοηθείας
καὶ καθάρισον τὸν ῥύπον τῆς ψυχῆς μου

---

61. Πράξ. 17,28.

κι ἂν ὅλοι αὐτὸν νομίζουν πὼς γνωρίζουν,
μὴν ἀμφιβάλλεις, ξεγελιοῦνται οἱ περισσότεροι.
Τὸ ξέρουν τοῦτο ὅσοι φωτίστηκαν
καὶ οἱ ἄλλοι ὅλοι στὴ δεινὴ ἄγνοιά τους
εἶναι κι ἀπὸ τοὺς δαίμονες πιὸ σκοτεινοί.
Μά, ὦ Κύριε καὶ κτίστη ὅλων τῶν κόσμων,
ποὺ μ' ἔβγαλες ἀπὸ τὴ γῆ θνητὸ ζωντανὸ πλάσμα
καὶ μὲ τὴ χάρη σου μ' ἔχεις τιμήσει τὴν ἀθάνατη
καὶ μοῦ 'δωσες νὰ ζῶ καὶ νὰ μιλῶ καὶ νὰ κινοῦμαι
καὶ νὰ δοξάζω ἐσὲ τῶν ὅλων τὸ δεσπότη,
ἐσύ, Κύριε μου, στὸν ταλαίπωρο ἐμένα δῶσε
νὰ σοῦ προσπέφτω καὶ νὰ σοῦ ζητῶ ὅ,τι μοῦ συμφέρει.
Γιατὶ ἀγνοῶ πῶς βρέφθηκα στὸν κόσμο
καὶ ποιά τὰ ἐδῶ, ποὺ λένε πῶς ὑπάρχουν.
Τί εἶναι, Θεέ μου, ἡ ὅρασή μου
καὶ τί τὰ ὅσα θεωρῶ, δὲν ἔχω ἀπόκριση.
Πῶς οἱ ἄνθρωποι ὅλοι ἀνοητέψαμε
καὶ γνώμη ὀρθὴ δὲν ἔχομε γιὰ τὰ ὄντα.
Χτὲς ἦρθα ὅπως καὶ νἆναι κι αὔριο φεύγω
κι ὅμως ἐδῶ λέγω πὼς εἶμαι ἀθάνατος.
Σ' ὅλους ὁμολογῶ πὼς σ' ἔχω Θεό μου,
ἀλλὰ μὲ τὰ ἔργα μου σ' ἀρνοῦμαι ὅλη τὴ μέρα.
Ὅλα μοῦ λὲν πὼς εἶσαι δημιουργὸς τοῦ κόσμου,
μὰ ὑποστηρίζω ὅτι ἔχω δίχως σου τὰ πάντα.
Σὺ ὁ βασιλιὰς τῶν ἄνω καὶ τῶν κάτω
καὶ δὲν τρομάζω μόνο ἐγὼ νὰ σ' ἀντιμάχομαι.
Στὸ στερημένο ἐμένα, τὸν πανάθλιο
δῶσε κάθε κακία ν' ἀπορρίψω ἀπ' τὴν ψυχή μου,
ποὺ περηφάνεια μάταιη κι ἔπαρση πλακώνουν
κι ἀλί! μὲ λιώνουνε καὶ μὲ συντρίβουν.
Δόσμου ταπείνωση, χέρι ἅπλωσε βοήθειας,
καθάρισε τὸ ρύπο τῆς ψυχῆς μου,

---

69. Ρωμ. 1,21 καὶ Ψαλμ. 61,9.

καὶ παράσχου μοι δάκρυα μετανοίας,
δάκρυα πόθου, δάκρυα σωτηρίας,
δάκρυα καθαίροντα ζόφον νοός μου
καὶ λαμπρόν με ἄνωθεν ἀποτελοῦντα,
τὸν ὁρᾶν σε θέλοντα, τὸ φῶς τοῦ κόσμου,
τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν, τοῦ ἀθλίου,
τοῦ καρδίαν γέμουσαν κακῶν τοῦ βίου
ἔχοντος πολλῶν ἐκ θλίψεων καὶ φθόνου
τῶν δραματουργῶν τῆς ἐμῆς ἐξορίας
ἤ, μᾶλλον εἰπεῖν, τῶν ἐμῶν εὐεργετῶν,
τῶν δεσποτῶν μου, τῶν ἐμῶν ὄντως φίλων,
οἷς ἀντὶ κακῶν δὸς ἀγαθά, Χριστέ μου,
τὰ αἰώνια, τὰ καὶ πλούσια καὶ θεῖα,
ἃ ἡτοίμασας εἰς αἰῶνας αἰώνων
τοῖς σὲ ποθοῦσι καὶ φιλοῦσιν ἐκθύμως!

καὶ δάκρυα δῶσε μου μετάνοιας,
κλάματα πόθου, δάκρυα σωτηρίας,
δάκρυα ποὺ τοῦ νοῦ τὸ ζόφο διώχνουν
καὶ λαμπρὸ γιὰ τ' ἄνω μ' ἀναδείχνουν,
ἐμένα ποὺ νὰ βλέπω θέλω ἐσὲ τὸ φῶς τοῦ κόσμου,
τῶν ματιῶν μου τὸ φῶς τοῦ ἄθλιου ἐμένα,
ποὺ ἔχω καρδιὰ γεμάτη ἀπὸ τοῦ βίου
τὰ δεινά, θλίψεις πολλὲς καὶ φθόνο
ποὺ τὸ δράμα τῆς ἐξορίας μου ἔχουν πλέξει
ἢ πιὸ καλὰ ποὺ μ' εὐεργέτησαν μ' αὐτή,
ποὺ μὲ χειραγωγοῦν καὶ φίλοι μου εἶναι ἀληθινοί.
'Αντὶ δεινὰ γι' αὐτὰ δόσμου ἀγαθά, Χριστέ μου,
ἀγαθὰ αἰώνια, πλούσια καὶ θεῖα,
ποὺ γιὰ τοὺς αἰῶνες τῶν αἰώνων ἔχεις ἑτοιμάσει
γιὰ ὅσους σὲ ποθοῦν καὶ σ' ἀγαποῦν ὁλόθυμα.

Ε

Ἀλφάβητος τοῦ αὐτοῦ κατὰ στοιχεῖον διπλοῦς προτρέπων καὶ ὁδηγῶν εἰς τελειότητα βίου ἀναδραμεῖν τὸν ἄρτι ἀπὸ τοῦ κόσμου ἀναχωρήσαντα.

Ἀρχὴν ποιήσας Χριστὸν καὶ θερμὴν πίστιν
οὕτως ἀναχώρησον ἀπὸ τοῦ κόσμου
Βάδιζε φεύγων συγγενεῖς τε καὶ φίλους!
τοῦτο γὰρ ὠφέλιμον τοῖς ἀρχαρίοις
Γυμνὸς πρόσελθε τῶν ὑλῶν τῷ ἀΰλῳ,
οὐδὲν μεῖζον εὑρήσεις εἰς συμμαχίαν
Δειλίαν πᾶσαν ἀπὸ σοῦ ἀπορρίψας,
πρὸς δυνατὸν γὰρ προσέφυγες Δεσπότην
Ἐλπίδα μᾶλλον προσλαβὼν ἀδιστάκτως!
καὶ γὰρ κήδεται τῶν μικρῶν στρουθίων.
Ζυγὸν βάστασον, τὸν ἐλαφρὸν κύριον,
πολλὴ ἡ ἀντίδοσις γὰρ τῶν μελλόντων
Ἡμᾶς βροτοὺς ἅπαντας σῴζοντα δῶρον,
καὶ γὰρ ἠγοράσθημεν αἵματι θείῳ
Θεοὺς δεικνύντα δυνάμει τοῦ καλοῦντος,
τοῦτο γὰρ ἡ σάρκωσις ἡ τοῦ Δεσπότου,
Ἵν' ἔργῳ γνῷς τῶν ἔργων τὰς ἐκβάσεις
τὸ πάντων θαυμαστότερον τῶν δρωμένων.
Καλόν σοι κέρδος ἐκκοπὴ θελημάτων,
μάρτυρα δεικνύει σε τῇ συνειδήσει.

5α. Ματθ. 10,29. 6. Ματθ. 11,30.

* Ἡ ἀλφαβητικὴ παράθεση τῶν στίχων (ἀκροστιχίδα) εἶναι συχνὴ στὴ χριστιανικὴ λογοτεχνία.

2. Κάθε μονὸς στίχος εἶναι ἕνα παράγγελμα, μιὰ συμβουλή, κάθε ζυγὸς

5 *

Πίνακας διπλὸς σύμφωνα μὲ τὰ στοιχεῖα τοῦ ἀλφαβήτου, ποὺ προτρέπει καὶ ὁδηγεῖ νὰ σπεύσει γιὰ τὴν τελειότητα τοῦ βίου αὐτὸν ποὺ μόλις ἀναχώρησε ἀπὸ τὸν κόσμο.

Ἀρχὴ βάλε τὸ Χριστὸ καὶ τὴ θερμὴ πίστη
κι ἔτσι ἀναχώρησε ἀπ' τὸν κόσμο.
Βάδιζε ἀπὸ τοὺς συγγενεῖς καὶ φίλους φεύγοντας·
εἶναι πολὺ τοῦτο ὠφέλιμο γιὰ τοὺς ἀρχάριους.
Γυμνὸς ἀπὸ ὕλες πλησίασε τὸν ἄυλο
τίποτα δὲ θὰ βρεῖς πιὸ ἰσχυρὸ γιὰ συμμαχία.
Δειλία κάθε ἀπόρριξε μακριά σου
γιατὶ ἔχεις καταφύγει σὲ δυνατὸ Κύριο.
Ἐλπίδα βέβαια κάνε σύντροφό σου,
ἀφοῦ φροντίζει γιὰ μικρὰ σπουργίτια.
Ζυγὸ ἐλαφρὸ τὸν Κύριο κράτησε·
πολὺ ἀντιμέτρημα γι' αὐτὸ μελλοντικὸ θὰ λάβεις,
Ἡ δωρεὰν σωτηρία τῶν θνητῶν ὅλων ποὺ εἶναι,
γιατὶ μὲ τὸ αἷμα τὸ θεϊκὸ ἀγοραστήκαμε,
Θεοὺς ποὺ μὲ τὴ δύναμη τοῦ καλεστῆ μᾶς δείχνει
κι εἶναι τοῦ Κυρίου μας τοῦτο ἡ σάρκωση
Ἰδού, πὼς μ' ἔργο τὴν ἔκβαση τῶν ἔργων θὰ γνωρίσεις
τὸ πιὸ ἄξιο θαυμασμοῦ ἀπὸ ὅσα βλέπομε.
Κέρδος καλό, τὸ θέλημα γιὰ σέν' ἂν κόψεις,
μάρτυρα συνειδήσεως σ' ἀναδείχνει.

δικαιολογεῖ τὸν προηγούμενο μόνο καὶ στηρίζει γιὰ τὴν κατάκτηση τῆς ἀρετῆς ποὺ παραγγέλλει ὁ πρῶτος. Στοὺς εἴκοσι τέσσερις στίχους, ὅσα καὶ τὰ γράμματα τοῦ ἀλφαβήτου, ὁ Συμεὼν ἐκθέτει ἐπιγραμματικὰ τοὺς κοινοὺς κανόνες τῆς μοναστικῆς ζωῆς συμπληρωμένους μὲ τὴ δική του ἄποψη.

Λόγους πατρός σου καὶ προστάγματα πράττε,
ὁδηγοῦσι γὰρ τὴν ὁδὸν ἀπροσκόπτως
Μέχρι θανάτου ὕψος γὰρ τοῦτο μέγα.
Θεὸς φαίνεται διὰ σὲ τοῦτο πράξας.
Νόμιζε εἶναι εὐτελέστερος πάντων,
τοῦτο πρῶτόν σε ποιεῖ τῆς βασιλείας
Ξένος τε πτωχότερος, ταπεινότερος ἄλλων!
μεγάλα ταῦτα, ἐὰν καὶ κατορθώσῃς αὐτὰ
Ὅλος ὑπάρξῃς μιμητὴς τοῦ Δεσπότου,
τί δὲ ὑπάρχει ἀγαθότερον τούτου;
Πάντα κατορθοῖ τὸ πενθεῖν καθ' ἑκάστην,
γλυκὺ γὰρ τοῦτο ὑπὲρ βρῶσιν καὶ πόσιν
Ρεόντων καὶ ἑστώτων διδάσκον γνῶσιν·
ἀφιστᾷ γὰρ πρότερον παντὸς τοῦ κόσμου.
Σιωπὴν ἄσκει, τὴν φυλάττουσαν ταῦτα,
ρίζας κόπτει γὰρ ἀνωφελεῖς παντοίας.
Τὴν μνήμην ἔχε πάντοτε τοῦ θανάτου!
αὕτη γὰρ πέλει ταπεινώσεως πρόξενος.
Ὑφ' ὧν καθαρθεὶς καὶ αὐγασθεὶς καρδίαν
ὢ τοῦ θαύματος τοῦ ζητουμένου πᾶσι
Φῶς ἀξιωθῇς ἰδεῖν καλῶς τὸ θεῖον·
βέλος γάρ ἐστιν ἄϋλον ἐξ ἀΰλου.
Χριστὸς δέ ἐστιν ἡ τελεία ἀγάπη
ὁ ἔχων αὐτὴν θέσει Θεὸς ὑπάρχει
Ψυχὰς φωτίζων τὰς Αὐτὸν ἐκζητούσας·
αὗται μόναι ζήσονται, μηδεὶς πλανάσθω!
Ὦ θεοποιὸς ἀγάπη, Θεὸς οὖσα!
ἔκπληξις τοῦτο καὶ δυσεύρετον πρᾶγμα.

Λόγους καὶ προσταγὴ νὰ πράττεις τοῦ πατέρα σου
στὸ δρόμο σ' ὁδηγοῦν χωρὶς νὰ σφάλλεις
Μέχρι θανάτου· κι εἶναι αὐτὸ τὸ μέγα ὕψος.
Φαίνεται ὁ Θεὸς γιὰ σένα τὸ ἔχει πράξει.
Νὰ θεωρεῖς τὸν ἑαυτό σου μηδαμινότερο ὅλων
σὲ κάνει αὐτὸ στὴ βασιλεία πρῶτο.
Ξένος νὰ εἶσαι καὶ ἀπ' ἄλλους πιὸ φτωχὸς καὶ ταπεινὸς
εἶναι μεγάλα κι ἂν τὰ κατορθώσεις,
Ὁλότελα θὰ γίνεις μιμητὴς τοῦ Δεσπότη,
καὶ ποιό εἶναι ἀπ' αὐτὸ καλύτερο;
Πάντα πένθος καθημερνὸ τὰ πάντα πετυχαίνει·
ἀπὸ βρώση καὶ πόση γλυκύτερο εἶναι τοῦτο κι ὅσων
Ρέουν μὰ κι ὅσων μένουν διδάσκει τὴ γνώση·
πρῶτα ἀπ' τὸν κόσμον ὅλο ἀπομακρύνει.
Σιωπὴ νὰ τηρεῖς φύλακα ὅλων τούτων
καὶ κόβει ρίζα ἀνώφελη κάθε λογῆς.
Τὴ μνήμη νά 'χεις πάντα τοῦ θανάτου·
εἶναι αὐτὴ ποὺ θὰ σοῦ φέρει τὴν ταπείνωση.
Ὕψιλον μὲ καρδιὰ φωτεινὴ καὶ μ' αὐτὰ καθαρμένη,
θαῦμα μέγα, ὅποιο ὅλοι ἀναζητοῦν,
Φῶς θεῖο θ' ἀξιωθεῖς νὰ δεῖς ὡς πρέπει
ἄυλο βέλος ἀπ' ἄυλο κυνηγό. Εἶπε ὁ
Χριστὸς ἡ τέλεια ἀγάπη κι ὅποιος
τὴν ἔχει γίνεται θέσει Θεὸς καὶ φωτίζει
Ψυχὲς ποὺ τὸν ἀναζητοῦν ἀδιάκοπα
κι αὐτὲς μετὰ θὰ ζήσουν, κανεὶς νὰ μὴ γελιέται!
Ὢ ἀγάπη, ποὺ εἶσαι Θεὸς καὶ θεοὺς κάνεις,
ὢ ἀγάπη, πρᾶγμα ἐκπληκτικὸ καὶ σπάνιο.

23α. Ψαλμ. 68,33.

ΣΤ

Τοῦ αὐτοῦ τετράστιχα τὸν πρὸς Θεὸν αὐτοῦ ἐντεῦθεν δεικνύοντα ἔρωτα.

Πῶς καὶ πῦρ ὑπάρχεις βλύζον,
πῶς καὶ ὕδωρ ἧς δροσίζον,
πῶς καὶ καίεις καὶ γλυκαίνεις,
πῶς φθορὰν ἐξαφανίζεις;

Πῶς θεοὺς ποιεῖς ἀνθρώπους,
πῶς τὸ σκότος φῶς ἐργάζῃ,
πῶς ἀνάγεις ἐκ τοῦ ᾅδου,
πῶς θνητοὺς ἐξαφθαρτίζεις;

Πῶς πρὸς φῶς τὸ σκότος ἕλκεις,
πῶς τὴν νύκτα περιδράσσῃ,
πῶς καρδίαν περιλάμπεις,
πῶς με ὅλον μεταβάλλεις;

Πῶς ἑνοῦσαι τοῖς ἀνθρώποις,
πῶς υἱοὺς Θεοῦ ἐργάζῃ,
πῶς ἐκκαίεις σου τῷ πόθῳ,
πῶς τιτρώσκεις ἄνευ ξίφους;

Πῶς ἀνέχῃ, πῶς βαστάζεις,
πῶς εὐθὺς οὐκ ἀποδίδως,
πῶς ὑπάρχων ἔξω πάντων
βλέπεις πάντων τὰ πρακτέα;

---

14. Ματθ.5,9 καὶ Ἰω. 1,12.

* Ὁ Θεὸς εἶναι ἕνα ἀναπάντητο στὴν οὐσία ἐρώτημα. Τὰ εἶκο

6 *

Τετράστιχα τοῦ ἰδίου, ποὺ δείχνουν ἀπὸ ἐδῶ τὸν ἔρωτά του πρὸς τὸ Θεό.

Πῶς εἶσαι καὶ φωτιὰ ποὺ ξελοχίζεις,
πῶς εἶσαι καὶ νερὸ ποὺ μὲ δροσίζει,
πῶς κατακαῖς μὰ καὶ γλυκαίνεις
καὶ πῶς ἐξαφανίζεις τὴ φθορά;

Πῶς τοὺς ἀνθρώπους κάνεις θεοὺς
καὶ τὸ σκοτάδι φῶς τὸ δείχνεις,
πῶς ἀνεβάζεις ἀπ' τὸν Ἅδη
κι ἀθανατίζεις τοὺς θνητούς;

Πῶς σέρνεις τὸ σκοτάδι πρὸς τὸ φῶς
καὶ πῶς τὴ νύχτα τὴ διαλύεις,
πῶς τὴν καρδιά μου περιλάμπεις
κι ὅλον μ' ἀλλάζεις τάχα πῶς;

Πῶς γίνεσαι ἕνα μὲ τὸν ἄνθρωπο
καὶ πῶς τὸν κάνεις γιὸ τοῦ Θεοῦ,
πῶς τὸν φλογίζεις μὲ τὸν πόθο σου
καὶ πῶς χωρὶς σπαθὶ λαβώνεις;

Πῶς μᾶς ἀνέχεσαι, πῶς περιμένεις
τὸ χτύπημά σου πῶς ἀργεῖς,
κι ἐνῶ εἶσαι ἔξω ἀπὸ ὅλους μας
ὅλων τὶς πράξεις πῶς θωρεῖς;

μὲ τὰ ὁποῖα ἀρχίζουν οἱ εἴκοσι ἀπὸ τοὺς εἴκοσι τέσσερις στίχους, δείχνουν τὴν ἀνικανοποίητη, βαθιὰ ἐπιθυμία τοῦ ποιητῆ νὰ γνωρίσει τὴν οὐσία τοῦ Θεοῦ.

Πῶς μακρὰν ἡμῶν τυγχάνων
καθορᾷς ἑκάστου πρᾶξιν;
Δὸς ὑπομονὴν σοῖς δούλοις,
μὴ καλύψη τούτους θλῖψις!

Πολὺ μακριά μας βρίσκεσαι καὶ πῶς
ὅ,τι καθένας ἔπραξε τὸ βλέπεις;
Δώρισε ὑπομονὴ στοὺς δούλους σου
μὴν τοὺς σκεπάσει μαύρη θλίψη.

23. Ρωμ. 5,3.

Ζ

Ἔντευξις εἰς Θεόν, καὶ ὅπως Θεῷ συναπτόμενος καὶ δόξαν Θεοῦ ὁρῶν ἐν ἑαυτῷ ἐνεργοῦσαν ἐξεπλήττετο.

Πῶς σε ἐντός μου προσκυνῶ, πῶς δὲ μακράν σε βλέπω
πῶς ἐν ἐμοὶ κατανοῶ, ἐν οὐρανῷ δ' ὁρῶ σε;
Σὺ μόνος οἶδας, ὁ ποιῶν ταῦτα καὶ λάμπων ὥσπερ
ἥλιος ἐν καρδίᾳ μου, τῇ ὑλικῇ, ἀΰλως.
Ὁ διαυγάσας μοι τὸ φῶς τῆς δόξης σου, Θεέ μου,
διὰ τοῦ ἀποστόλου σου καὶ μαθητοῦ καὶ δούλου,
τοῦ παναγίου Συμεών, αὐτὸς καὶ νῦν μοι λάμψον
καὶ δίδαξον ἐν Πνεύματι ὕμνους ἐκείνῳ ᾆσαι,
καινοὺς ὁμοῦ καὶ παλαιούς, θείους καὶ κεκρυμμένους,
ἵν' ἐξ ἐμοῦ θαυμαστωθῇ ἡ γνῶσις σου, Θεέ μου,
καὶ ἡ σοφία ἡ πολλὴ παραδειχθῇ μειζόνως·
καὶ πάντες σε αἰνέσουσιν ἀκούσαντες, Χριστέ μου,
ὅτι καιναῖς ἐγὼ λαλῶ γλώσσαις τῇ χάριτί σου.
Ἀμήν, γένοιτο, Κύριε, κατὰ τὸ θέλημά σου!
Ἐγὼ πονῶ, ἐγὼ ἀλγῶ τὴν ταπεινὴν ψυχήν μου,
ὅταν φανῇ ἐντὸς αὐτῆς λάμψαν τρανῶς τὸ φῶς σου·
ὁ πόθος πόνος παρ' ἐμοὶ καὶ καλεῖται καὶ ἔστιν.
Ἄλγος τῷ μὴ ἰσχύειν με ὅλον περιλαβεῖν σε
καὶ κορεσθῆναι, ὡς ποθῶ, ὑπάρχει μοι καὶ στένω·
ὅμως ὅτι καὶ βλέπω σε, ἀρκετόν μοι καὶ τοῦτο
καὶ δόξα ἔσται καὶ χαρὰ καὶ στέφος βασιλείας,

---

10. Ψαλμ. 138,6. 13. Μαρκ. 16,18. 14. Ματθ. 26,42.

7

Προσευχὴ τοῦ ἴδιου στὸ Θεὸ καὶ πόση ἔκπληξη δοκίμαζε ὅταν ἑνωνόταν μὲ τὸ Θεὸ κι ἔβλεπε νὰ ἐνεργεῖ μέσα του ἡ δόξα τοῦ Θεοῦ.

Σὲ προσκυνῶ μέσ' στὴν καρδιά μου καὶ πῶς σὲ βλέπω μακριά,
πῶς σὲ νιώθω μέσα μου ἀλλὰ σὲ βλέπω στὸν οὐρανό;
Μόνο ἐσὺ γνωρίζεις ποὺ τὰ κάνεις αὐτὰ καὶ λάμπεις
ὅπως ὁ ἥλιος στὴν καρδιά μου τὴν ὑλικὴ μ' ἄυλο φῶς.
Ἐσύ, Θεέ μου, ποὺ μὲ φώτισες μὲ τὸ φῶς τῆς δόξας σου
μέσω τοῦ ἀποστόλου καὶ μαθητῆ καὶ δούλου σου,
τοῦ παναγίου Συμεών, ἐσὺ λάμψε καὶ τώρα γιὰ χάρη μου
καὶ δίδαξέ με νὰ ψάλω σ' ἐκεῖνον ὕμνους πνευματικοὺς
νέους καὶ παλαιοὺς μαζί, θεϊκοὺς καὶ μυστικούς,
ὥστε νὰ γίνει ἀπὸ ἐμένα, Θεέ μου, ἡ γνώση σου θαυμαστὴ
καὶ νὰ φανεῖ μεγαλύτερη δίπλα της ἡ ἄπειρη σοφία σου.
Καὶ ὅλοι θ' ἀκούσουνε, Χριστέ μου, καὶ θὰ σὲ ὑμνήσουν
ποὺ μὲ τὴ χάρη σου μιλῶ σὲ γλῶσσες νέες.
Ἀμήν, ἂς γίνει, Κύριε, κατὰ τὸ θέλημά σου!
Πονῶ καὶ ἡ ταπεινὴ ψυχή μου τριβελίζεται,
ὅταν τὸ φῶς σου μέσα της φανεῖ μὲ τρανὴ λάμψη·
τὸν πόθο μου πόνο τὸν λέω καὶ πόνος εἶναι.
Πονῶ ποὺ δὲν μπορῶ νὰ σ' ἀγκαλιάσω ἀκέραιο
κι ὅπως ποθῶ νὰ σὲ χορτάσω καὶ γι' αὐτὸ στενάζω.
Μοῦ φτάνει ὡστόσο, μόνο ποὺ σὲ βλέπω
δόξα, χαρὰ καὶ στέφανος τῆς βασιλείας σου τοῦτο
πάνω ἀπὸ κάθε τερπνὸ καὶ ποθητὸ τοῦ βίου.

---

7. 'Τοῦ παναγίου Συμεών'· πρόκειται γιὰ τὸ Συμεὼν τὸν Εὐλαβῆ, ὁμώνυμο πνευματικὸ πατέρα τοῦ Νέου Θεολόγου.

καὶ ὑπὲρ πάντα τὰ τερπνὰ καὶ ποθεινὰ τοῦ κόσμου
τοῦτο καὶ τῶν ἀγγέλων με ὅμοιον ἀποδείξει,
ἴσως καὶ μείζονα αὐτῶν, Δέσποτά μου, ποιήσει,
Εἰ γὰρ ἀόρατος αὐτοῖς ὑπάρχεις τῇ οὐσίᾳ,
τῇ φύσει τε ἀπρόσιτος, ἐμοὶ δὲ καθορᾶσαι,
πάντως καὶ τῇ τῆς φύσεώς σου μίγνυσαί μοι οὐσίᾳ·
οὐ γὰρ διΐσταται τὰ σά, οὐ τέμνονται δὲ ὅλως,
ἀλλ' ἡ φύσις οὐσία σου καὶ ἡ οὐσία φύσις.
Τῆς οὖν σαρκός σου μετασχὼν τῆς φύσεως μετέχω
καὶ τῆς οὐσίας ἀληθῶς τῆς σῆς μεταλαμβάνω,
συγκοινωνὸς θεότητος, ἀλλὰ καὶ κληρονόμος
γινόμενος ἐν σώματι, μείζων τῶν ἀσωμάτων
ὑπολαμβάνω, γίνομαι υἱὸς Θεοῦ, ὡς εἶπας,
οὐ πρὸς ἀγγέλους, πρὸς ἡμᾶς δέ, θεοὺς οὕτω καλέσας
«Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες».
Δόξα τῇ εὐσπλαχνίᾳ σου καὶ τῇ οἰκονομίᾳ,
ὅτι ἄνθρωπος γέγονας Θεὸς ὢν κατὰ φύσιν
ἀτρέπτως, ἀσυγχύτως τε μείνας τοῦτο κἀκεῖνο
καὶ θεόν με πεποίηκας, βροτὸν ὄντα τὴν φύσιν,
θέσει καὶ χάριτι τῇ σῇ διὰ τοῦ Πνεύματός σου
τὰ διεστῶτα ὡς Θεὸς παραδόξως ἑνώσας.

---

34. Ἰω. 1,12 καὶ Ματθ. 5,9.
36. Ἰω. 10,35. Βλ. Ψαλμ. 81,6.

Τοῦτο μὲ τοὺς ἀγγέλους ὅμοιο θὰ μὲ δείξει
κι ἴσως, Κύριέ μου, ἀνώτερό τους θὰ μὲ κάνει.
Ἂν σ' αὐτοὺς ἡ οὐσία σου εἶναι ἀόρατη
κι ἡ φύση σου ἀπρόσιτη, ἐνῶ σὲ βλέπω ἐγώ,
σίγουρα σμίγει ἡ οὐσία τῆς φύσης σου μ' ἐμένα.
Δὲ χωρεῖ στὰ δικά σου διάσπαση καθόλου ἢ τομή,
εἶναι οὐσία ἡ φύση σου καὶ ἡ φύση οὐσία.
Μετέχοντας λοιπὸν τὴ σάρκα σου μετέχω ἀλήθεια
τὴ φύση σου κι ἀλήθεια τὴν οὐσία σου κοινωνῶ,
συγκοινωνῶ τὴ θεότητα καὶ μὲ τὸ σῶμα τὴν κληρονομῶ
καὶ γίνομαι πιστεύω ἀνώτερος ἀπ' τοὺς ἀσώματους,
γίνομαι τοῦ Θεοῦ γιός, ὅπως εἶπες, ὄχι
στοὺς ἀγγέλους ἀλλὰ σ' ἐμᾶς, ἀποκαλώντας μας θεούς.
Ἐγὼ εἶπα· «Εἶστε ὅλοι γιοὶ τοῦ Θεοῦ τοῦ Ὑψίστου».
Δόξα στὴν εὐσπλαχνία καὶ τὴν οἰκονομία σου
ποὺ ἔγινες ἄνθρωπος Θεὸς στὴ φύση σου ὄντας
κι ἔμεινες καὶ στὰ δύο χωρὶς τροπὴ καὶ σύγχυση
καὶ μ' ἔκανες θεὸ τὸ θνητὸ στὴ φύση ἐμένα
θεὸ κατὰ θέση, μὲ τοῦ Πνεύματος τὴ χάρη
τὰ χωρισμένα ἑνώνοντας παράδοξα.

---

37. 'Οἰκονομία'· ἡ ρύθμιση καὶ τὸ σχέδιο ποὺ ἔκανε ὁ Θεὸς γιὰ τὴ θεοποίηση τοῦ ἀνθρώπου. Στὴ διοίκηση τῆς Ἐκκλησίας, ὅπου χρησιμοποιεῖται ἐπίσης ἡ λέξη, εἶναι ἡ κατὰ παραχώρηση ρύθμιση ἑνὸς θέματος ποὺ βγαίνει ἀπὸ τὸν κανόνα.

Η

Τίσι Θεὸς ἐμφανίζεται καὶ τίνες ἐν ἕξει γίνονται τοῦ καλοῦ διὰ τῆς τῶν ἐντολῶν ἐργασίας.

Πῶς βλέπεις κεκρυμμένος ὤν, πῶς ἐφορᾷς τὰ πάντα,
πῶς οὐχ ὁρᾶσαι παρ' ἡμῶν, ἡμᾶς ὁρᾷς δὲ πάντας;
Ἀλλ' οὐχὶ πάντας, οὓς ὁρᾷς, καὶ γινώσκεις, Θεέ μου,
ἀλλὰ τοὺς ἀγαπῶντάς σε μόνους φιλῶν γινώσκεις
καὶ κατ' ἐξαίρετον αὐτοῖς σεαυτὸν ἐμφανίζεις·
ἥλιος κεκρυμμένος ὢν πάσῃ βροτείᾳ φύσει
ἐξανατέλλεις ἐν τοῖς σοῖς, ὁρᾶσαι παρ' ἐκείνων,
καὶ ἀνατέλλουσιν ἐν σοὶ οἱ πρὶν ἐσκοτισμένοι
πόρνοι, μοιχοὶ καὶ ἄσωτοι, ἁμαρτωλοί, τελῶναι.
Μετανοοῦντες γίνονται υἱοὶ φωτός σου θείου·
τὸ φῶς δὲ φῶς πάντως γεννᾷ, φῶς οὖν καὐτοὶ τελοῦσι,
τέκνα Θεοῦ, ὡς γέγραπται, θεοί τε κατὰ χάριν.
Ὅσοι καλῶς φυλάξουσι τὰς θείας ἐντολάς σου,
ὅσοι κόσμον ἀρνήσονται τὸν μάταιον καὶ πλάνον,
ὅσοι γονεῖς καὶ ἀδελφοὺς μισήσουσιν ἀμίσως
ὡς ξένους ἡγησάμενοι τῷ βίῳ παροδίτας,
ὅσοι γυμνοὶ γενήσονται πλούτου τε καὶ χρημάτων
καὶ τὴν προσπάθειαν αὐτῶν ἀρνήσονται εἰς ἅπαν,
ὅσοι τὴν δόξαν τὴν κενήν, ἀνθρώπων τοὺς ἐπαίνους,
ἀπὸ ψυχῆς βδελύξονται διὰ τὴν ἄνω δόξαν,
ὅσοι θέλημα ἴδιον ἐξέκοψαν τελείως
καὶ ὡς ἄκακα πρόβατα ἐγένοντο τοῖς ποιμέσιν,

---

1. Σοφ. Σειρὰχ 15,18. 4. Παρμ. 8,17 καὶ Α' Κορ. 8,3.
5. Ἰω. 14,21. 9. Ματθ. 9,10.

8

Σὲ ποιούς φανερώνεται ὁ Θεὸς καὶ ποιοί κάνουν συνήθειά τους τὸ καλὸ μὲ τὴν ἐκτέλεση τῶν ἐντολῶν.

Πῶς βλέπεις ἐνῶ εἶσαι κρυμμένος, πῶς ἐποπτεύεις τὰ πάντα,
πῶς ἐνῶ ἐμεῖς δὲ σὲ βλέπομε ἐσὺ μᾶς βλέπεις ὅλους;
Δὲν ἀναγνωρίζεις ὅμως, Θεέ μου, ὅλους ὅσους βλέπεις
ἀλλὰ μόνο ὅσους σὲ ἀγαποῦν ἀγαπᾶς κι ἀναγνωρίζεις
καὶ κάνοντας ἐξαίρεση φανερώνεσαι σ' αὐτούς.
Εἶσαι ἥλιος κρυμμένος γιὰ ὅλη τὴν ἀνθρώπινη φύση
κι ἀνατέλλεις στοὺς δικούς σου κι αὐτοὶ σὲ βλέπουν
κι ἀνατέλλουν σ' ἐσένα ὅσοι ἦταν πρῶτα στὸ σκοτάδι,
πόρνοι, μοιχοὶ καὶ ἄσωτοι, ἁμαρτωλοί, τελῶνες.
Ὅταν μετανοιώσουν γίνονται γιοὶ τοῦ θείου σου φωτός.
Τὸ φῶς γεννᾶ φῶς, εἶναι λοιπὸν κι αὐτοὶ ζωή,
ὅπως ἔχει γραφεῖ, τέκνα Θεοῦ καὶ θεοὶ κατὰ χάρη.
Ὅσοι φυλάξουν καλὰ τὶς θεϊκὲς ἐντολές σου,
ὅσοι ἀρνηθοῦν τὸν μάταιο κόσμο καὶ πλάνο,
ὅσοι μισήσουν, χωρὶς μίσος ὅμως, γονεῖς κι ἀδέλφια,
θεωρώντας τους σὰν ξένους καὶ παροδίτες τῆς ζωῆς,
ὅσοι μείνουν γυμνοὶ ἀπὸ πλοῦτο καὶ χρήματα
καὶ τὸ δεσμό τους μὲ τὰ πάθη ἀρνηθοῦν τέλεια,
ὅσοι τὴν κούφια δόξα καὶ τοὺς ἐπαίνους τῶν ἀνθρώπων
διώξουν μὲ βδελυγμία ἀπ' τὴν ψυχὴ γιὰ χάρη τῆς ἄνω δόξας,
ὅσοι ἔκοψαν ὁλότελα τὸ δικό τους θέλημα
καὶ συμπεριφέρονται ὅπως ἄκακα πρόβατα στοὺς ποιμένες,

---

10. Ἰω. 12,36. 12. Ἰω. 1,12.
15. Λουκᾶ 14,26.

ὅσοι νεκροὶ τῷ σώματι πρὸς πᾶσαν κακὴν πρᾶξιν
γεγόνασιν ἱδρώσαντες εἰς ἀρετῶν τοὺς πόνους
καὶ μόνῳ τῷ θελήματι ζῶντες τοῦ κυβερνήτου
ὑπακοῇ νεκρούμενοι, ζωούμενοί τε αὖθις,
ὅσοι τῷ φόβῳ τοῦ Θεοῦ καὶ μνήμῃ τοῦ θανάτου
καθ' ἑκάστην δακρύουσι νύκτα τε καὶ ἡμέραν
καὶ νοερῶς προσπίπτουσι τοῖς ποσὶ τοῦ Δεσπότου
ἔλεος ἐξαιτούμενοι καὶ ἄφεσιν σφαλμάτων·
οὗτοι ἐν ἕξει γίνονται τοῦ καλοῦ διὰ πάσης
τῆς ἐργασίας τῶν καλῶν θρηνοῦντες καθ' ἑκάστην
καὶ ἐπιμόνως κρούοντες ἔλεος ἐπισπῶνται.
Οὗτοι δεήσεσι συχναῖς, φωναῖς τε ἀλαλήτοις
καὶ τῶν δακρύων ταῖς ροαῖς ψυχὴν ἐκκαθαίρουσι·
καθαιρομένην δὲ αὐτὴν βλέποντες οἱ τοιοῦτοι
πῦρ πόθου προσλαμβάνονται καὶ πῦρ ἐπιθυμίας,
τοῦ τέλεον θεάσασθαι ταύτην ἐκκαθαρθεῖσαν.
Ἐπεὶ δὲ τέλος τοῦ φωτὸς εὑρεῖν ἀδυνατοῦσιν,
ἀτέλεστος ἡ κάθαρσις ὑπάρχει τοῖς τοιούτοις·
ὅσον γὰρ καθαρθήσομαι καὶ λαμπρυνθῶ, ὁ τάλας,
ὅσον δ' ἂν καὶ ὀφθήσεται τὸ καθαῖρον με Πνεῦμα,
ἀρχή μοι πάντοτε δοκεῖ καὶ καθαρμοῦ καὶ θέας.
Ἐν ἀορίστῳ γὰρ βυθῷ, ἐν ἀμετρήτῳ ὕψει
τίς ἐφευρεῖν δυνήσεται μεσότητα ἢ τέλος;
Οἶδα, ὅτι πολύ ἐστι, τὸ δὲ ποσὸν οὐκ οἶδα·
ἐπιθυμῶ τοῦ πλείονος καὶ πάντοτε στενάζω,
ὅτι ὀλίγον τὸ δοθέν, εἰ καὶ πολὺ ἡγοῦμαι,
πρὸς τὸ ὑπονοούμενον μακρόθεν μου τυγχάνειν,
ὅπερ ὁρῶν ἐπιθυμῶν, καὶ δοκῶ μηδὲν ἔχειν,
μὴ αἰσθανόμενος ὅλως τοῦ δοθέντος μοι πλούτου.
Ὅτι ὁρῶ τὸν ἥλιον, οὐ λογίζομαι τοῦτο·

---

29. Μάρκ. 5,22. 34. Ρωμ. 8,26.

31. Τὰ ὀκτὼ 'ὅσοι', ποὺ βρίσκουν τὴν ἀπόδοσή τους στὸ 'οὗτοι', θυμίζουν τὰ εἴκοσι 'πῶς' τοῦ ὕμνου 6. Εἶναι ἕνας πολὺ συχνὸς τρόπος ἔκφρασης στὸ Συμεὼν καὶ ὄχι μόνο σ' αὐτόν.

ὅσοι νέκρωσαν τὸ σῶμα τους γιὰ κάθε κακὴ πράξη
χύνοντας ἱδρῶτες στοὺς μόχθους τῶν ἀρετῶν
καὶ ζοῦν μόνο στὸ θέλημα τοῦ κυβερνήτη,
νεκρωμένοι μὲ τὴν ὑπακοὴ καὶ πάλι ξαναζώντας,
ὅσοι ἀπὸ φόβο Θεοῦ καὶ μνήμη τοῦ θανάτου
χύνουν δάκρυα κάθε νύχτα καὶ κάθε μέρα
καὶ πέφτουν νοερὰ στὰ πόδια τοῦ δεσπότη
ζητώντας ἔλεος καὶ συγχώρηση τῶν σφαλμάτων,
αὐτοὶ ἀποχτοῦνε τὸ καλὸ θρηνώντας σὲ ὅλη
τὴν ἐργασία τῶν καλῶν τὴν κάθε μέρα
κι ἐπίμονα χτυπώντας ἀποσποῦν τὸ ἔλεος.
Αὐτοὶ μ' ἀδιάκοπες δεήσεις καὶ φωνὲς ἀνεκλάλητες
καὶ μὲ τὴ ροὴ τῶν δακρύων καθαίρουν τὴν ψυχή.
Καὶ βλέποντάς την νὰ καθαίρεται
ὁ πόθος τους παίρνει φωτιὰ κι ἀνάβει ἡ ἐπιθυμία τους
γιὰ νὰ τὴ δοῦνε τέλεια καθαρμένη.
Ἐπειδὴ ὅμως εἶναι ἀνίσχυροι νὰ βροῦν τὸ τέλος
τοῦ φωτός, ἡ κάθαρσή τους μένει ἀνολοκλήρωτη.
Γιατὶ ὅσο κι ἂν καθαρθῶ καὶ λάμψω ὁ δύστυχος,
ὅσο κι ἂν δῶ τὸ Πνεῦμα ποὺ μὲ καθαίρει,
πάντα νομίζω εἶναι ἡ ἀρχὴ τοῦ καθαρμοῦ καὶ τῆς θέας.
Σὲ βυθὸ ἀπεριόριστο καὶ σὲ ὕψος ἀμέτρητο
ποιός μπορεῖ νὰ βρεῖ τὴ μέση ἢ τὸ τέλος;
Ξέρω πὼς εἶναι πολύ, πόσο ἀκριβῶς δὲ γνωρίζω·
ἐπιθυμῶ τὸ περισσότερο καὶ στενάζω συνέχεια
καὶ ἂν καὶ τὸ θεωρῶ πολύ, εἶναι λίγο ὅ,τι μοῦ δόθηκε,
ὅσο φαντάζομαι αὐτὸ ποὺ ὑπάρχει μακριὰ ἀπὸ μένα,
ποὺ τὸ ποθῶ βλέποντάς το καὶ νομίζω ὅτι δὲν ἔχω τίποτε,
ἀφοῦ δὲν ἔχω συνείδηση γιὰ τὸν πλοῦτο ποὺ μοῦ δόθηκε.
Ὅτι βλέπω τὸν ἥλιο, αὐτὸ δὲν τὸ ὑπολογίζω.

35. Ἡ κάθαρση τῆς ψυχῆς εἶναι στὸ κέντρο τῆς πνευματικῆς ζωῆς· οἱ δεήσεις, οἱ ἀλάλητες φωνὲς– στεναγμοί, τὰ δάκρυα εἶναι οἱ προϋποθέσεις γιὰ τὴν ἐπίτευξή της.

καὶ πῶς; Ἄκουσον, πίστευσον, ὅπερ ἐγὼ πανθάνω·
γλυκύς ἐστιν ὁ ἥλιος, ἀρρήτως ἐν αἰσθήσει
ἕλκων εἰς πόθον τὴν ψυχὴν ἀνέκφραστον καὶ θεῖον.
Ὁρῶσα φλέγεται αὕτη καὶ καίεται τῷ πόθῳ
καὶ ὅλον τὸ φαινόμενον κατασχεῖν ἔνδον ταύτης
θέλει, ἀλλὰ οὐ δύναται καὶ λυπεῖται ἐν τούτῳ
καὶ οὐ λογίζεται καλὸν ἢ ὁρᾶν ἢ πανθάνειν.
Ὅτε οὖν ὁ ὁρώμενος ἀχώρητος ὢν πᾶσιν,
ἀπρόσιτος ἐπαληθῶς θελήσει ἐλεῆσαι
τὴν τεθλιμμένην μου ψυχὴν καὶ τεταπεινωμένην,
αἴφνης, οἷος ὁρᾶται ἐξαστράπτων
καὶ ὅλος ὅλης με χαρᾶς, πάσης ἐπιθυμίας
ἐμπιπλᾷ καὶ γλυκύτητος, τὸν ταπεινόν, τῆς θείας·
ἀθρόα ἡ μεταβολή, ἡ ἀλλοίωσις ξένη,
τὸ ἐν ἐμοὶ τελούμενον ἀνέκφραστον τυγχάνει.
Εἰ γὰρ τοῦτον τὸν ἥλιον, ὅνπερ πάντες ὁρῶμεν,
ἔνδον ἐν τῇ καρδίᾳ τις ἔβλεψε κατελθόντα
καὶ ὅλον ἐνοικήσαντα καὶ λάμποντα ὡσαύτως,
οὐχὶ νεκρὸς τῷ θαύματι καὶ ἄφωνος ὑπῆρξε,
καὶ πάντες ἐξεπλάγησαν οἱ τοῦτον κατιδόντες;
Ὁ δὲ τὸν τούτου ποιητὴν ὁρῶν φωστῆρος δίκην
ἐντὸς αὐτοῦ ἐκλάμποντα, ἐνεργοῦντα, λαλοῦντα,
πῶς ἂν οὐκ ἐκπλαγήσεται βλέπων, πῶς ἂν οὐ φρίξει,
πῶς ἂν οὐκ ἀγαπήσειε τὸν τὴν ζωὴν διδόντα;
Ἄνθρωποι τοὺς ὁμοίους αὐτοῖς ἀνθρώπους ἀγαπῶσιν,
ὅταν τῶν ἄλλων πλέον τι δοκῶσιν ὑπερέχειν·
τὸν δὲ τῶν πάντων ποιητήν, τὸν ἀθάνατον μόνον,
τὸν πᾶσι πάντα δυνατὸν τίς ἰδὼν οὐ ποθήσει;
Ἐξ ἀκοῆς πιστεύσαντες ἠγάπησαν οἱ πλείους
καὶ δι' αὐτὸν ἀπέθανον οἱ ἅγιοι καὶ ζῶσιν·
οἱ δὲ καὶ θέας τῆς αὐτοῦ καὶ φωτὸς μετασχόντες,

---

82. Ρωμ. 10,17.

Μὰ πῶς; Ἄκουσε καὶ πίστεψε τί μου συμβαίνει.
Εἶναι εὐχάριστος ὁ ἥλιος καὶ μὲ τὴν αἴσθηση ἀνέκφραστα
σέρνει τὴν ψυχὴ σὲ πόθο ἀνείπωτο καὶ θεῖο.
Βλέπει αὐτὴ καὶ φλέγεται καὶ καίγεται ἀπ' τὸν πόθο
καὶ ὅλο ὅσο βλέπει θέλει νὰ τὸ κλείσει μέσα της,
εἶναι ὅμως ἀδύναμη καὶ λυπᾶται γι' αὐτὸ
καὶ δὲ σκέφτεται ἂν τῆς συμβαίνει καλὸ ἢ κακό.
Κι ἀφοῦ στὸν κόσμο ὅλο δὲν χωρᾶ καὶ εἶναι ἀπρόσιτος
αὐτὸς ποὺ βλέπω στ' ἀλήθεια, θὰ θελήσει νὰ ἐλεήσει
τὴ θλιμμένη καὶ ταπεινωμένη ψυχή μου,
ἄξαφνα, ὅπως μοῦ φαίνεται νὰ λάμπει ἐμπρός μου,
ἔτσι τὸν βλέπω μέσα μου νὰ λάμπει ἀκέραιος
κι ὅλος νὰ μὲ γεμίζει μὲ ὅλη τὴ χαρὰ καὶ τὴν ἐπιθυμία
καὶ μ' ὅλη τὴ θεία γλυκύτητα ἐμένα τὸν ταπεινό.
Ξαφνικὰ ἡ μεταβολή, ἡ ἀλλοίωσή μου ἀσυνήθιστη
ὅ,τι συντελεῖται μέσα μου εἶναι ἀνέκφραστο.
Ἂν τὸν ἥλιο τοῦτο, ποὺ ὅλοι βλέπομε,
τὸν εἶδε κάποιος νὰ κατεβαίνει στὴν καρδιὰ
καὶ ὁλόκληρος νὰ κατοικήσει μέσα ὁλόλαμπρος,
δὲν ἔμεινε σὰ νεκρὸς ἀπὸ τὸ θαῦμα καὶ ἄφωνος
καὶ δὲν ἔμειναν ἔκπληκτοι ὅλοι ὅσοι τὸν εἶδαν;
Κι αὐτὸς ποὺ βλέπει τὸ δημιουργό του σὰν ἄστρο
νὰ λάμπει ἐντός του, νὰ ἐνεργεῖ καὶ νὰ μιλᾶ,
πῶς βλέποντάς τον δὲ θὰ ἐκπλαγεῖ, πῶς δὲ θὰ φρίξει,
πῶς καὶ δὲ θ' ἀγαπήσει αὐτὸν ποὺ δίνει τὴ ζωή;
Οἱ ἄνθρωποι ἀγαποῦν τοὺς ὅμοιούς τους ἀνθρώπους,
ὅταν φαίνονται ὅτι ὑπερέχουν σὲ κάτι ἀπ' τοὺς ἄλλους.
Καὶ τὸ δημιουργὸ τῶν ὅλων, τὸ μόνο ἀθάνατο,
ποὺ δύναται τὰ πάντα στοὺς πάντες ποιός δὲ θὰ τὸν ποθήσει
βλέποντάς τον; Οἱ πιὸ πολλοὶ τὸν ἀγάπησαν πιστεύοντας
ἐξακοῆς καὶ οἱ ἅγιοι πέθαναν καὶ ζοῦν γι' αὐτόν.
Ὅσοι τώρα τὸν εἶδαν καὶ τὸ φῶς του κοινώνησαν

83. Β' Κορ. 6,9.

γνωσθέντες καὶ γνωρίσαντες αὐτόν, πῶς μὴ ποθοῦσιν;
Εἰπέ, πῶς οὐ πενθήσουσι δι' αὐτὸν ἀεννάως,
πῶς οὐ καταφρονήσουσι κόσμου καὶ τῶν ἐν κόσμῳ;
Πῶς δὲ οὐκ ἀπαρνήσονται πᾶσαν τιμὴν καὶ δόξαν
ὑπὲρ τὴν δόξαν τὴν ἐν γῇ, ὑπὲρ πᾶσαν τιμὴν δὲ
γενόμενοι, τὸν ἔξω γῆς, ἔξω τῶν ὁρωμένων πάντων,
μᾶλλον δε τὸν ποιήσαντα τὰ ὁρώμενα πάντα,
ναὶ δὴ καὶ τὰ ἀόρατα, ποθήσαντες Δεσπότην
καὶ δόξαν τὴν ἀθάνατον εὑρόντες καὶ λαβόντες
καὶ ἔχοντες ἀνελλιπῶς πᾶν ἀγαθὸν ἐκεῖθεν,
ἀλλὰ καὶ πᾶσαν ἔφεσιν, πᾶσαν ἐπιθυμίαν
τῶν αἰωνίων ἀγαθῶν, τῶν πραγμάτων τῶν θείων;
Ἐξ αὐτῆς κατεπλούτησαν πηγῆς τῆς ἀειζώου,
ἧς κορεσθῆναι, Δέσποτα, δὸς καὶ ἡμῖν πλουσίως
καὶ πᾶσι τοῖς ζητοῦσί σε καὶ ποθοῦσιν ἐκθύμως,
ὡς ἂν τρυφήσωμεν καὐτοὶ μετὰ τῶν ἁγίων
τῶν αἰωνίων ἀγαθῶν εἰς αἰώνων.
Ἀμήν

---

85. Γαλ. 4,9.
87. Α' Ἰω. 2,15.

πού τὸν γνώρισαν καὶ τοὺς ἀναγνώρισε πῶς νὰ μὴν τὸν ποθοῦν;
Πές μου, πῶς δὲ θὰ πενθήσουν γι' αὐτὸν δίχως τέλος,
πῶς δὲ θὰ καταφρονήσουν τὸν κόσμο καὶ τὰ πράγματά του;
Πῶς δὲ θ' ἀπαρνηθοῦν κάθε τιμὴ καὶ δόξα,
κάθε γήινη δόξα καὶ κάθε τιμὴ ξεπερνώντας
τὸν ἔξω ἀπὸ τὴ γῆ κι ἀπ' ὅλα ὅσα βλέπομε
ἢ πιὸ καλὰ τὸν ποιητὴ ὅλων ὅσα βλέπομε
κι ὅσων ἐπίσης δὲ βλέπομε, τὸ Δεσπότη ποθώντας,
κι ἀφοῦ βρῆκαν καὶ πῆραν τὴν ἀθάνατη δόξα
κι ἔχουν ἀπ' αὐτὸ κάθε ἀγαθὸ μὲ δίχως ἔλλειψη
ἀλλὰ καὶ κάθε λαχτάρα καὶ κάθε ἐπιθυμία
τῶν αἰώνιων ἀγαθῶν καὶ τῶν θεϊκῶν πραγμάτων;
Ἀπὸ αὐτὴ τὴν ἀείροη πηγὴ τῆς ζωῆς καταπλούτησαν
κι ἀπὸ αὐτὴν δῶσε μας, Δέσποτα, νὰ χορτάσομε πλούσια
καθὼς καὶ σ' ὅλους ὅσοι σὲ ζητοῦν καὶ σὲ ποθοῦν ὁλόψυχα,
γιὰ νὰ ἀπολαύσομε κι ἐμεῖς τὴν τρυφὴ μὲ τοὺς ἁγίους σου
τῶν αἰώνιων ἀγαθῶν στοὺς αἰῶνες τῶν αἰώνων.
Ἀμήν.

---

88. Στὶς γραμμὲς αὐτὲς εἶναι φανερὸς ὁ ἐνθουσιασμὸς γιὰ τὸν ὁποῖο μιλήσαμε σὲ προηγούμενη σημείωση.

Θ

Ὅτι ὁ τοῦ ἁγίου Πνεύματος μέτοχος γεγονὼς ὑπὸ τοῦ φωτὸς ἁρπαζόμενος αὐτοῦ ἐπάνω πάντων φέρεται τῶν παθῶν, μὴ βλαπτόμενος τῷ πλησιασμῷ ὑπ' αὐτῶν.

Αἴ, αἴ, Θεέ, Κύριε, παντοκράτορ!
Τίς χορτασθῇ σου τοῦ ἀοράτου κάλλους,
τίς ἐμπλησθῇ σου τῆς ἀκαταληψίας;
Τίς ἀξίως πορευθῇ τῶν ἐντολῶν σου
καὶ τὸ φῶς θεάσεται τοῦ σοῦ προσώπου
μέγα, θαυμαστόν, μὴ χωρούμενον ὅλως
ἐν τούτῳ τῷ βαρεῖ καὶ σκοτεινώδει κόσμῳ,
τὸ τὸν ὁρῶντα ἀφαιρούμενον κόσμου
μετὰ σώματος, ὢ μυστηρίου ξένου!
Τίς ὁ τὸ τεῖχος παρελθὼν τῆς σαρκὸς αὐτοῦ,
τίς ὁ διαβὰς τῆς φθορᾶς τὸ γνοφῶδες
καὶ κόσμον πάντα καταλείψας ἐκρύβη;
βαβαὶ γνώσεως καὶ λόγων εὐτελείας!
Ποῦ γὰρ ἐκρύβη ὁ τὸν κόσμον περάσας
καὶ πάντων ἔξω γενόμενος, ὧν βλέπει;
Λέγε, σοφία σοφῶν ἠθετημένη,
ἵνα μὴ λέγω, Θεῷ μεμωραμένη,
ὥς φησι Παῦλος καὶ πᾶς τις Θεοῦ δοῦλος.
Οὗτος ἐπιθυμιῶν ἀνὴρ τῶν τοῦ πνεύματος,
οὗτος σώματι σώμασι πλησιάζων
δύναται τῷ πνεύματι ἅγιος εἶναι·

4. Λουκᾶ 1,6. 5. Ψαλμ. 4,6.
17. Α' Κορ. 1,19–20. 19. Δαν. 9,23.

9

῞Οτι, ὅποιος ἔγινε μέτοχος τοῦ ἁγίου Πνεύματος ἁρπαζόμενος ἀπὸ τὸ φῶς καὶ τὴ δύναμή του, ὑψώνεται πάνω ἀπὸ τὰ πάθη χωρὶς νὰ τὸν βλάπτει ἡ προσέγγισή τους.

Ἀλί μου, Θεὲ καὶ Κύριε, παντοκράτορ!
Ποιός θὰ χορτάσει ἀπ' τὴν ἀόρατη ὀμορφιά σου,
ποιόν ἡ ἀκαταληψία σου θὰ γεμίσει;
Στὶς ἐντολές σου ἐπάξια ποιός θὰ πορευθεῖ,
ποιός θ' ἀντικρίσει τοῦ προσώπου σου τὸ φῶς,
μέγα καὶ θαυμαστὸ καὶ τέλεια ἀχώρητο
σὲ τοῦτον τὸ βαρύ, σκοτειδιασμένο κόσμο,
φῶς πού, ὅποιον τὸ θωρεῖ, βγάζει ἀπ' τὸν κόσμο
μὲ τὸ σῶμα μαζί, παράδοξο μυστήριο!
Ποιός τὸ τεῖχος τῆς σάρκας του περνώντας
ποιός εἶναι ποὺ τὸ γνόφο τῆς φθορᾶς ἐδιάβη
καὶ κρύφτηκε τὸν κόσμον ὅλο παραιτώντας;
Ἀλίμονο, γνώση καὶ λόγια ἀνάξια!
Ποῦ κρύφτηκε ὅποιος διάβηκε τὸν κόσμο
κι ἀπὸ ὅλα ὅσα θωρεῖ ἔξω βγῆκε;
Λέγε μου τῶν σοφῶν σοφία διαψευσμένη,
γιὰ νὰ μὴν πῶ γιὰ τὸ Θεὸ ἀπομωραμένη,
ὅπως ὁ Παῦλος λέει κι ὁ κάθε δοῦλος τοῦ Θεοῦ.
῞Οποιος ἐπιθυμεῖ πνευματικὰ
αὐτὸς σωματικὰ κι ἂν ἄλλους πλησιάζει
ἅγιος μπορεῖ νά 'ναι στὸ πνεῦμα του.

---

9. Εἶναι κάτι ἀντίστοιχο μὲ τὸ βίωμα τοῦ Παύλου ποὺ ὑπάρχει στὸ «ἁρπαγέντα τὸν τοιοῦτον μέχρι τρίτου οὐρανου». (Βλ. καὶ ῞Υμνο 11).

ἔξω γὰρ κόσμου καὶ τῶν σωμάτων τούτων
οὐδὲ ὄρεξίς ἐστι σαρκικοῦ πάθους,
ἀλλ' ἀπάθειά τις. Ὁ ταύτην φιλήσας
καὶ ἐκ τοῦ φιλήματος ζωὴν κερδήσας,
εἰ γὰρ καὶ βλέπεις δῆθεν ἀσχημονοῦντα
καὶ πρὸς τὴν πρᾶξιν ὥσπερ αὐτομολοῦντα,
νεκρὸν τὸ σῶμα γίνωσκε τοῦτο πράττειν!
Οὐ λέγω δίχα ψυχῆς, δι' ἧς κινεῖται,
ἀλλὰ τῆς κακῆς ἐκτὸς ἐπιθυμίας·
ἡ γὰρ ἡδονὴ τῆς καλῆς ἀπαθείας
καὶ τὸ ἐξ αὐτῆς φιλοῦν με φῶς ἀρρήτως
ὅλον μου τὸν νοῦν ἐξιστῶν ἀφαρπάζει
καὶ γυμνὸν αὐτὸν κρατοῦν χειρὶ ἀΰλῳ
πεσεῖν οὐκ ἐᾷ τῆς αὐτοῦ με ἀγάπης
ἢ ἐννοῆσαι λογισμὸν ἐμπαθείας,
ἀλλὰ κατασπάζεται ἀδιαλείπτως
καὶ τὴν ψυχήν μου ὁ πόθος καταφλέγει
καὶ οὐκ ἔστιν ἐν ἐμοὶ αἴσθησις ἄλλη.
Ὅσῳ γὰρ κόπρου καθαρώτατος ἄρτος
τιμιώτερος καὶ ἡδύτερος πέλει,
τοσούτῳ πλέον ἀσυγκρίτως τὰ ἄνω
ὑπὲρ τὰ κάτω τοῖς καλῶς γεγευμένοις.
Καταισχύνθητι τῶν σοφῶν ἡ σοφία,
ἡ τῆς ὄντως γνώσεως ἐστερημένη!
Ἡ γὰρ ἁπλότης τῶν ἡμετέρων λόγων
ἔργῳ κέκτηται τὴν ἀληθῆ σοφίαν
Θεῷ πλησιάζουσα καὶ προσκυνοῦσα,
ἐξ οὗ πᾶσα δίδοται ζωῆς σοφία,
δι' ἧς ἀναπλάττομαι ἢ καὶ θεοῦμαι
Θεὸν καθορῶν εἰς αἰῶνας αἰώνων.
Ἀμήν.

---

28. Ρωμ. 8,10.

Ἔξω ἀπ' τὸν κόσμο καὶ τὰ σώματά του
μήτε ὄρεξη δὲν εἶναι σαρκικοῦ πάθους,
ἀπάθεια βασιλεύει κι ὅποιος τὴν ἀπάθεια
ἀγαπήσει καὶ ζωὴ ἀπ' αὐτὴν κερδίσει
κι ἂν τὸν βλέπεις τάχα ν' ἀσχημονεῖ
καὶ αὐτόμολος στὴν ἀσχήμια νὰ γίνεται,
νὰ ξέρεις ἐνεργεῖ μὲ νεκρὸ σῶμα.
Δὲ λέω χωρὶς ψυχὴ ποὺ τὸν κινεῖ,
μὰ καθαρὸς ἀπὸ κακὴν ἐπιθυμία
τῆς καλῆς ἀπάθειας ἡ ἡδονὴ
καὶ τὸ φῶς της ποὺ ἄρρητα μ' ἀγκαλλιάζει
βγάζει τὸ νοῦ ἀπ' τὸν κόσμο καὶ τὸν παίρνει,
τὸν κρατᾶ γυμνὸ μ' ἄυλο χέρι
καὶ δὲ μ' ἀφήνει ἀπ' τὴν ἀγάπη του νὰ πέσω
ἢ κάποιο λογισμὸ ἐμπαθὴ νὰ κάνω,
ἀλλὰ ἀδιάκοπα μ' ἀσπάζεται ὁλοένα
καὶ ὁ πόθος τὴν ψυχή μου καταφλέγει
κι ἄλλη καμιὰ αἴσθηση μέσα μου δὲν ἔχω.
Ὅσο ἀπ' τὴν κόπρο καθαρότερο εἶναι
τὸ ψωμὶ πιὸ τιμημένο καὶ γλυκύτερο,
τόσο πολὺ πιὸ ἀσύγκριτα τὰ οὐράνια
ἀπὸ τὰ γήινα γιὰ ὅποιους καλὰ τὰ γεύτηκαν.
Καταντροπιάσου, τῶν σοφῶν σοφία
ποὺ ἡ γνώση ἡ ἀληθινὴ σοῦ λείπει!
Γιατὶ ἡ ἁπλότητα τῶν λόγων τῶν δικῶν μου
ἔμπρακτα τὴν ἀληθινὴ κλείνει σοφία
τὸ Θεὸ πλησιάζοντας καὶ προσκυνώντας,
ποὺ ἐκεῖνος ὅλη δίνει τῆς ζωῆς τὴ σοφία.
Χάρη σ' αὐτὴν ἀναμορφώνομαι ἢ καὶ θεώνομαι
τὸ Θεὸ θεωρώντας στοὺς αἰῶνες τῶν αἰώνων.
Ἀμήν.

---

24. Ἀσφαλῶς διαφέρει ἡ ἀπάθεια τοῦ μοναχοῦ ἀπὸ τὴν ἀπάθεια τοῦ στωϊκοῦ· ἡ δεύτερη εἶναι ἡ αὐτοκυριαρχία μὲ τὴ δύναμη τοῦ λόγου, ἐνῶ ἡ πρώτη εἶναι ἔρως, ἔρως τοῦ ἀγαθοῦ.

I

Ὅτι ὁ θάνατος τῇ λύπῃ καὶ τῶν στερροτέρων καθάπτεται.

Ἤκουσα πρᾶγμα ξένον καὶ πλῆρες θάμβους,
φύσιν ἄϋλον, τὴν λίθου στερροτέραν,
ἴσον ἀδάμαντος καλουμένου παθοῦσαν,
ὃς μὴ μαλαχθεὶς ἢ πυρὶ ἢ σιδήρῳ
γέγονε κηρὸς ἐμπλεχθεὶς τῷ μολύβδῳ.
Ἄρτ' ἐπίστευσα μικρὸν ὕδατος ρεῦμα
πέτρας τὸ στερρὸν ἐγχρονίζον κοιλαίνειν
καὶ ὄντως οὐδὲν ἄτρεπτον τῶν ἐν βίῳ.
Μηδεὶς μ' ἐκ τοῦ νῦν ἀπατᾶν νομιζέτω!
Φεῦ τῷ βλέποντι τὰ φεύγοντα τοῦ βίου
ὡς κρατούμενα καὶ τερπομένῳ τούτοις!
Ταῦτα πείσεται, ἅπερ κἀγώ, ὁ τάλας.
Νύξ μ' ἐχώρισεν ἀδελφοῦ γλυκυτάτου,
τὸ ἄτμητον φῶς τῆς ἀγάπης τεμοῦσα.

10

῞Οτι ὁ θάνατος πληγώνει ἀκόμα καὶ τοὺς δυνατοὺς μὲ τὴ λύπη ποὺ προκαλεῖ.

Πράγμα ἄκουσα παράξενο ποὺ καταπλήσσει:
ἄυλη φύση στερεότερη ἀπὸ πέτρα
πὼς ἔπαθε ὅμοια μὲ τὸ φημιστὸ διαμάντι,
ποὺ ἐνῶ ἡ φωτιὰ δὲν τὸ μαλάκωσε κι ἡ σφύρα,
κερὶ μὲ τὸ μολύβι ὡς μπλέχτηκε ἔχει γίνει·
Πίστεψα τώρα πὼς μικρὲς νεροῦ σταγόνες
τρῶνε μὲ τὸν καιρὸ τὴ σκληρὴ πέτρα
καὶ τίποτε στὴ ζωὴ ἀμετάβλητο δὲ μένει.
Μὲ τὸ παρὸν πὼς μὲ γελᾶ μὴν πεῖ κανένας.
᾿Αλὶ σ' αὐτὸν ποὺ ὅσα περνοῦν τῆς ζωῆς τὰ βλέπει
στὰ χέρια του ὡς νὰ τά 'χει καὶ τὰ φχαριστιέται.
Τὰ ἴδια θὰ πάθει, ὅσα ἔπαθα, ὁ δυστυχισμένος.
᾿Απὸ γλυκύτατο μὲ χώρισε ἀδελφὸν ἡ νύχτα
τὸ ἀκομμάτιαστο κόβοντας φῶς τῆς ἀγάπης.

---

10. Τὸ αἴσθημα τῆς ματαιότητας τῶν ἐγκοσμίων, παρόμοια μ' αὐτὸ πο ἐκφράζεται ἀπὸ τὸ Γρηγόριο τὸ Ναζιανζηνό. (Βλ. ποίημα 'τροχός τίς ἐστι....')

ΙΑ

Ὅπως ὠράθη αὐτῷ Θεὸς ὡς Παύλῳ καὶ Στεφάνῳ τοῖς ἀποστόλοις, ἐνταῦθα ὁ πατὴρ ἐκπληττόμενος διηγεῖται.

Τί τὸ καινὸν τοῦ θαύματος τοῦ καὶ νῦν γινομένου;
Θεὸς καὶ νῦν ἁμαρτωλοῖς ἄρα ὁρᾶσθαι θέλει,
ὁ πάλαι ἄνω ἀναβὰς καὶ καθεσθεὶς ἐν θρόνῳ,
ἐν οὐρανῷ τῷ πατρικῷ, καὶ κεκρυμμένος πέλων;
Ἐκρύβη γὰρ ἐξ ὀφθαλμῶν τῶν θείων ἀποστόλων
καὶ μόνος, ὡς ἠκούσαμεν, Στέφανος μετὰ ταῦτα
ἀνεῳγότας οὐρανοὺς εἶδε καὶ τότε εἶπεν·
«Ὁρῶ ἑστῶτα τὸν Υἱὸν ἐκ δεξιῶν τῆς δόξης
τῆς τοῦ Πατρός»· καὶ παραυτὰ ὡς βλάσφημα λαλήσας
λιθοβολεῖται πρὸς αὐτῶν τῶν νομοδιδασκάλων
καὶ θνήσκει νόμῳ φύσεως καὶ ζῇ εἰς τοὺς αἰῶνας.
Πλὴν ἦν αὐτὸς ἀπόστολος, ἦν καὶ ἡγιασμένος
καὶ ἔμπλεως τοῦ Πνεύματος ὅλος τοῦ παναγίου,
ἀρχὴ δὲ τοῦ κηρύγματος καὶ πλῆθος τῶν ἀπίστων,
οἳ τῷ Χριστῷ πιστεύοντες διὰ τῶν ἀποστόλων
καὶ τὴν χάριν ἐλάμβανον πίστεως οὖσαν δῶρον.
Νῦν δέ, τί ἄρα βούλεται τὸ ξέον τοῦτο πρᾶγμα,
τὸ ἐν ἐμοὶ γινόμενον, τί δὲ ἂν θέλοι εἶναι
ἡ φοβερὰ κατάπληξις τοῦ νυνὶ τελουμένου;
Τίς ὁ ἄρτι δεικνύμενος τρόπος φιλανθρωπίας,
ξένος πλοῦτος χρηστότητος, ἄλλη πηγὴ ἐλέους,
πολὺ τὸ πλέον ἔχουσα τῶν πάλαι γεγονότων;

---

7. Πράξ. 7,56. 9. Πράξ. 6,11.
10. Πράξ. 7,58. 13. Πράξ. 7,55.

11

Ἐδῶ ὁ πατέρας διηγεῖται μὲ ἔκπληξη πῶς ἐμφανίστηκε σ' αὐτὸν ὁ Θεὸς ὅπως στοὺς ἀποστόλους Παῦλο καὶ Στέφανο.

Ποιό εἶναι τὸ πρωτόφαντο θαῦμα ποὺ καὶ τώρα γίνεται;
Ὁ Θεὸς θέλει καὶ τώρα νὰ ἐμφανίζεται σὲ ἁμαρτωλούς,
αὐτὸς ποὺ ἀνέβηκε παλαιὰ στὸν οὐρανὸ καὶ κάθισε στὸ θρόνο
στὰ πατρικά του οὐράνια καὶ εἶναι ἐκεῖ κρυμμένος;
Κρύφτηκε ἀπὸ τὰ μάτια τῶν θείων ἀποστόλων
καὶ μόνο, ὅπως ἀκούσαμε, ὁ Στέφανος ἔπειτα
εἶδε ν' ἀνοίγουν οἱ οὐρανοὶ καὶ τότε εἶπε·
«Βλέπω τὸν Υἱὸ νὰ στέκεται στὰ δεξιὰ τῆς δόξας
τοῦ Πατέρα». Κι ἀμέσως γιατί τάχα βλαστήμησε
τὸ πετροβολητὸ ἀπ' τοὺς ἴδιους δέχεται τοὺς δασκάλους τοῦ νόμου.
καὶ πεθαίνει ὅπως ἦταν φυσικὸ μὰ ζεῖ στοὺς αἰῶνες.
Ἐκεῖνος ὅμως ἦταν ἀπόστολος καὶ εἶχε ἁγιαστεῖ
κι ἦταν ὅλος γεμάτος ἀπὸ τὸ πανάγιο Πνεῦμα
κι ἦταν ἡ ἀρχὴ τοῦ κηρύγματος καὶ πλῆθος οἱ ἄπιστοι.
ποὺ μὲ τὸ λόγο τῶν ἀποστόλων πίστευαν στὸ Χριστὸ
κι ἔπαιρναν τὴ χάρη ποὺ εἶναι δῶρο τῆς πίστης.
Τώρα ὅμως, τί σημαίνει αὐτὸ τὸ παράδοξο θαῦμα,
ποὺ συμβαίνει σ' ἐμένα καὶ ποῦ τάχα ἀποβλέπει
αὐτὸ τὸ φοβερὸ καὶ καταπληκτικὸ ποὺ γίνεται;
Τί σημαίνει αὐτὴ ἡ ἐκδήλωση τῆς φιλανθρωπίας,
ὁ πρωτόφαντος πλοῦτος τῆς καλοσύνης, ἡ ἄλλη πηγὴ τοῦ ἐλέους,
ποὺ εἶναι διάφορος πολὺ ἀπὸ ὅ,τι ἔγινε παλαιά;

---

15. Πράξ. 5,12-14. 16. Ἐφ. 2,8
21. Τίτ. 3,4.

Πολλοὶ γὰρ ἠλεήθησαν θείᾳ φιλανθρωπίᾳ,
πλὴν καὶ αὐτοὶ προσέφερον ἴδιόν τι τὴν πίστιν,
εἴτε καὶ ἄλλας ἀρετὰς καὶ πράξεις ἀποδέκτους·
ἐγὼ δὲ πάντων ἐμαυτὸν τούτων ἐστερημένον
κατανοῶν ἐξίσταμαι καὶ φέρειν οὐκ ἰσχύω
τὰ εἰς ἐμὲ γινόμενα, τὸν ἄσωτον ἐκ μήτρας,
παρὰ Θεοῦ τοῦ κτίσαντος λόγῳ τὴν πᾶσαν κτίσιν·
ἅπερ καὶ φρίττω ἐννοεῖν, πῶς δὲ καὶ λόγῳ γράψω;
Ποία χεὶρ λειτουργήσειε, ποῖος κάλαμος γράψει,
ποῖος λόγος ἐκφράσειε, ποία γλῶσσα ἐξείποι,
ποῖα χείλη λαλήσουσιν, ἃ ἐν ἐμοὶ ὁρῶνται
γινόμενα, τελούμενα δι' ὅλης τῆς ἡμέρας;
Καὶ γὰρ καὶ ἐν αὐτῇ νυκτὶ καὶ ἐν αὐτῷ τῷ σκότει
βλέπω Χριστὸν τοὺς οὐρανοὺς φρικτῶς ἀνοίγοντά μοι,
αὐτόν τε παρακύπτοντα καὶ καθορώμενόν μοι
ἅμα Πατρὶ καὶ Πνεύματι, φωτὶ τῷ τρισαγίῳ,
ἓν ὂν ἐν τοῖς τρισὶ καὶ ἐν ἑνὶ τὰ τρία.
Αὐτὰ τὸ φῶς πάντως εἰσί, καὶ τὸ φῶς ἓν τὰ τρία,
ὃ καὶ ὑπὲρ τὸν ἥλιον φωτίζει τὴν ψυχήν μου
καὶ καταλάμπει μου τὸν νοῦν ὄντα ἐσκοτισμένον.
Οὐ γὰρ ἑώρα μου ὁ νοῦς ἐξ ἀρχῆς, ἃ ἑώρα,
ἀλλὰ τυφλός, πιστεύσατε, ὑπῆρχον καὶ μὴ βλέπων,
καὶ διὰ τοῦτο πλέον με τὸ θαῦμα καταπλήττει,
ὅταν πώς μου τὸν ὀφθαλμὸν τοῦ νοὸς διανοίγῃ,
καί πως τὸ βλέπειν δίδωσι καὶ βλεπόμενος ἔστιν.
Αὐτὸς γὰρ φῶς ἐν τῷ φωτὶ φαίνεται τοῖς ὁρῶσι
καὶ οἱ ὁρῶντες ἐν φωτὶ αὐτὸν βλέπουσι πάλιν.
Ἐν φωτὶ γὰρ τοῦ Πνεύματος βλέπουσιν οἱ ὁρῶντες,
καὶ οἱ ἐν τούτῳ βλέποντες τὸν Υἱὸν καθορῶσιν·
ὁ δὲ Υἱὸν ἀξιωθεὶς ἰδεῖν Πατέρα βλέπει,

---

36. Πράξ. 7,56. 46. Λουκᾶ 24,31·45.
48. Ψαλμ. 35,9. 52. Ἰω. 14,9.

28. Δὲν εἶναι βέβαια ταπεινολογία ὅ,τι λέγεται ἐδῶ, ἀλλὰ ἡ βαθιὰ τα

Εἶναι πολλοὶ οἱ ἐλεημένοι ἀπὸ τὴ θεία φιλανθρωπία,
ἀλλὰ κάτι δικό τους πρόσφεραν κι αὐτοί, τὴν πίστη,
ἢ κι ἄλλες ἀρετὲς καὶ πράξεις εὐπρόσδεκτες.
Ἐνῶ ἐγὼ ἀπ' ὅλα αὐτὰ τὸν ἑαυτό μου νὰ νιώθω
στερημένο ἀπορῶ καὶ δὲν μπορῶ νὰ καταλάβω
ὅ,τι κάνει σ' ἐμένα, τὸν ἄσωτο ἀπ' τὴ μήτρα,
ὁ Θεὸς ποὺ μὲ τὸ λόγο του ἔχτισε ὅλη τὴν κτίση.
Νὰ τὰ σκεφτῶ καὶ μόνο φρίττω καὶ πῶς νὰ τὰ πῶ μὲ λόγια;
Ποιό χέρι θὰ κινηθεῖ καὶ ποιό κοντύλι νὰ τὰ γράψει;
Ποιός λόγος νὰ τὰ ἐκφράσει, ποιά γλώσσα νὰ τὰ πεῖ,
ποιά χείλη νὰ ξεστομίσουν ὅσα βλέπω νὰ γίνονται
μέσα μου καὶ νὰ γίνονται ὅλη τὴ μέρα;
Γιατὶ καὶ μέσα στὴ νύχτα καὶ μέσα στὸ σκοτάδι
βλέπω μὲ τρόμο τὸ Χριστὸ νὰ μοῦ ἀνοίγει τοὺς οὐρανούς,
νὰ σκύβει ὁ ἴδιος καὶ νὰ μὲ κοιτάζει
μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ Πνεῦμα, τὸ τρισάγιο φῶς,
ποὺ εἶναι ἕνα στὰ τρία πρόσωπα καὶ τὰ τρία στὸ ἕνα.
Αὐτὰ εἶναι τὸ φῶς καὶ τὰ τρία εἶναι τὸ ἕνα φῶς,
αὐτὸ ποὺ φωτίζει τὴν ψυχή μου πιὸ πολὺ ἀπ' τὸν ἥλιο
καὶ καταλάμπει τὸ νοῦ μου ποὺ εἶναι στὸ σκότος.
Γιατὶ δὲν ἔβλεπε ὁ νοῦς μου ἀπ' τὴν ἀρχὴ ὅσα βλέπει
ἀλλά, πιστέψτε με, ἤμουν τυφλὸς καὶ ἀόμματος
καὶ γι' αὐτὸ τὸ θαῦμα μὲ καταπλήσσει περισσότερο,
πῶς ἀνοίγει τὰ μάτια τοῦ νοῦ μου,
πῶς μοῦ δίνει τὴ δύναμη καὶ νά, τὸν κοιτάζω.
Γιατὶ αὐτὸς εἶναι τὸ φῶς μέσα στὸ φῶς γιὰ ὅσους βλέπουν
κι ὅσοι βλέπουν τὸν βλέπουν πάλι μέσα στὸ φῶς.
Ὅσοι βλέπουν μὲ τὸ φῶς τοῦ Πνεύματος βλέπουν,
κι ὁποιοι βλέπουν μ' αὐτὸ τὸ φῶς βλέπουν τὸν Υἱὸ
κι ὁποιος ἀξιώθηκε νὰ δεῖ τὸν Υἱὸ βλέπει τὸν Πατέρα

νωση ποὺ πρέπει νὰ συνέχει τὸ μοναχό.

50. Ἡ ἐπανάληψη τῶν λέξεων 'φῶς', 'βλέπω', 'ὁρῶ', 'καθορῶ', 'θεωρῶ' εἶναι χαρακτηριστικὴ γιὰ τὸ μυστικὸ ποὺ εἶναι ὅλος ὅραση, ὅραση βέβαια νοερή.

Πατέρα δὲ ὁ θεωρῶν σὺν Υἱῷ πάντως βλέπει,
Ὅπερ καὶ νῦν, ὡς εἴρηται, ἐν ἐμοὶ ἐκτελεῖται,
καὶ τα ἀκατανόητα ποσῶς καταμανθάνω,
καὶ νῦν μακρόθεν καθορῶ τὰ ἀθέατα κάλλη
τῷ ἀπροσίτῳ τοῦ φωτός, τῷ ἀστέκτῳ τῆς δόξης
καταπληττόμενος σφοδρῶς, συνεχόμενος τρόμῳ,
πλὴν ὅτι μίαν καθορῶ ἐξ ἀβύσσου σταγόνα.
Ὡς ἐν σταγόνι δὲ τὸ πᾶν δείκνυται τῶν ὑδάτων,
ὁποῖον τὴν ποιότητα καὶ ποταπὸν τὸ εἶδος,
ὡς ἐξ ἄκρου τοῦ κρασπέδου ὅλον τὸ ὕφασμα
καί, ὥς φασιν, ἐξ ὀνύχων τὸ θηρίον, ὁ λέων,
οὕτως ὅλον ἐν ὀλίγῳ ἀσπαζόμενος βλέπω,
αὐτὸν τ' ἐκεῖνον προσκυνῶ, τὸν Χριστὸν καὶ Θεόν μου.
Εἶχον δ' ἐν διανοίᾳ μου μικρὰν παραμυθίαν
τοῦ μὴ καταφλεχθῆναί με, τοῦ μὴ κατακαῆναι
ὥσπερ κηρὸς ἀπὸ πυρός, ὡς εἶπεν ὁ προφήτης,
τὸ μακρόθεν ὑπάρχειν με πυρὸς τοῦ ἀπροσίτου
καὶ σκότους μέσον ἵστασθαι καὶ κρύπτεσθαι ἐν τούτῳ,
ὅθεν ὡς ἐξ ὀπῆς μικρᾶς καὶ ὁρῶν ἰλιγγιῶ.
Ἐν τούτοις μου διάγοντος καὶ τὸν νοῦν ἀσχολοῦντος
καὶ οἱονεὶ ἐν οὐρανῷ δοκοῦντος ἀτενίζειν
καὶ τρέμοντος, μὴ πλεῖόν μου παραδεχθεὶς ἐκλείξῃ,
αὐτὸν ἐκεῖνον εὕρηκα, ὃν μακρόθεν ἑώρων,
ὃν Στέφανος ἑώρακεν οὐρανῶν ἀνοιγέντων
καὶ Παῦλος πάλιν ὕστερον ἰδὼν ἀπετυφλώθη,
ὅλον ὡς πῦρ ἐπ' ἀληθῶς μέσον ἐμῆς καρδίας.
Θροηθεὶς οὖν τῷ θαύματι καὶ τρομάξας μεγάλως
ἐξέστην, ὅλος ἐκλυθείς, ὅλος ἐξαπορήσας,
μὴ φέρων τε τὸ ἄστεκτον τῆς δόξης ἀπεστράφην,
ἐν τῇ νυκτί τε ἔφυγον αἰσθήσεων τῶν ὧδε

---

68. Ψαλμ. 67,3 καὶ Μιχ. 1,4. 76. Πράξ. 7,56.
77. Πράξ. 9,9.

60. "Ὡς ἐν σταγόνι', 'ἐξ ἄκρου κρασπέδου', 'ἐξ ὀνύχων', 'ἐν ὀλίγῳ'. Ὅλες αὐτὲς οἱ ἐκφράσεις γιὰ νὰ ὑποστηρίξει τὴν ἔννοια ποὺ ἔχει γιὰ τὸ ἄπειρο μεγα-

καὶ τὸν Πατέρα βλέποντας τὸν βλέπει μὲ τὸν Υἱό.
Αὐτό, ὅπως εἶπα, γίνεται τώρα καὶ μέσα μου
καὶ κατανοῶ σ' ἕνα βαθμὸ τ' ἀκατανόητα
καὶ τώρα βλέπω ἀπὸ μακριὰ τ' ἀόρατα κάλλη
κι ἀπ' τὸ ἀπρόσιτο φῶς τῆς δόξας, τὸ ἀβάσταχτο,
νιώθω ἔκπληξη σφοδρή, κι εἶμαι γεμάτος τρόμο
κι ἂς βλέπω μιὰ μόνο σταγόνα ἀπὸ τὴν ἄβυσσο,
Μὰ ὅπως στὴ μιὰ σταγόνα φαίνεται ὅλο τὸ νερὸ
ποιά εἶναι ἡ φύση του καὶ ποιά ἡ μορφή του,
ὅπως ἀπὸ μιὰ ἄκρη γνωρίζομε ὅλο τὸ ὕφασμα
καὶ τὸ λιοντάρι τὸ ἄγριο ἀπὸ τὸ νύχι του, ὅπως λένε,
ἔτσι κι ἐγώ, ἐνῶ τὸν ἀσπάζομαι στὸ λίγο, τὸν βλέπω ἀκέραιο
καὶ προσκυνῶ αὐτὸν τὸν ἴδιο, τὸ Χριστὸ καὶ Θεό μου.
Συντηροῦσα στὸ νοῦ μου μιὰ μικρὴ παρηγορία
ὅτι δὲ θὰ καταφλεγόμουν, ὅτι δὲ θὰ κατακαιόμουν,
ὅπως τὸ κερὶ στὴ φωτιά, ὅπως εἶπε ὁ προφήτης,
ἐπειδὴ βρισκόμουν μακριὰ ἀπὸ τὸ ἀπρόσιτο φῶς
καὶ στεκόμουν στὴ μέση τοῦ σκότους κρυμμένος μέσα σ' αὐτὸ
κι ἀπὸ ἐκεῖ σὰν ἀπὸ μιὰ μικρὴ χαραματιὰ βλέπω καὶ ζαλίζομαι.
Μέσα σ' αὐτὰ ζώντας κι ἀπασχολώντας τὸ πνεῦμα μου
καὶ μὲ τὴν ἐντύπωση ὅτι ἀτενίζω τὸν οὐρανὸ
καὶ τρέμω μήπως μ' ἀγγίξει πιὸ δυνατὰ ἀπὸ ὅ,τι μπορῶ,
βρῆκα αὐτὸν ἀκριβῶς ποὺ κοίταξα ἀπὸ μακριὰ
(ποὺ τὸν ἀντίκρισε ὁ Στέφανος ὅταν ἄνοιξαν οἱ οὐρανοὶ
καὶ ἀργότερα ὅταν τὸν εἶδε ὁ Παῦλος τυφλώθηκε)
τὸν βρῆκα ὅλον ἀληθινὰ ὡς φωτιὰ μὲς στὴν καρδιά.
Θροήθηκα ἀπὸ τὸ θαῦμα καὶ ἀπὸ τὸ μεγάλο τρόμο
βρέθηκα σ' ἔκσταση, τὰ μέλη μου παράλυσαν, χάθηκα ὁλότελα
καὶ γύρισα τὸ πρόσωπό μου μὴ ἀντέχοντας τὴν ἀβάσταχτη δόξα,
ἔφυγα μέσα στὴ νύχτα τῶν γήινων αἰσθήσεων

λεῖο τοῦ Θεοῦ· οὐσιαστικὰ μαρτυρεῖται ἡ ἀδυναμία γιὰ τὴν κατανόηση τοῦ Θεοῦ.

70. Ἂς προσέξομε τὴν πολὺ ζωηρὴ καὶ παραστατικὴ περιγραφὴ τοῦ Συμεών. Εἶναι ἔμφυτη ἱκανότητα ποὺ βοηθεῖ τὴ 'θεωρητικὴ' τάση ἡ ἐπίδοση στὴ θεωρία ποὺ ὀξύνει τὴν ἱκανότητα.

καὶ σκεπασθεὶς τοῖς λογισμοῖς ἀπεκρύβην ἐν τούτοις,
ὥσπερ ἐν μνήματι ἐμβάς, καὶ ἀντὶ λίθου τοῦτο
τὸ σῶμα τὸ βαρύτατον ἐπιθεὶς ἐσκεπάσθην
καὶ ἀπεκρύβην τῷ δοκεῖν τὸν πανταχοῦ παρόντα,
τὸν πάλαι με ἐγείραντα νεκρὸν καὶ τεθαμμένον.
Φρίξας γὰρ καὶ μὴ ἰσχύων βλέπειν αὐτοῦ τὴν δόξαν
ὑπεισελθεῖν προῄρημαι καὶ προσμεῖναι τῷ τάφῳ,
καὶ κατοικεῖν μετὰ νεκρῶν, ζῶν αὐτὸς ἐν τῷ τάφῳ,
ἤπερ καταφλεχθῆναί με καὶ ἄρδην ἀπολέσθαι.
Ἐκεῖ πάντως καθήμενον δεῖ με θρηνεῖν ἀπαύστως,
καὶ κλαίειν χρὴ τὸν ἄσωτον, ὅτι τοῦ ποθουμένου
ἀπέτυχον καὶ γέγονα κείμενος ἐν τῷ τάφῳ.
Ζῶν δὲ νεκρός, ὑπόγειος, λίθῳ κεκαλυμμένος
ζωὴν εὗρον, Θεὸν αὐτόν, τὸν τὴν ζωὴν διδόντα,
ᾧ πρέπει δόξα καὶ τιμὴ νῦν καὶ εἰς τοὺς αἰῶνας.
Ἀμήν.

καὶ σκεπασμένος ἀπὸ λογισμοὺς κρύφτηκα σ' αὐτοὺς
σὰ νὰ εἶχα μπεῖ σὲ τάφο καὶ γιὰ ταφόπετρα
ἔβαλα αὐτὸ τὸ βαρύτατο σῶμα καὶ σκεπάστηκα
καὶ κρύφτηκα νομίζοντας πὼς ἔβλεπα τὸν πανταχοῦ παρόντα
ποὺ μὲ ἀνάστησε παλαιά, ὅταν ἤμουν νεκρὸς στὸν τάφο.
Φρίκη μ' ἔπιασε κι ἐπειδὴ δὲν ἄντεχα νὰ βλέπω τὴ δόξα του
προτίμησα νὰ χωθῶ καὶ νὰ παραμείνω στὸν τάφο,
παρὰ νὰ καταφλεχθῶ καὶ νὰ χαθῶ ὁλότελα.
Ἐκεῖ πάντως πρέπει νὰ κάθομαι καὶ νὰ θρηνῶ ἀδιάκοπα
κι ὁ ἄσωτος πρέπει νὰ κλαίω, γιατὶ σ' ὅ,τι ποθοῦσα
ἀπέτυχα κι ἔγινε νεκρὸς μέσα στὸν τάφο.
Ζωντανὸς νεκρός, μέσα στὴ γῆ, σκεπασμένος μὲ τὴν πέτρα
βρῆκα τὴ ζωή, τὸν ἴδιο τὸ Θεό, ποὺ δίνει τὴ ζωή,
αὐτὸν ποὺ τοῦ πρέπει δόξα καὶ τιμὴ τώρα καὶ στοὺς αἰῶνες.
Ἀμήν.

---

90. Ψαλμ. 67,6.
95. Ἀποκ. 1,18.

ΙΒ

Περὶ τοῦ ἑνὸς κατὰ πάντα τῆς τρισυποστάτου θεότητος θεολογία· καὶ δι᾽ ὧν τῇ ταπεινώσει χρώμενος λέγει περὶ ἑαυτοῦ, τῶν δοκούντων εἶναί τι ἐντρέπει τὴν οἴησιν.

Πῶς, ἅ ποτε ἠφάνισας, ἐν ἐμοὶ πάλιν ζῶσι
καὶ σκότους με καὶ θλίψεως ἐμπιπλῶσι, Θεέ μου;
Πάθη θυμοῦ τε καὶ ὀργῆς, ἐξ ὧν ἐγγίνεταί μοι
ἀναθυμίασις, ἀχλὺς ἐπὶ τὴν κεφαλήν μου,
καὶ πήρωσιν τοῖς νοεροῖς ὄμμασί μου ποιοῦσι,
καὶ γάρ, ὥσπερ καλύπτονται καὶ καμμύειν τῷ ζόφῳ,
οἴμοι, καταναγκάζονται, καὶ σοῦ ἀποστεροῦμαι,
φωτός, οὗ πᾶς ἐφίεται, ὀλίγοι δ᾽ ἐκζητοῦσιν.
Ἀλλὰ καὶ οἱ ἀξιωθέντες σου μετασχεῖν τῶν ἀρρήτων
καὶ ὑλικῶς μεταλαβεῖν ἐν ἀΰλῳ αἰσθήσει
μυστηρίων τῶν φοβερῶν καὶ τοῖς πᾶσι ἀφράστων
γνῶναί τε τὴν ἀόρατον ἐν ὁρωμένοις δόξαν
καὶ τὸ ξένον μυστήριον, ὃ ἐν κόσμῳ ἐπράχθη,
κομιδῇ ὀλιγώτεροί εἰσιν, εὖ οἶδα, πάντως·
οἳ καὶ τούτων ἐγένοντο ἐν τρανεῖ θεωρίᾳ
παρὰ τοῦ ὄντος ἐν ἀρχῇ πρὸ πάντων τῶν αἰώνων
ἐκ τοῦ Πατρὸς σὺν Πνεύματι Υἱοῦ, Θεοῦ καὶ Λόγου,
φωτὸς τρισσοῦ ἐν τῷ ἑνί, ἑνὸς ἐν τοῖς τρισὶ δέ.
Ἀμφότερα καὶ γὰρ ἓν φῶς· Πατήρ, Υἱὸς καὶ Πνεῦμα,
ἄτμητον ὂν ἐν τοῖς τρισὶ προσώποις ἀσυγχύτως,
πλὴν ἡνωμένης καὶ αὐτοῖς κατὰ τὴν θείαν φύσιν
ἀρχῆς, δόξης, δυνάμεως, θελήματος ὡσαύτως.

---

5. 'Τὰ νοερὰ μάτια τὰ δικά μου (τοῦ Συμεὼν) καὶ γενικὰ τοῦ ἀνθρώπου'. Τὰ πάθη δημιουργοῦν ἀναθυμίαση καὶ ἀχλὺ κι ἀπὸ αὐτὲς πρέπει νὰ καθαρθεῖ ἢ

Θεολογία γιὰ τὸ ὅτι εἶναι ἕνα ἡ τρισυπόστατη θεότητα καὶ πῶς μὲ ὅσα λέει μὲ ταπεινοσύνη γιὰ τὸν ἑαυτό του ἀποτρέπει τὴν οἴηση ὅσων νομίζουν σπουδαῖο τὸν ἑαυτό τους.

Πῶς ὅσα ἀφάνισες παλιὰ ζοῦν πάλι σ' ἐμένα
καὶ μὲ γεμίζουν, Θεέ μου, ἀπὸ σκοτάδι καὶ θλίψη;
Πάθη ἔξαψης καὶ ὀργῆς ποὺ μοῦ ἀνεβάζουν
ἕνα θόλωμα μέσα μου κι ἀχλὺ στὴν κεφαλή μου
καὶ ἀνάπηρα μοῦ ἀφήνουν τῆς ψυχῆς τὰ μάτια.
Γιατὶ ὅπως σκεπάζονται κι ἀλί μου ἀναγκάζονται
νὰ κλείνουν ἀπ' τὸ ζόφο νιώθω τὴ στέρησή σου,
ἐσένα ποὺ εἶσαι τὸ φῶς ποὺ ὅλοι ποθοῦν καὶ λίγοι τὸ ψάχνουν.
Μὰ κι ὅσοι ἀξιώθηκαν νὰ δοῦνε τ' ἄρρητά σου
καὶ φοβερὰ μυστήρια καὶ ἄυλη αἴσθηση νὰ μεταλάβουν
ὑλικὰ ὅσα εἶναι στοὺς πολλοὺς ἀνείπωτα
καὶ νὰ γνωρίσουν μέσα στὰ ὁρατὰ τὴν ἀόρατή σου δόξα
καὶ τὸ μυστήριο τὸ παράδοξο στὸν κόσμο ποὺ ἔγινε
πολὺ καλὰ γνωρίζω πὼς πολὺ λιγότεροι εἶναι
κι ὅσοι ἀπ' αὐτοὺς τὴν καθαρὴ δέχτηκαν θεωρία
ἀπὸ αὐτόν, ποὺ ὑπῆρχε στὴν ἀρχὴ πρὶν ἀπὸ τοὺς αἰῶνες
ἀπ' τὸν Πατέρα μὲ τὸ Πνεῦμα μαζί, τὸν Υἱό, Θεὸ καὶ Λόγο,
τὸ τριπλὸ φῶς μέσα στὸ ἕνα καὶ τὸ ἕνα μέσα στὰ τρία.
Καὶ τὰ δύο εἶναι ἕνα φῶς· ὁ Πατέρας, ὁ Υἱὸς καὶ Πνεῦμα
ἀδιαίρετο κι ἀσύγχυτο στὰ τρία πρόσωπα φῶς ἕνα,
ποὺ ἔχουν αὐτὰ ἀπὸ κοινοῦ σύμφωνα μὲ τὴ θεία τους φύση
τὴν ἀρχή, τὴ δόξα, τὴ δύναμη καθὼς καὶ τὸ θέλημα.

ψυχὴ γιὰ νὰ μπορέσει νὰ δεῖ. Ὁ Συμεὼν παρουσιάζεται σὲ πολλὰ σημεῖα τῶν ὕμνων του νὰ κατέχεται ἀπὸ πλῆθος πάθη.

Τὰ τρία γὰρ ὁρᾶταί μοι, ὡς ἐν ἑνὶ προσώπῳ
ὡραῖοι δύο ὀφθαλμοὶ φωτὸς πεπληρωμένοι·
προσώπου δίχα ὀφθαλμοὶ πῶς βλέψουσιν, εἰπέ μοι;
Πρόσωπον δ' ἄνευ ὀφθαλμῶν οὐ χρὴ πάντως καλεῖσθ
λείπεται γὰρ τοῦ πλείονος, ἢ εἰπεῖν μᾶλλον ὅλου·
ἥλιος γάρ, εἰ στερηθῇ φωτὸς τῆς εὐπρεπείας,
ἀπολεῖται πρῶτος αὐτός, ἔπειτα κτίσις πᾶσα,
ἡ ὑπ' αὐτοῦ τὸ λάμπεσθαι καὶ τὸ βλέπειν λαχοῦσα.
Οὕτω Θεὸς τοῖς νοητοῖς ἑνὸς εἰ στερηθείη,
εἴτε Υἱοῦ ἢ Πνεύματος, Πατὴρ οὐκέτι ἔσται,
ἀλλ' οὐδὲ ζῶν ὑπάρξειεν ἀποβαλὼν τὸ Πνεῦμα,
ἐξ οὗ τοῖς πᾶσι δίδοται καὶ τὸ ζῆν καὶ τὸ εἶναι.
Σεβέσθω τοίνυν ἅπασα λογικὴ ὄντως φύσις,
ὅση ὑπὸ τὸν ἥλιον, ὅση δ' ὑπέρθεν τούτου,
φύσιν τὴν τρισυπόστατον ἀνερμήνευτον πάντῃ!
Θεοῦ γὰρ οὔτε ὄνομα, οὐ φύσιν, οὐκ ἰδέαν,
οὐ μορφήν, οὐχ ὑπόστασιν τῶν ἀνθρώπων τις ἔγνω,
ἵνα εἴπῃ καὶ γράψῃ καὶ μεταδῷ τοῖς ἄλλοις,
ἀλλ' ὥσπερ λάμπων ἥλιος τοῖς νέφεσιν εἰσδύνει
καὶ οὐχ ὁρᾶται μὲν αὐτός, οὐδ' ὅλως φωτὶ φαίνει,
ἀλλ' ἀμυδρὸν τοῖς ἐν τῇ γῇ τὸ φῶς αὐτοῦ παρέχει,
οὕτω μου νόει τὸν Θεὸν ἀφ' ἡμῶν κεκρυμμένον
καὶ σκότος μέγα καὶ βαθὺ πάντας ἡμᾶς κατέχον.
Ἀλλὰ τὸ θαυμαστότερον νόει πάντως ἐνταῦθα·
Θεοῦ γὰρ οὐ συστέλλεται τὸ φῶς, ὡς τοῦ ἡλίου,
ἀλλὰ καὶ λάμπει πανταχοῦ καὶ φωτίζει τὰ πάντα·
καὶ μέσον ἐγὼ τοῦ παντὸς περιέχομαι σκότει
καὶ τοῦ ἐμὲ ποιήσαντος φωτὸς ἀποστεροῦμαι.
Τίς οὖν ἐμὲ μὴ κλαύσειε καὶ τίς ἂν οὐ πενθήσῃ
καὶ τίς οὐκ ἂν στενάξειεν ἐπ' ἐμοὶ καὶ δακρύσῃ,
ὅτι Θεὸς ἐν ἅπασι καὶ πανταχοῦ ὑπάρχει
καὶ φῶς ὅλος αὐτός ἐστιν, ἐν ᾧ οὐκ ἔστιν ὅλως

Βλέπω τοὺς τρεῖς σὰν μὲ ἕνα πρόσωπο
μὲ δύο ὡραῖα μάτια ποὺ ἀκτινοβολοῦν ἀπὸ φῶς·
πές μου, πῶς μποροῦν νὰ δοῦν μάτια δίχως πρόσωπο;
ἀλλὰ πρόσωπο χωρὶς μάτια δὲν μπορεῖ νὰ λέγεται,
γιατὶ τοῦ λείπει τὸ κυριότερο ἢ μᾶλλον τὸ πᾶν.
Ὁ ἥλιος δηλαδὴ ἂν στερηθεῖ τὴ λάμψη τοῦ φωτός,
πρῶτος αὐτὸς θ' ἀπολεσθεῖ κι ἔπειτα ὅλη ἡ κτίση,
ποὺ πῆρε ἀπὸ αὐτὸν τὴ λάμψη καὶ τὴν ὅραση.
Ἔτσι κι ὁ Θεὸς στὰ νοητὰ ἂν στερηθεῖ τὸ ἕνα
εἴτε τὸν Υἱὸ ἢ τὸ Πνεῦμα, δὲ θὰ εἶναι Πατέρας,
ἀλλὰ δὲ θὰ εἶναι κὰν ζωντανὸς ἂν χάσει τὸ Πνεῦμα
ποὺ δίνει σ' ὅλα καὶ τὴ ζωὴ καὶ τὴν ὕπαρξη.
Ἂς σέβεται λοιπὸν κάθε ἀληθινὰ λογικὴ φύση,
ὅση εἶναι κάτω ἀπὸ τὸν ἥλιο κι ὅση εἶναι πάνω,
τὴν τρισυπόστατη φύση τὴν ὁλότελα ἀνερμήνευτη.
Γιατὶ μήτε τὸ ὄνομα τοῦ Θεοῦ μήτε τὴ φύση μήτε τὴν ὄψη
μήτε τὴ μορφὴ μήτε τὴν ὑπόσταση ἔμαθε κάποιος ἄνθρωπος
γιὰ νὰ τὴν περιγράψει καὶ νὰ τὴ μεταδώσει στοὺς ἄλλους.
Ἀλλὰ ὅπως ὁ ἥλιος ποὺ λάμπει κρύβεται μέσα στὰ νέφη
καὶ ὁ ἴδιος ἐξαφανίζεται καὶ δὲ φέγγει καθόλου τὸ φῶς του,
ἀλλὰ ἀμυδρὰ μόνο τὸ διακρίνουν στὴ γῆ,
ἔτσι φαντάσου τὸ Θεὸ κρυμμένο ἀπὸ μᾶς
κι ὅτι ὅλους μᾶς τυλίγει σκότος μεγάλο καὶ πυκνό.
Ἀλλὰ τὸ πιὸ θαυμάσιο κοίταξέ το σὲ τοῦτο:
Τοῦ Θεοῦ τὸ φῶς δὲν περιορίζεται, ὅπως τοῦ ἥλιου,
ἀλλὰ καὶ παντοῦ λάμπει καὶ φωτίζει τὰ πάντα
κι ἐγὼ στοῦ παντὸς τὴ μέση περιβάλλομαι ἀπὸ σκότος
καὶ μοῦ λείπει τὸ φῶς τοῦ δημιουργοῦ μου.
Ποιός λοιπὸν δὲ θὰ μὲ κλάψει καὶ δὲ θὰ μὲ πενθήσει
ποιός δὲ θὰ στενάξει γιὰ μένα καὶ δὲ θὰ δακρύσει;
Ὁ Θεὸς ὑπάρχει σὲ ὅλα καὶ παντοῦ
καὶ εἶναι ὅλος φῶς καὶ κάνενα δὲν ὑπάρχει σ' αὐτὸν

34. Πράξ. 17,28.

οὐ τροπῆς ἀποσκίασμα, οὐ νυκτὸς παρουσία,
οὐ σκότους παρεμποδισμὸς ἐγγίνεται εἰς ἅπαν,
ἀλλ' ἐφήπλωται τῷ παντὶ καὶ ἀπροσίτως λάμπει
καὶ τοῖς ἀξίοις προσιτὸς καὶ ληπτὸς καθορᾶται,
ὀλίγον μέν, ὡς ἔφαμεν, πρὸς ὅλην τὴν ἀκτῖνα
καὶ πρὸς τὸν ἥλιον αὐτόν, ὅτε φανεῖται ὅλος,
πολὺ δὲ πάντως πρὸς αὐτοὺς τοὺς σκότει καθημένους,
ὅτι κατηξιώθησαν μικρὰν αὐγὴν ἰδέσθαι.
Ἐγὼ δέ, ὁ ταλαίπωρος, προτιμῶμαι τὸ σκότος
καὶ μεριμνῶ τὰ ἐν αὐτῷ καὶ προστιθῶ τὸν ζόφον,
καὶ γίνεται παχύτερος τῇ ταπεινῇ ψυχῇ μου,
ἐξ οὗ τὰ πάθη τρέφονται καὶ ἐν ἐμοὶ ζωοῦνται
καὶ δράκοντές μοι γίνονται καὶ ἑρπετὰ καὶ ὄφεις
διαταράσσοντες ἀεὶ τῆς ψυχῆς μου τὰ μέλη·
καὶ γὰρ ἡ δόξα δάκνει με, ἡ κενὴ καὶ ματαία,
καὶ τοὺς ὀδόντας πέπηγεν ἐν τῇ ἐμῇ καρδίᾳ·
ἐξ ἧς ἀδυνατήσαντος καὶ ἐκλυθέντος ὅλως
ἦλθον κύνες οἱ ἄγριοι, ἦλθε θηρρίων πλῆθος,
καὶ εὑρόντα με κείμενον κατεμασήσαντό με.
Τρυφὴ γὰρ καὶ ὁ ἔπαινος μυελὸν καὶ τὰ νεῦρα
διέσπασάν μου, τῆς ψυχῆς ἰσχὺν καὶ προθυμίαν.
Ἀφῃρηκότα ἀπ' ἐμοῦ, οἴμοι, πῶς πάντα γράψω;
Οἴησιν δὲ καὶ ὄκνον μοι ὡς λῃστὰς ἐπιθέντες,
ἡδονήν τε καὶ μέριμναν, πῶς ἀνθρώποις ἀρέσω,
ἀπ' ἐναντίας σύροντες διεμερίσαντό με·
ἡ μὲν τὴν σωφροσύνην μου καὶ τὸ νηφάλιόν μου,
ἡ δὲ τὰ ἔργα δεικνύοντες νεκρὸν ἀπέδειξάν με,
οἴησιν, τὸ παράδοξον καὶ θαυμαστὸν καὶ μέγα,
καταλιπόντες ἐν ἐμοὶ τῷ κατερρυπωμένῳ.
Πῶς γάρ, εἰπέ, οὐ θαυμαστόν, πῶς οὐ πλῆρες ἐλέους,
ὅτι τοσαῦτα πάθη με ἐπεισπεσόντα αἴφνης

---

55. Ἰακ. 1,17.

σκοτείνιασμα, καμιὰ μεταβολὴ ἢ παρουσία τῆς νύχτας
καὶ καθόλου δὲν τὸν παρεμποδίζει τὸ σκότος,
ἀλλὰ ἁπλώνεται στὸ πᾶν καὶ λάμπει ἀπλησίαστος
καὶ οἱ ἄξιοι μόνο τὸν πλησιάζουν καὶ τὸν βλέπουν
λίγο, ὅπως εἶπα, μπροστὰ σὲ ὅλη τὴ λάμψη του,
κι ὡς πρὸς τὸν ἴδιο τὸν ἥλιο, ὅταν θὰ φανεῖ ὅλος,
πολὺ ὅμως γι' αὐτοὺς ποὺ κάθονται στὸ σκότος,
γιατὶ ἀξιώθηκαν νὰ δοῦν λίγη λάμψη.
Ἐγὼ ὡστόσο, ὁ ταλαίπωρος, προτιμῶ τὸ σκότος
καὶ φροντίζω γι' αὐτὸ καὶ πληθαίνω τὸ ζόφο
καὶ γίνεται πυκνότερος γιὰ τὴν ταπεινὴ ψυχή μου
κι ἀπ' αὐτὸν τρέφονται μέσα μου τὰ πάθη καὶ ζωντανεύουν
καὶ γίνονται δράκοντες κι ἑρπετὰ καὶ φίδια
καὶ ἀναστατώνουν πάντα τὴν ἰσορροπία τῆς ψυχῆς μου.
Πρῶτα μὲ δαγκάνει ἡ δόξα, ἡ κούφια καὶ μάταιη,
καὶ μπήγει τὰ δόντια της στὴν καρδιά μου
κι ὅταν μὲ διαλύσει καὶ μὲ σμπαραλιάσει ὁλότελα
ἔρχονται τ' ἄγρια σκυλιά, οἱ ἀγέλες τῶν θηρίων
καὶ ὅπως μὲ βρῆκαν καταγῆς μὲ κατασπάραξαν.
Ἡ ἀπόλαυση κι ὁ ἔπαινος τὸ μυαλὸ καὶ τὰ νεῦρα
μοῦ ξέσκισαν, τὸ σθένος καὶ τὴν προθυμία τῆς ψυχῆς.
Μοῦ ἀφαίρεσαν, ἀλίμονο, πῶς νὰ τὰ γράψω ὅλα;
Ἔριξαν ἐπάνω μου τὴν ἔπαρση καὶ ἀδιαφορία, τοὺς ληστές,
τὴν ἡδονὴ καὶ τὴν μέριμνα πῶς ν' ἀρέσω στοὺς ἀνθρώπους
ποὺ μὲ διαμέλισαν τραβώντας ἀπὸ τὴ μιὰ καὶ τὴν ἄλλη.
Ἡ μιὰ τὴ σωφροσύνη καὶ τὴ νηφαλιότητά μου
καὶ ἡ ἄλλη τὰ καλὰ ἔργα καὶ τὶς ἔνθεες πράξεις
προβάλλοντας γιὰ ἔπαινό τους μὲ παρουσίασαν νεκρό,
τὴν οἴηση τὸ παράδοξο πάθος καὶ θαυμαστὸ καὶ μέγα
ἄφησαν σ' ἐμένα τὸ βουτηγμένο στὴν ἀκαθαρσία.
Πές μου, πῶς δὲν εἶναι θαυμαστὸ κι ἄξιο γιὰ οἶκτο,
ποὺ τόσα πάθη ὁρμώντας ξαφνικὰ ἐπάνω μου

61. Ἠσ. 42,7.

*καὶ πάσης ἀρετῆς γυμνὸν καὶ νεκρὸν δείξαντά με
ἔλαθον πάλιν ἐμαυτὸν μηδὲν τῶν γενομένων
ἐπεγνωκώς, ἀλλ' οἴομαι μείζων πάντων ὑπάρχειν
καὶ ἀπαθὴς καὶ ἅγιος καὶ σοφὸς θεολόγος,
δικαίως καὶ τιμώμενος παρὰ πάντων ἀνθρώπων,
ἀλλὰ καὶ ἐπαινούμενος, ὡς ἄξιος ἐπαίνων
ἅπαντας προσκαλούμενος δοκῶ τιμὴν συνάγειν.
Συναγομένων γὰρ αὐτῶν ἐγὼ φυσῶμαι πλέον
καὶ συχνῶς περιβλέπομαι, μή πού τις ἀπελείφθη,
ὅστις οὐ παρεγένετο καὶ ἐθεάσατό με·
καὶ εἴ που εὑρεθείη τις παραβλεψάμενός με,
μνησικακῶ καὶ λοιδορῶ καὶ διασύρω τοῦτον,
ὅπως ἀκούσας καὶ αὐτὸς μὴ φέρων μου τοὺς ψόγους
ἔλθῃ, προσαγορεύσῃ με, φανῇ ὑπόσπονδός μου
καὶ ὡς κἀκεῖνος χρήζει μου τῆς εὐχῆς καὶ ἀγάπης,
καὶ λέγω πάντας τοὺς λοιπούς· ἔρχεται καὶ ὁ δεῖνα
καὶ τὰς εὐχὰς κομίζεται καὶ τοὺς λόγους ἀκούει
καὶ τὴν διδασκαλίαν μου –φεῦ μοι τῆς εὐηθείας!
Πῶς οὖν οὐ βλέπω γύμνωσιν τῆς ἀθλιότητός μου
καὶ τῶν πληγῶν αἰσθάνομαι καὶ λυποῦμαι καὶ κλαίω
καὶ ἴασιν ἐπιζητῶ ἀνακλιθεὶς ξενῶνι
καὶ ἰατροὺς παρακαλῶ δεικνὺς τοὺς μώλωπάς μου,
ἀπογυμνώσας τε αὐτοῖς καὶ τὰ κρυπτά μου πάθη,
ὡς ἂν ξηρία, ἔμπλαστρα καὶ καύστρας ἐπιθῶσι,
καὶ ὑπομείνων καρτερῶς διὰ τὴν ἴασίν μου,
ἀλλὰ καὶ μᾶλλον προστιθῶ τραύματα καθ' ἑκάστην;
Ἀλλ', ὦ Θεέ μου, οἴκτειρον ἐμὲ πεπλανημένον
καὶ φόβον σου ἐμφύτευσον ἐν τῇ ἐμῇ καρδίᾳ,
ἵνα τὸν κόσμον φύγοιμι κατὰ τὰς ἐντολάς σου
καὶ μῖσος ἔξω πρὸς αὐτὸν καὶ συσταλῶ ἐμφρόνως,
καὶ μὴ ἐάσῃς με, Χριστέ, μέσον τούτου πλανᾶσθαι,
ὅτι σὲ μόνον ἀγαπῶ μήπω σε ἀγαπήσας
καὶ σοῦ μόνου προσδοκῶ τὰς ἐντολὰς φυλάττειν,
ὅλως ὢν ἐν τοῖς πάθεσι, μηδὲ ἐπεγνωκώς σε.*

καὶ δείχνοντάς με γυμνὸ ἀπὸ κάθε ἀρετὴ καὶ νεκρὸ
μ' ἔκαναν νὰ ξεχαστῶ πάλι καὶ τίποτε ἀπὸ ὅσα ἔγιναν
νὰ μὴν καταλάβω, ἀλλὰ νομίζω πὼς εἶμαι ἀνώτερος
ἀπὸ ὅλους ἀπαθής, ἅγιος καὶ σοφὸς θεολόγος
καὶ δίκαια μὲ τιμοῦν ὅλοι οἱ ἄνθρωποι·
δέχομαι τοὺς ἐπαίνους, σὰ νὰ τοὺς ἀξίζω,
καὶ καλώντας κόσμο περιμένω νὰ μὲ τιμήσουν.
Κι ὅταν μὲ περικυκλώσουν φουσκώνω πιὸ πολὺ
κι ὅλο κοιτάζω γύρω, μήπως, λείπει κανένας
ποὺ δὲν ἦρθε νὰ μὲ δεῖ καὶ νὰ θαυμάσει.
Κι ἂν κάποιον ἀνακαλύψω ποὺ ἀδιαφόρησε
μνησικακῶ, τὸν βρίζω καὶ τὸν διασύρω,
γιὰ ν' ἀκούσει καὶ μὴ ὑποφέροντας τὶς κατηγορίες μου
νὰ ρθεῖ, νὰ μοῦ μιλήσει καὶ νὰ φανεῖ ὑποχείριός μου
κι ὅτι κι ἐκεῖνος χρειάζεται τὴν προσευχὴ καὶ τὴν ἀγάπη μου.
Καὶ τότε λέω σ' ὅλους τοὺς ἄλλους· ἔρχεται κι ὁ τάδε
καὶ παίρνει τὶς εὐχές μου κι ἀκούει τοὺς λόγους μου
καὶ τὴ διδασκαλία μου –βλακεία, ἀλί μου, πρώτη!
Πῶς δὲν βλέπω τὴ θλιβερὴ γύμνια μου, πῶς δὲ νιώθω
τὰ τραύματά μου, πῶς δὲ λυποῦμαι, πῶς δὲν κλαίω,
καὶ πεσμένος στὸν ξενώνα δὲν ἀποζητῶ τὴ θεραπεία μου;
Πῶς δὲν προσκαλῶ τοὺς γιατροὺς δείχνοντας τὰ χτυπήματα,
δείχνοντας γυμνὰ σ' αὐτοὺς καὶ τὰ κρυμμένα πάθη μου,
γιὰ νὰ βάλουν σ' αὐτὰ τὸ νυστέρι καὶ τὰ ἔμπλαστρα καὶ τὰ καυτήρια
καὶ νὰ τὰ ὑπομείνω καρτερικὰ γιὰ τὴ θεραπεία μου,
ἀλλὰ προσθέτω καθημερινὰ κι ἄλλα τραύματα;
'Αλλά, Θεέ μου, λυπήσου με ποὺ πλανήθηκα,
φύτεψε στὴν καρδιά μου τὸ φόβο σου,
γιὰ ν' ἀποφύγω τὸν κόσμο ὅπως διατάζεις
ν' ἀποχτήσω μίσος γι' αὐτὸν καὶ νὰ μαζευτῶ φρόνιμα,
νὰ μὴ μ' ἀφήσεις, Χριστέ, νὰ πλανιέμαι καταμεσίς του,
γιατὶ ἐσένα μόνο ἀγαπῶ κι ἂς μὴ σοῦ ἔδειξα ἀκόμα
τὴν ἀγάπη μου καὶ μόνο τὶς ἐντολές σου προσδοκῶ νὰ φυλάξω
κι ἂς εἶμαι ὅλος μέσα στὰ πάθη καὶ δὲ σ' ἔχω νιώσει.

Τίς γὰρ τῶν ἀγαπώντων σε χρήζει δόξης τοῦ κόσμου;
Ἢ τίς τῶν ἀγαπώντων σε πλέον τούτου ζητήσει
ἢ πάντας προσκαλέσασθαι ἢ τινας κολακεῦσαι,
ἢ πάντων φίλος ἔσεσθαι τῶν ἀνθρώπων σπουδάσει;
Ταῦτα οὐδεὶς ἐποίησε τῶν γνησίων σου δούλων,
καὶ διὰ τοῦτο θλίβομαι καὶ λυποῦμαι, Θεέ μου,
ὅτι ἐν τούτοις ἐμαυτὸν ὁρῶ δεδουλωμένον
καὶ πεισθῆναι οὐ δύναμαι, οὐδὲ ταπεινωθῆναι,
οὐδὲ ζητῆσαι βούλομαι τὴν σὴν καὶ μόνην δόξαν,
δι᾽ ἧς τὸ εἶναί με πιστὸν δείκνυται καὶ σὸν δοῦλον,
καὶ δι᾽ ἧς πάντων δύναμαι ὑψηλότερος εἶναι
ἐν εὐτελείᾳ μάλιστα καὶ πτωχείᾳ καὶ πόνοις,
οὐ μόνον δυνατῶν ἀνδρῶν, ἀλλὰ καὶ βασιλέων.
Κάμφθητι οὖν πρὸς ἔλεον τῆς ταπεινῆς ψυχῆς μου,
Θεέ, ὁ πάντων ποιητής, ὁ τὸ εὖ εἶναι δούς μοι,
καὶ δός μοι γνῶσιν ἀληθῆ, ἵνα τῶν ἀγαθῶν σου
τῶν αἰωνίων συνετῶς ἀνθέξωμαι καὶ μόνων!
Καὶ τὴν σὴν δόξαν ἐκ ψυχῆς φιλήσω καὶ ζητήσω,
τῆς ἀνθρωπίνης μηδαμῶς, τῆς γεώδους φροντίζων,
ὡς ἂν σοι ἑνωθήσομαι νῦν τε καὶ μετὰ πότμον
καί σοι ἀξιωθήσομαι, Χριστέ, συμβασιλεῦσαι,
τῷ δι᾽ ἐμὲ τὸν ἄτιμον ὑπομεμενηκότι
θάνατον καὶ πληρώσαντι πᾶσαν οἰκονομίαν·
καὶ τότε πάντων ἔσομαι βροτῶν ἐνδοξότερος.
Ἀμήν, γένοιτο, Κύριε, νῦν καὶ εἰς τοὺς αἰῶνας!

---

141. Β'. Τιμ. 2,12.

Γιατὶ ποιός σὲ κατάλαβε καὶ τοῦ λείπει ἡ δόξα τοῦ κόσμου;
Ἢ ποιός σὲ ἀγαπᾶ καὶ θὰ ζητήσει πιὸ πολὺ ἀπὸ αὐτὸ
ἢ θὰ προσκαλέσει ὅλους ἢ θὰ κολακεύει μερικοὺς
ἢ θὰ φροντίσει νὰ γίνει φίλος ὅλων τῶν ἀνθρώπων.
Παρόμοια δὲν ἔπραξε κανένας γνήσιος δοῦλος σου
καὶ γι' αὐτὸ θλίβομαι καὶ λυποῦμαι, Θεέ μου,
γιατὶ βλέπω τὸν ἑαυτό μου δοῦλο σ' αὐτὰ τὰ πάθη,
μὰ δὲν μπορῶ νὰ τὸ παραδεχτῶ οὔτε καὶ νὰ ταπεινωθῶ
οὔτε θέλω νὰ ζητήσω τὴ μόνη δόξα τὴ δική σου,
ποὺ μ' αὐτὴ φαίνεται ὅτι εἶμαι πιστός σου δοῦλος
καὶ μ' αὐτὴ μπορῶ νὰ φανῶ ψηλότερος ἀπὸ ὅλους,
–μὲ τὴ μηδαμινότητα κυρίως, τὴν πτωχεία καὶ τοὺς κόπους–,
ὄχι μόνο ἀπὸ τοὺς δυνατοὺς ἄντρες ἀλλὰ καὶ τοὺς βασιλιάδες.
Λύγισε καὶ σπλαχνίσου τὴν ταπεινὴ ψυχή μου, [ζωή,
Θεέ μου, ἐσὺ ὁ ποιητὴς τῶν ὅλων, ποὺ μοῦ ἔδωσες τὴν ὀρθὴ
δός μου καὶ τὴν ἀληθινὴ γνώση, γιὰ νὰ σηκώσω μὲ σύνεση
τὰ αἰώνια καὶ μόνα ἀγαθά σου δῶρα. Τὴ δόξα σου
ν' ἀγαπήσω καὶ νὰ ἀναζητήσω μὲ τὴν ψυχή μου,
χωρὶς νὰ μὲ νοιάζει καθόλου γιὰ τὴν ἀνθρώπινη καὶ γήινη,
γιὰ νὰ ἑνωθῶ μαζί σου τώρα καὶ μετὰ τὸ θάνατο
καὶ ν' ἀξιωθῶ, Χριστέ μου, νὰ βασιλέψω μαζί σου,
ποὺ γιὰ χάρη μου, ἐμένα τοῦ ἄτιμου ἔχεις ὑπομείνει
θάνατο καὶ ὁλοκλήρωσες ὅλη τὴν οἰκονομία·
τότε θὰ εἶμαι πιὸ ἔνδοξος ἀπὸ ὅλους τοὺς θνητούς.
Ἔτσι νὰ γίνει, Κύριε, ἀμήν, τώρα καὶ στοὺς αἰῶνες.

---

128. Ὁ Συμεὼν δηλώνει μιὰ φύση σκληρή, ποὺ ἀντιστέκεται στὴ χάρη· γι' αὐτὴν ὅμως τὴν ἀντίστασή του, ποὺ ἀναγνωρίζει, ζητεῖ τὸ θεῖο ἔλεος μὲ τὸ 'συγκινητικὸ' 'κάμφθητι' τοῦ στίχου 134.

ΙΓ

Προτροπὴ εἰς μετάνοιαν, καὶ πῶς τὸ θέλημα τῆς τῷ θελήματι τοῦ πνεύματος ἑνωθὲν θεοειδῆ τὸν ἄνθρωπον ἀπεργάζεται.

Κλαίω καὶ κατανύσσομαι, ὅταν τὸ φῶς μοι λάμψῃ
καὶ ἴδω τὴν πτωχείαν μου καὶ γνῶ, τὸ ποῦ ὑπάρχω
καὶ ποῖον κόσμον κατοικῶ θνητόν, θνητὸς ὑπάρχων·
καὶ τέρπομαι καὶ χαίρομαι, ὅταν κατανοήσω
τὴν ἐκ Θεοῦ δοθεῖσάν μοι κατάστασιν καὶ δόξαν,
καὶ ἐμαυτὸν ὡς ἄγγελον στοχάζομαι Κυρίου,
ἀΰλῳ τῷ ἐνδύματι ὅλον κεκοσμημένον.
Ἡ οὖν χαρὰ τὸν πόθον μοι ἀνάπτει τοῦ διδόντος
καὶ ἀλλοιοῦντός με Θεοῦ, ὁ πόθος δὲ δακρύων
ἀναβλυστάνει ποταμοὺς καὶ λαμπρύνει με πλέον.
Ἀκούσατε, οἱ εἰς Θεὸν ὡς ἐγὼ ἁμαρτόντες,
σπουδάσατε καὶ δράμετε ἐν τοῖς ἔργοις εὐτόνως
καταλαβεῖν καὶ δράξασθαι πυρὸς ἀΰλου ὕλην
–ὕλην δ' εἰπὼν τὴν θείαν σοι ἐδήλωσα οὐσίαν–,
καὶ ἐξανάψαι τῆς ψυχῆς τὴν νοερὰν λαμπάδα,
ἵνα γένησθε ἥλιοι λάμποντες ἐν τῷ κόσμῳ
καὶ μηδαμῶς ὁρώμενοι παρὰ τῶν ἐν τῷ κόσμῳ,
ἵνα γένησθε ὡς θεοὶ Θεοῦ ὅλην τὴν δόξαν
ἔνδον ὑμῶν κατέχοντες ἐν δύο ταῖς οὐσίαις,
διπλαῖς πάντως ταῖς φύσεσι, διπλαῖς ταῖς ἐνεργείαις,
διπλοῖς καὶ τοῖς θελήμασι, καθὼς βοᾷ ὁ Παῦλος.

---

16. Ματθ. 14,43 καὶ Φιλ. 2,15.
21. Ἐφ. 2,3 καὶ Ρωμ. 7 καὶ 8.

13

Προτροπὴ σὲ μετάνοια καὶ πῶς ἑνωμένο τὸ θέλημα τῆς σάρκας μὲ τὸ θέλημα τοῦ Πνεύματος κάνει τὸν ἄνθρωπο θεόμορφο.

Κλαίω μὲ συντριβὴ ὅταν φωτίσει τὸ φῶς
καὶ καταλάβω τὴ φτώχεια μου καὶ δῶ ποῦ ὑπάρχω
καὶ σὲ ποιό θνητὸ κόσμο σὰν θνητὸς κατοικῶ.
Κι εὐφραίνομαι καὶ χαίρομαι, ὅταν σκεφτῶ
τὴν κατάστασή μου αὐτὴ καὶ τὴ δόξα ποὺ μοῦ ἔδωσε ὁ Θεὸς
καὶ φαντάζομαι τὸν ἑαυτό μου ὡς ἄγγελο Κυρίου
ἀπὸ πάνω ὣς κάτω στολισμένο μὲ ἄυλο φόρεμα.
Ἀνάβει ἡ χαρὰ τὸν πόθο μου γιὰ τὸ Θεὸ
ποὺ μοῦ δίνει δωρεὲς καὶ μὲ ἀλλοιώνει καὶ ποτάμια δάκρυα
κάνει ν' ἀναβλύσουν ὁ πόθος μου καὶ νὰ γίνω λαμπρότερος.
Ἀκοῦστε, ὅσοι ἁμαρτάνετε ὅπως ἐγὼ στὸ Θεό.
Ἐνδιαφερθεῖτε καὶ τρέξετε στὰ ἔργα μὲ θέληση
νὰ βρεῖτε καὶ νὰ μαζέψετε τὴν ὕλη τῆς ἄυλης φωτιᾶς
–κι ὅταν λέω ὕλη φανέρωσα τὴ θεία οὐσία–
καὶ ν' ἀνάψετε τὴ νοερὴ λαμπάδα τῆς ψυχῆς,
γιὰ νὰ γίνετε ἥλιοι λάμποντας μέσα στὸν κόσμο
χωρὶς καθόλου νὰ σᾶς βλέπουν ὅσοι στὸν κόσμο ζοῦν.
Γιὰ νὰ γίνετε ὅμοιοι μὲ τὸ Θεό, ὅλη τὴ δόξα
κατασφαλίζοντας μέσα σας στὶς δυὸ οὐσίες,
διπλὲς ὁπωσδήποτε φύσεις, διπλὲς ἐνέργειες
καὶ διπλὰ θελήματα, ὅπως φωνάζει ὁ Παῦλος.

1–4. Ἡ λύπη καὶ ἡ χαρὰ διεκδικοῦν τὴν ψυχὴ τοῦ Συμεὼν καὶ γενικὰ κάθε μυστικοῦ, κι ἐδῶ ἔχομε μιὰ περίπτωση τῆς ἀμφιθυμίας αὐτῆς, αὐτοῦ τοῦ ἀφμίσημου συναισθήματος ἀπὸ χαρὰ καὶ λύπη, τῆς χαρμολύπης.

Ἄλλο καὶ γὰρ τὸ θέλημα σαρκὸς ρευστῆς ὑπάρχει,
ἕτερον δὲ τοῦ Πνεύματος, καὶ ἄλλο τῆς ψυχῆς μου.
Πλὴν οὐ τριπλοῦς, ἀλλὰ διπλοῦς, ὡς ἄνθρωπος, ὑπάρχω·
ἡ ψυχή μου συνδέεται ἀρρήτως τῇ σαρκί μου,
πλὴν οὐ ζητεῖ τὰ ἑαυτοῦ ἕκαστον καταλλήλως,
οἷον φαγεῖν τε καὶ πιεῖν, οἷον τὸ καθευδῆσαι,
ἃ καὶ σαρκὸς θέλημα χοϊκὸν εἶναι λέγω.
Ἐπεὶ δὲ πάλιν χωρισθὲν ψυχῆς οὐδὲν τοιοῦτον ζητεῖ,
ἀλλὰ νεκρόν, ἀναίσθητον, ὥσπερ πηλὸς τυγχάνει,
τὸ πᾶν ψυχῆς εἶναι δοκῶ, ἓν θέλημα ἀνθρώπου.
Ὁ οὖν τῷ θείῳ Πνεύματι τὸ ἴδιον ἑνώσας
θεοειδὴς ἐγένετο Χριστὸν λαβὼν ἐν στέρνοις,
Χριστιανὸς ἀπὸ Χριστοῦ, Χριστὸν μεμορφωμένον
ἔχων ἐν ἑαυτῷ πάντας, τὸν ἄληπτον καὶ μόνον,
τὸν ἀληθῶς ἀπρόσιτον τοῖς ποιήμασι πᾶσιν.
Ἀλλ', ὦ φύσις ἀμόλυντε, οὐσία κεκρυμμένη,
φιλανθρωπία ἄγνωστε τοῖς πλείοσιν ἀνθρώποις,
ἔλεος οὐχ ὁρώμενον τοῖς ἀφρόνως βιοῦσιν,
οὐσία ἀναλλοίωτε, ἄτμητε, τρισαγία,
φῶς ἁπλοῦν καὶ ἀνείδεον, ἀσύνθετον εἰς ἅπαν,
ἀσώματον, ἀχώριστον, ἄληπτον πάσῃ φύσει,
πῶς καθωράθης ὡς ἐγώ, ἐγνώσθης τοῖς ἐν σκότει
καὶ ἐκρατήθης ἐν χερσὶ μητρός σου τῆς ἁγίας,
καὶ ἐδεσμεύθης ὡς φονεύς, ἔπαθες ὡς κακοῦργος
σωματικῶς, ὦ βασιλεῦ, θέλων πάντως με σῶσαι
καὶ πάλιν ἐπαναγαγεῖν εἰς παράδεισον δόξης;
Τοῦτο οἰκονομία σου, τοῦτο ἡ παρουσία,
τοῦτο ἡ εὐσπλαχνία σου καὶ ἡ φιλανθρωπία,
ἡ γενομένη δι' ἡμᾶς, πάντας ἀνθρώπους, Λόγε,
πιστούς, ἀπίστους, ἐθνικούς, ἁμαρτωλούς, ἁγίους·

---

22. Ἰω. 1,13.
34. Γαλ. 4,19.

34–42. Ὁ Θεὸς νοεῖται ὡς κάτι ἀντίθετο μὲ τὸν κόσμο καὶ ὅσα ἰσχύουν στὸν κόσμο. Στὸν κόσμο ὑπάρχει ἡ μόλυνση, ἡ ἀλλοίωση, ἡ διαίρεση, ἡ συνθε-

Γιατὶ εἶναι ἄλλο τὸ θέλημα τῆς σάρκας ποὺ φθείρεται
κι ἄλλο τοῦ Πνεύματος καὶ ἄλλο τῆς ψυχῆς μου.
Δὲν εἶμαι ὅμως τριπλὸς ἀλλὰ εἶμαι, σὰν ἄνθρωπος, διπλός·
Ἄγνωστο πὼς δένεται ἡ ψυχή μου μὲ τὴ σάρκα μου,
ἀλλὰ καθένα ἀπὸ αὐτὰ ζητᾶ ὅσα τοῦ ἁρμόζουν,
τὸ φαγητό, τὸ πιοτὸ κι ὁ ὕπνος γιὰ παράδειγμα,
αὐτὰ λέω ἀντιστοιχοῦν στὸ χοϊκὸ θέλημα τῆς σάρκας.
Κι ἐπειδὴ αὐτὸ ὅταν χωριστεῖ ἀπ' τὴν ψυχὴ δὲν ζητεῖ
τίποτα τέτοιο, ἀλλὰ εἶναι σὰν πηλὸς νεκρὸ κι ἀναίσθητο,
νομίζω ὅτι ὅλο τὸ θέλημα τῶν ἀνθρώπων εἶναι τῆς ψυχῆς·
Ὅποιος λοιπὸν ἕνωσε τὸ πνεῦμα του μὲ τὸ θεῖο Πνεῦμα
ἔγινε θεόμορφος παίρνοντας τὸ Χριστὸ στὰ στέρνα του,
Χριστιανὸς ὀνομασμένος ἀπὸ τὸ Χριστὸ κι ἔχοντας τὴ μορφὴ
μέσα του ὁπωσδήποτε τοῦ Χριστοῦ σχηματισμένη,
τὸ Χριστὸ τὸ μόνο ἀσύλληπτο, τὸν ἀληθινὰ ἀπρόσιτο γιὰ ὅλα.
Ἀλλά, ὢ φύση ἀμόλυντη, ὢ οὐσία κρυμμένη,
φιλανθρωπία ἄγνωστη στοὺς πιὸ πολλοὺς ἀνθρώπους,
εὐσπλαχνία ποὺ δὲν τὴ βλέπουν ὅσοι ἀνόητα ζοῦν,
οὐσία ἀναλλοίωτη, ἀδιαίρετη, τρισάγια,
φῶς ἁπλὸ κι ἄμορφο, ὁλότελα ἀσύνθετο,
ἀσώματο, ἀκομμάτιαστο, ἀσύλληπτο ἀπὸ ὅλη τὴ φύση, πῶς
σὲ εἴδαμε μὲ τὴ δική μου μορφὴ καὶ σὲ γνωρίσαμε στὸ σκότος
πῶς σὲ κράτησε στὰ χέρια της ἡ ἁγία μητέρα σου;
σ' ἔδεσαν σὰν τὸ φονιά, ἔπαθες σὰν κακοῦργος
σωματικά, ὢ βασιλέα, θέλοντας ὁπωσδήποτε νὰ μὲ σώσεις
καὶ στὸν παράδεισο τῆς δόξας νὰ μὲ ξαναφέρεις.
Αὐτὴ εἶναι ἡ οἰκονομία σου, αὐτὴ εἶναι ἡ παρουσία σου
αὐτὴ εἶναι ἡ εὐσπλαχνία καὶ ἡ φιλανθρωπία σου
ποὺ ἔκανες, Λόγε, γιὰ ὅλους ἐμᾶς τοὺς ἀνθρώπους
πιστοὺς κι ἄπιστους, ἐθνικούς, ἁμαρτωλοὺς καὶ ἁγίους,

τότητα κλπ. Ἡ θεία φύση εἶναι ἡ ἀμόλυντη, ἡ ἀόρατη, ἡ ἀναλλοίωτη, ἡ ἀδιαίρετη κλπ. Στὸ σημεῖο αὐτὸ ἀπηχεῖται ἡ ἀποφατικὴ θεολογία τοῦ Διονύσιου τοῦ Ἀρεοπαγίτη, μὲ τὴν ὁποία ἐπιδιώκεται ἡ σύλληψη τοῦ θείου –πῶς ἀλλιῶς;– κατ' ἀντίθεση πρὸς τὸν κόσμο.

κοινὴ γὰρ πάντων γέγονεν ἡ ἐπιφάνειά σου,
σωτηρία καὶ λύτρωσις ζώντων καὶ τῶν θανόντων.
Τὸ δὲ κρυπτῶς γινόμενον ἐν ἐμοὶ τῷ ἀσώτῳ
καὶ μερικῶς τελούμενον ἐν γνωστῇ ἀγνωσίᾳ
–γνωστῇ μὲν πάντως παρ' ἐμοί, ἀγνώστῳ δὲ τοῖς ἄλλοις–,
ποία γλῶσσα λαλήσει, ποῖος νοῦς ἑρμηνεύσῃ,
ποῖος λόγος ἐκφράσειεν, ἵνα καὶ χείρ μου γράψῃ;
Φρικτὸν γὰρ ὄντως, Δέσποτα, φρικτὸν καὶ ὑπὲρ λόγον,
ὅτι ὁρᾶταί μοι τὸ φῶς, ὃ ὁ κόσμος οὐκ ἔχει,
καὶ ἀγαπᾷ με ὁ μὴ ὢν ἔνδον τούτου τοῦ κόσμου
καὶ ἀγαπῶ τὸν μηδαμοῦ ὄντα ἐν ὁρωμένοις.
Ἐπὶ τῆς κλίνης κάθημαι ἔξωθεν ὢν τοῦ κόσμου
καὶ μέσον ὢν τῆς κέλλης μου τὸν ἔξωθεν τοῦ κόσμου
ὄντα με καὶ γενόμενον βλέπω, ᾧ καὶ ὁμιλῶ
–εἰπεῖν δὲ τόλμα– καὶ φιλῶ, φιλεῖ με καὶ ἐκεῖνος,
ἐσθίω, τρέφομαι καλῶς μόνῃ τῇ θεωρίᾳ
καὶ συνενούμενος αὐτῷ οὐρανοὺς ὑπερβαίνω
καὶ τοῦτο οἶδα ἀληθὲς καὶ βέβαιον ὑπάρχειν,
τὸ ποῦ τὸ σῶμα τότε δὲ ὑπάρχει, οὐ γινώσκω.
Οἶδα, ὅτι κατέρχεται ὁ ὑπάρχων ἀκίνητος·
οἶδα, ὅτι ὁρᾶταί μου ὁ τυγχάνων ἀόρατος·
οἶδα, ὁ πάσης κτίσεως ἀποκεχωρισμένος
ἔνδον αὐτοῦ λαμβάνει με καὶ ἐν ἀγκάλαις κρύπτει,
καὶ ἐκ παντὸς εὑρίσκομαι ἔξω τότε τοῦ κόσμου.
Ἐγὼ δὲ πάλιν, ὁ βροτὸς καὶ μικρὸς ἐν τῷ κόσμῳ,
ἐντός μου ὅλον καθορῶ τὸν ποιητὴν τοῦ κόσμου,
καὶ οἶδα, ὡς οὐ θνήξομαι ἔνδον ζωῆς τυγχάνων,
καὶ ὅλην ἔχων τὴν ζωὴν βλυστάνουσαν ἐντός μου·
ἐν τῇ καρδίᾳ μού ἐστιν, ἐν οὐρανῷ δ' ὑπάρχει,
ὧδε κἀκεῖ ὁρᾶταί μοι ἐπίσης ἀπαστράπτων.
Ὅπως δὲ ταῦτα γίνονται, πῶς ἂν καλῶς νοήσω,
πῶς δ' ἐξειπεῖν σοι δυνηθῶ, ὅσα νοῶ καὶ βλέπω;

63–88. Στοὺς στίχους αὐτοὺς βρίσκονται σὲ ἁρμονία ἡ θεωρία (τὸ δραμα)

γιατὶ ἡ ἐπιφάνειά σου ἔγινε κοινὴ γιὰ ὅλους
σωτηρία καὶ λύτρωση ζωντανῶν καὶ νεκρῶν.
Κι αὐτὸ ποὺ γίνεται κρυφὰ στὴν ψυχή, ἐμένα τοῦ ἄσωτου
καὶ ποὺ τελεῖται μ' ἕνα εἶδος γνωστῆς ἀγνωσίας
–σ' ἐμένα γνωστὴ καλά, μ' ἄγνωστη στοὺς ἄλλους–
ποιά γλώσσα θὰ τὸ πεῖ, ποιός νοῦς θὰ τὸ ξεδιαλύνει,
ποιός λόγος θὰ τὸ ἐκφράσει, γιὰ νὰ τὸ γράψει καὶ τὸ χέρι μου;
Εἶναι φριχτὸ στ' ἀλήθεια, Κύριε, φριχτὸ καὶ πάνω ἀπὸ λόγο
ποὺ βλέπω τὸ φῶς ποὺ δὲν ἔχει ὁ κόσμος,
καὶ ποὺ μὲ ἀγαπᾶ αὐτὸς ποὺ δὲν εἶναι μέσα στὸν κόσμο αὐτὸν
καὶ ἀγαπῶ αὐτὸν ποὺ δὲν εἶναι μέσα σὲ ὅσα βλέπομε.
Μακριὰ ἀπὸ τὸν κόσμο κάθομαι στὸ κρεβάτι μου [σμο
κι ἐνῶ βρίσκομαι μέσα στὸ κελλί μου, αὐτὸν ποὺ ἔξω ἀπ' τὸν κό-
εἶναι κι ἔχει ἀπαλλαγεῖ ἀπὸ αὐτόν, βλέπω καὶ μαζί του μιλῶ
καὶ τολμῶ νὰ πῶ, τὸν ἀγαπῶ καὶ μ' ἀγαπᾶ κι ἐκεῖνος.
Φαγητὸ καὶ τροφή μου ἀρκετὴ εἶναι μόνο ἡ θεωρία
κι ἑνωμένος μαζί του ξεπερνῶ τοὺς οὐρανοὺς
αὐτὸ γνωρίζω καλὰ πὼς εἶναι ἀληθινὸ καὶ ἀβέβαιο,
ποῦ ὅμως εἶναι τότε τὸ σῶμα μου δὲ γνωρίζω.
Γνωρίζω ὅτι κατεβαίνει σ' ἐμένα ὁ ἀκίνητος·
ξέρω ὅτι βλέπω αὐτὸν ποὺ εἶναι ἀόρατος·
ξέρω, ὅτι αὐτὸς ποὺ εἶναι χώρια ἀπὸ ὅλη τὴν πλάση
μὲ παίρνει μέσα του καὶ μὲ κρύβει στὴν ἀγκαλιά του
καὶ τότε βρίσκομαι ἔξω ἀπὸ ὅλο τὸν κόσμο.
Κι ἐγὼ πάλι ὁ θνητὸς καὶ μικρὸς μέσα στὸν κόσμο
μπορῶ καὶ κοιτάζω μέσα μου ὅλο τὸν πλάστη τοῦ κόσμου
καὶ ξέρω ὅτι δὲ θὰ πεθάνω ἀφοῦ εἶμαι μέσα στὴ ζωὴ
κι ἔχω μέσα μου ὅλη τὴ ζωὴ ποὺ ἀναβλύζει.
Εἶναι μέσα στὴν καρδιά μου, ἐνῶ βρίσκεται στὸν οὐρανό·
τὸν βλέπω ἐδῶ κι ἐκεῖ ν' ἀστράφτει ἐξίσου.
Πῶς ὅμως γίνονται αὐτά, πῶς νὰ τὰ ἐννοήσω καλά,
πῶς νὰ μπορέσω νὰ σοῦ διηγηθῶ, ὅσα ἐννοῶ καὶ βλέπω;

καὶ ἡ ἔκφρασή του· ἔχει καταλαγιάσει κάπως ἡ ἀγωνία ποὺ εἴχαμε διαπιστώσει πιὸ πρίν.

Εἰσὶ γὰρ ὄντως ἄφθεγκτα καὶ ἄρρητα εἰς ἅπαν,
ἃ ὀφθαλμὸς οὐχ ἑώρακεν, οὐκ ἀκήκοεν οὖς δέ,
ἐπὶ καρδίαν δὲ ποτὲ οὐκ ἀνέβη σαρκίνην.
Εὐχαριστῶ σοι, Δέσποτα, ὅτι ἠλέησάς με
καὶ δέδωκας ἰδέσθαι με ταῦτα καὶ οὕτω γράψαι,
τοῖς μετ' ἐμοῦ κηρῦξαί τε τὴν σὴν φιλανθρωπίαν,
ἵνα καὶ νῦν μυηθῶσι λαοί, φυλαὶ καὶ γλῶσσαι,
ὅτι τοὺς πάντας ἐλεεῖς θερμῶς μετανοοῦντας
ἴσον τοῖς ἀποστόλοις σου καὶ πᾶσι τοῖς ἁγίοις,
εὐεργετεῖς τε καὶ τιμᾷς καὶ δοξάζεις, Θεέ μου,
ὡς μετὰ πόθου σὲ πολλοῦ ἐκζητοῦντας καὶ φόβου,
καὶ πρὸς σὲ μόνον βλέποντας, τὸν ποιητὴν τοῦ κόσμ
ᾧ πρέπει δόξα καὶ τιμή, κράτος, μεγαλωσύνη
ὡς βασιλεῖ τε καὶ Θεῷ τοῦ παντὸς καὶ Δεσπότῃ
νῦν καὶ ἀεὶ διὰ παντὸς εἰς αἰῶνας αἰώνων.
Ἀμήν.

85. Α' Κορ. 2,9.
90. Ἀποκ. 14,6.

Εἶναι στ' ἀλήθεια ὁλότελα ἀνέκφραστα κι ἀνείπωτα
ὅσα μάτια δὲν εἶδαν κι αὐτιὰ δὲν ἄκουσαν
καὶ καρδιὰ ἀνθρώπου δὲν ἔνιωσε ποτέ.
Σ' εὐχαριστῶ, Κύριε, ποὺ μοῦ ἔδειξες ἔλεος
ποὺ ἔδωσες νὰ δῶ αὐτὰ τὰ θεάματα καὶ νὰ τὰ γράψω
καὶ νὰ κηρύξω τὴ φιλανθρωπία σου σ' ὅσους εἶναι μαζί μου,
ὥστε καὶ τώρα ἀκόμα νὰ διδαχτοῦν λαοί, φυλὲς καὶ γλῶσσες
ὅτι σπλαχνίζεσαι ὅλους ὅσοι δείχνουν μετάνοια θερμὴ
ὅσο ἐλέησες τοὺς ἀποστόλους σου καὶ ὅλους τοὺς ἁγίους·
τοὺς εὐεργετεῖς, Θεέ μου, τοὺς τιμᾶς καὶ τοὺς δοξάζεις,
γιατὶ μὲ πόθο ἄμετρο καὶ φόβο σ' ἀναζητοῦν
καὶ σὲ σένα μόνο, τὸν πλάστη τοῦ κόσμου, στρέφουν τὸ βλέμμα.
Σ' ἐσένα πρέπει ἡ δόξα ἡ τιμὴ καὶ τὸ κράτος, ἡ μεγαλοσύνη
ὡς βασιλιὰς ποὺ εἶσαι καὶ Θεὸς τοῦ σύμπαντος καὶ κυρίαρχος
τώρα κι αἰώνια, γιὰ πάντα, στοὺς αἰῶνες τῶν αἰώνων.
Ἀμήν.

---

96. Γιὰ νὰ βρεῖ κανένας τὴ ζωή, τὸ Θεό, ἐνῶ ζεῖ ὡς νεκρός, πρέπει νὰ ποθήσει πολὺ τὸ Θεὸ μὲ πολλὰ δάκρυα μετάνοιας.

ΙΔ

Εὐχαριστία πρὸς Θεὸν τῶν δωρεῶν ἕνεκα, ὧν παρ' αὐτοῦ ἠξιώθη, καὶ ὅτι φρικτὸν καὶ ἀγγέλοις τὸ τῆς ἱερωσύνης καὶ ἡγουμενείας ἀξίωμα.

Ἐγώ, κἂν θέλω, Δέσποτα, λαλῆσαι οὐκ ἰσχύω.
Τί γὰρ ὅλως καὶ φθέγξομαι ἀκάθαρτος ὑπάρχων
καὶ λογισμοῖς καὶ πράξεσι καὶ ἐννοίαις ἁπάσαις;
Πλὴν τὴν ψυχὴν τιτρώσκομαι, φλέγομαι τὰ ἐντός μου
ἐπιθυμῶν λαλῆσαί σοι, κἂν ποσῶς, ὁ Θεός μου.
Βλέπω, καὶ γὰρ ἐπίστασαι τὰ ἐμά, ὦ Θεέ μου,
ὅτι τὰ μέλη ἅπαντα σώματος καὶ ψυχῆς μου
ἐμίανα ἐκ γενετῆς, ὅλος ὢν ἁμαρτία.
Τεκμαίρομαι τὸ ἔλεος καὶ τὴν φιλανθρωπίαν
καὶ τὰ καλά σου τὰ πολλά, ἃ εἰς ἐμὲ εἰργάσω,
καὶ ἄφωνος καθίσταμαι μικροῦ ἀπογινώσκων
καὶ θλίβομαι διηνεκῶς λυπούμενος, ὁ τάλας,
ὅτι ἀνάξιός εἰμι τῶν ἀγαθῶν σου πάντων.
Ὁπόταν ἔλθω εἰς ἐμαυτὸν καὶ κατὰ νοῦν θελήσω
ἀναλογίσασθαι, Χριστέ, τὰ πλήθη τῶν κακῶν μου,
καὶ ὅτι ἓν ἀγαθὸν οὐκ ἔπραξα ἐν βίῳ
–ἀντὶ δὲ τῶν κολάσεων, ὀργῆς σου τῆς δικαίας,
ὧν ὑπομεῖναι ἔμελλον ὡς πολλά σε λυπήσας,
τοσούτων μᾶλλον ἀγαθῶν νῦν κατηξίωσάς με–,
ἔρχομαι εἰς ἀπόγνωσιν, φοβοῦμαί σου τὸ κρίμα,
ὅτι καὶ μᾶλλον προστιθῶ πταίσματα καθ' ἑκάστην,
καὶ τὸ πολύ σου ἔλεος καὶ τὴν φιλανθρωπίαν

14

Εὐχαριστία στὸ Θεὸ γιὰ τὶς δωρεὲς ποὺ ἀξιώθηκε νὰ λάβει ἀπὸ αὐτόν, καὶ ὅτι τὸ ἀξίωμα τῆς ἱερωσύνης καὶ τῆς ἡγουμενείας εἶναι φρικτὸ καὶ γιὰ τοὺς ἀγγέλους.

Ἐγώ, κι ἂς τὸ θέλω πολύ, Κύριε, δὲν ἔχω δύναμη νὰ μιλήσω.
Τί ἐξάλλου νὰ ἀρθρώσω ἀφοῦ εἶμαι ὅλος στὴν ἀκαθαρσία
τῶν λογισμῶν, τῶν ἔργων μου καὶ κάθε σκέψης;
Ἀλλὰ χτυπιέται λαβωμένη ἡ ψυχὴ κι ἀνάβει μέσα μου·
ἐπιθυμῶ νὰ σοῦ μιλήσω ἔστω καὶ λίγο ἐσὺ ὁ Θεός μου.
Τὸ βλέπω, γιατὶ γνωρίζω καλὰ τὴν κατάστασή μου, Θεέ μου,
ὅτι ὅλα τὰ μέλη τοῦ σώματος καὶ τῆς ψυχῆς μου
τὰ ἔχω μιάνει ἐκ γενετῆς κι εἶμαι ὅλος ἁμαρτία.
Ἔχω μπροστά μου τὸ ἔλεος καὶ τὴ φιλανθρωπία σου,
τὶς πολλὲς εὐεργεσίες ποὺ ἔκανες σ' ἐμένα·
γίνομαι ἄφωνος καὶ μὲ πιάνει σχεδὸν ἀπελπισία
καὶ θλίβομαι μὲ θλίψη ὁ δυστυχὴς ποὺ δὲν τελειώνει,
γιατὶ εἶμαι ἀνάξιος γιὰ ὅλα τ' ἀγαθά σου.
Ὅταν ἔρθω στὸν ἑαυτό μου καὶ θελήσω μὲ τὸ νοῦ μου
ν' ἀναλογιστῶ, Χριστέ, τὰ πλήθη τῶν κακῶν μου
κι ὅτι οὔτε ἕνα καλὸ δὲν ἔπραξα στὴ ζωή μου
–κι ἐσὺ ἀντὶ τιμωρία καὶ τὴ δίκαιη ὀργή σου
ποὺ ἔπρεπε νὰ ὑποστῶ, ἀφοῦ πολὺ σὲ λύπησα
μὲ ἀξίωσες τόσα πολλὰ ἀγαθὰ ἐπιπλέον–,
πέφτω σὲ ἀπόγνωση καὶ φοβοῦμαι τὴν κρίση σου,
ἐπειδὴ προσθέτω καθημερινὰ κι ἄλλα λάθη
καὶ τρέμω μήπως τὸ πολὺ ἔλεος καὶ τὴ φιλανθρωπία σου

---

8. Ἰω. 9,1-34.

τρέμω μὴ τρέψῃς εἰς θυμὸν μείζονος τιμωρίας,
ὅτι εὐεργετούμενος ἀχαριστῶ σοι πλέον,
δοῦλος ὑπάρχων πονηρὸς σοῦ, τοῦ καλοῦ Δεσπότου.
Πάντα οὖν τἆλλα, Κύριε, ὑπομονὴν παρεῖχον,
ἐλπίδα προξενοῦντά μοι ζωῆς τῆς αἰωνίου·
οὗ ἕνεκεν καὶ ἔχαιρον πολλά, ὡς οἶδας μόνος,
θαρρῶν εἰς τὴν χρηστότητα καὶ εἰς τὸ ἔλεός σου.
Διὰ γὰρ τοῦτο ἐκ παντὸς ἦρές με, ἐκ τοῦ κόσμου
καὶ πάντων ἀπεχώρισας συγγενῶν τε καὶ φίλων,
ὅπως καὶ ἐλεήσῃς με καὶ σώσῃς με, Χριστέ μου·
τοῦτο πληροφορούμενος παρὰ τῆς χάριτός σου
εἶχον χαρὰ ἀπλήρωτον καὶ βεβαίαν ἐλπίδα.
Τὰ δύο δὲ τὰ ἔσχατα ὅπως εἴπω, οὐκ οἶδα,
ἃ εἰς ἐμὲ εὐδόκησας γενέσθαι, βασιλεῦ μου,
καὶ τὴν ψυχήν μου καὶ τὸν νοῦν λόγου ἀποστεροῦσι
καὶ ἐνεργείας παύουσι καὶ φρονήσεις ἁπάσας,
ἀλλὰ καὶ τῷ μεγέθει σου βαρύνουσι τῆς δόξης
καὶ παύσασθαι παρὰ μικρὸν πείθουσί με, σωτήρ μου,
μηδὲν λαλεῖν, μηδὲν ποιεῖν μηδὲ ἅπτεσθαι τούτων
καὶ ἀπορῶ ἐν ἐμαυτῷ καὶ θαυμάζων λυποῦμαι.
Πῶς τοῖς τοιούτοις ἐμαυτὸν πράγμασιν ἀπορρήτοις
ἐξέδωκα διακονεῖν καὶ λειτουργεῖν, ὁ τάλας;
Ἐν οἷς ἄγγελοι φρίττουσιν ἀδεῶς ἀτενίσαι,
προφῆται ἐδειλίασαν ἐνωτισθέντες ἅμα
δόξης τὸ ἀκατάληπτον καὶ τῆς οἰκονομίας·
ἀπόστολοι καὶ μάρτυρες καὶ διδασκάλων πλῆθος
βοῶσι καὶ κραυγάζουσιν ἑαυτοὺς ἀναξίους
διαρρήδην κηρύττοντες ἅπασι τοῖς ἐν κόσμῳ.
Ἐγὼ δὲ πῶς, ὁ ἄσωτος, καὶ πῶς ἐγώ, ὁ πόρνος,
καὶ πῶς ἐγώ, ὁ ταπεινὸς γενέσθαι ἠξιώθην
τῶν ἀδελφῶν ἡγούμενος, τῶν θείων μυστηρίων
ἱερουργὸς καὶ λειτουργὸς τῆς ἀχράντου Τριάδος;

---

25. Ματθ. 25,26.

τὰ γυρίσεις σὲ θυμὸ γιὰ μεγαλύτερη τιμωρία
ἐπειδή, ἐνῶ μ' εὐεργετεῖς, σοῦ δείχνω πιὸ μεγάλη ἀχαριστία
σὰν ἕνας δόλιος δοῦλος ἑνὸς ἀγαθοῦ κυρίου.
῞Ολα λοιπόν, Κύριε, τὰ ἄλλα μοῦ ἔδιναν ὑπομονὴ
δημιουργώντας μου ἐλπίδα γιὰ ζωὴ αἰώνια·
γι' αὐτὸ καὶ ἦταν μεγάλη μου ἡ χαρά, ὅπως μόνος γνωρίζεις,
ἔχοντας θάρρος στὴν καλοσύνη καὶ στὸ ἔλεός σου.
Γι' αὐτὸ μὲ πῆρες ἀπὸ ὅλον τὸν κόσμο
καὶ μ' ἀποχώρισες ἀπὸ ὅλους τοὺς συγγενεῖς καὶ φίλους
γιὰ νὰ μοῦ δείξεις, Χριστέ, τὸ ἔλεός σου καὶ γιὰ νὰ μὲ σώσεις.
Γεμάτος ἀπὸ τὴν ἐλπίδα αὐτὴ ποὺ μοῦ ἔδινε ἡ χάρη σου
εἶχα χαρὰ ἀπέραντη κι ἐλπίδα ἀκλόνητη.
Πῶς ὅμως νὰ πῶ τὰ δύο τελευταῖα, δὲ γνωρίζω,
ποὺ εὐδόκησες νὰ συμβοῦν σ' ἐμένα, βασιλιά μου,
ποὺ ἀφήνουν ἄναυδη τὴν ψυχὴ καὶ τὸ νοῦ μου
καὶ σταματοῦν κάθε ἐνέργειά μου καὶ κάθε λογισμὸ
ἀλλὰ καὶ μὲ τὸν ὄγκο τῆς δόξας σου βαραίνοντάς με
λίγο ἀκόμα καὶ θὰ μὲ κάνουν, Σωτήρα μου, νὰ σταματήσω,
τίποτα νὰ μὴν πῶ γι' αὐτὰ μήτε νὰ κάνω μήτε ν' ἀναφέρω·
εἶμαι ὅλος ἀπορία, γεμάτος θαυμασμὸ καὶ λύπη.
Πῶς, αὐτὰ τὰ ἀπόρρητα πράγματα στὸν ἑαυτό μου
ἐπέτρεψα ὁ δύστυχος νὰ διακονεῖ καὶ νὰ ὑπηρετεῖ;
Φρίκη νιώθουν οἱ ἄγγελοι καὶ ἔμφοβοι τὰ ἀτενίζουν
καὶ δείλιασαν οἱ προφῆτες ἀκούοντας τὸν ἀκατανόητο
συνδυασμὸ τῆς δόξας καὶ τῆς οἰκονομίας σου.
᾿Απόστολοι, μάρτυρες, τὸ πλῆθος τῶν διδασκάλων
φωνάζουν μὲ δυνατὲς κραυγὲς διακηρύττοντας
κατηγορηματικὰ σ' ὅλο τὸν κόσμο ὅτι εἶναι ἀνάξιοι.
Καὶ πῶς ἐγὼ ὁ ἄσωτος, πῶς ἐγὼ ὁ πόρνος,
πῶς ἐγὼ ὁ ἀσήμαντος ἀξιώθηκα νὰ γίνω
ἡγούμενος στοὺς ἀδελφούς μου, τῶν θείων μυστηρίων
ἱερουργὸς καὶ λατρευτὴς τῆς ἄχραντης Τριάδας;

---

47. 'τῆς οἰκονομίας'· ἡ λέξη κυριολεκτεῖται ὡς συγκατάβαση.

Ὅπου γὰρ ἄρτος τίθεται καὶ κενοῦται ὁ οἶνος
εἰς ὄνομα τῆς σῆς σαρκὸς καὶ τοῦ αἵματος, Λόγε,
ἐκεῖ ὑπάρχεις σὺ αὐτός, ὁ Θεός μου καὶ Λόγος,
καὶ ταῦτα σῶμα γίνεται σὸν ἀληθῶς καὶ αἷμα
ἐπελεύσει τοῦ Πνεύματος καὶ δυνάμει ὑψίστου·
καὶ τολμῶντες ἁπτόμεθα Θεοῦ τοῦ ἀπροσίτου,
μᾶλλον δὲ τοῦ οἰκοῦντος ἐν φωτὶ ἀπροσίτῳ,
οὐ μόνον φύσει τῇ φθαρτῇ ταύτῃ καὶ ἀνθρωπίνῃ,
ἀλλὰ καὶ πάσαις νοεραῖς στρατιαῖς τῶν ἀγγέλων.
Τοῦτο οὖν τὸ ἀπόρρητον, τοῦτο τὸ ὑπὲρ φύσιν
ἔργον τε καὶ ἐγχείρημα, ὅπερ ποιεῖν ἐτάχθην,
πείθει με καὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν μου βλέπειν·
ὅθεν ἀφεὶς τὸ ἥδεσθαι τῷ τρόμῳ συνεχέθην
εἰδώς, ὅτι ἀδύνατον ἐμοὶ καὶ πᾶσιν οἶμαι
τὸ κατ' ἀξίαν λειτουργεῖν καὶ βίον οὕτως ἔχειν
ἀγγελικὸν ἐν σώματι, μᾶλλον δ' ὑπὲρ ἀγγέλους,
ἵν', ὡς ὁ λόγος ἔδειξε καὶ ἡ ἀλήθεια ἔχει,
καὶ οἰκειότερος αὐτῶν γένηται κατ' ἀξίαν
ὡς καὶ χερσὶν ἁπτόμενος καὶ στόματι ἐσθίων,
ὅνπερ ἐκεῖνοι φρίττοντες παρίστανται σὺν τρόμῳ.
Τὸ δὲ κρίμα τῶν ἀδελφῶν, οὓς τέταγμαι ποιμαίνειν,
ποία ψυχὴ βαστάσειε, ποῖος νοῦς εὐπορήσῃ
ἀκατακρίτως μετελθεῖν ἑνὸς ἑκάστου γνώμην
καὶ πάντα τὰ παρ' ἑαυτοῦ ἀνελλιπῶς εἰσφέρειν
καὶ ἐξελέσθαι κρίματος ἑαυτὸν τοῦ ἐκείνων;
Οὔ μοι δοκεῖ πως δυνατὸν ἀνθρώποις εἶναι τοῦτο·
πείθομαι οὖν καὶ βούλομαι μαθητὴς εἶναι μᾶλλον
ἑνὸς δουλεύων θέλημα, ἑνὸς ἀκούων λόγους,
καὶ ὑπὲρ τούτου τοῦ ἑνὸς μόνον ὑφέξειν λόγους,
ἢ τρόποις καὶ θελήμασι δουλεύειν τῶν πλειόνων

---

59. Λουκᾶ 1,35.
61. Α' Τιμ. 6,16.
66. Ἐσθὴρ 4,17.

῞Οπου προσφέρεται ὁ ἄρτος καὶ χύνεται ὁ οἶνος
στὸ ὄνομα, Λόγε, τῆς σάρκας καὶ τοῦ αἵματός σου
ἐκεῖ εἶσαι ὁ ἴδιος ἐσύ, ὁ Θεός μου καὶ Λόγος,
κι αὐτὰ γίνονται ἀληθινὰ τὸ δικό σου σῶμα καὶ αἷμα
μὲ τὴν κάθοδο τοῦ Πεύματος καὶ τὴ δύναμη τοῦ Ὑψίστου.
Κι ἔχω τὴν τόλμη ν' ἀγγίξω τὸν ἀπρόσιτο Θεὸ
ἢ πιὸ καλὰ αὐτὸν ποὺ κατοικεῖ στὸ φῶς τὸ ἀπρόσιτο,
ὄχι μόνο σ' αὐτὴ τὴ φθαρτὴ ἀνθρώπινη φύση
ἀλλὰ καὶ σ' ὅλες τὶς νοερὲς στρατιὲς τῶν ἀγγέλων.
Αὐτὸ λοιπὸν τὸ ἀπόρρητο, τὸ πάνω ἀπὸ τὴ φύση,
ὑπούργημα καὶ ἔργο ποὺ τάχτηκα νὰ τελῶ
μὲ κάνει νὰ βλέπω μπροστά μου τὸ θάνατο.
Γι' αὐτὸ χωρὶς νὰ νιώσω χαρά, κυριεύτηκα ἀπὸ τρόμο,
γνωρίζοντας ὅτι εἶναι ἀδύνατο γιὰ μένα καὶ γιὰ τὸν καθένα νομίζω
νὰ λειτουργεῖ ἐπάξια καὶ νὰ ἔχει ζωὴ ἔτσι
ἀγγελικὴ μέσα σὲ σῶμα ἢ μᾶλλον ζωὴ πάνω ἀπὸ ἀγγέλους,
γιὰ νὰ γίνει, ὅπως τὸ ἔδειξε ὁ λόγος καὶ εἶναι ἡ ἀλήθεια,
κοντινότερη ἀπὸ ἐκείνους κατὰ τὸ ἀξίωμα,
ἀφοῦ καὶ μὲ τὰ χέρια του πιάνει καὶ μὲ τὸ στόμα του τρώει
αὐτὸν ποὺ ἐκεῖνοι μὲ φρίκη μόνο καὶ τρόμο τὸν παραστέκονται.
Καὶ τὴν κρίση τῶν ἀδελφῶν ποὺ τάχτηκα νὰ ποιμάνω
ποιά ψυχὴ θ' ἀντέξει, ποιός νοῦς εὔκολα θὰ μπορέσει
ν' ἀντιμετωπίσει ἀκατάκριτα τοῦ καθενὸς τὴ γνώμη,
νὰ ἐκτελεῖ ἀνελλιπῶς ὅλα τὰ καθήκοντά του
καὶ νὰ ἐξασφαλίσει τὸν ἑαυτό του ἀπὸ τὴν κρίση ἐκείνων;
Δὲ νομίζω πὼς οἱ ἄνθρωποι ἔχουν τὴ δύναμη γι' αὐτό.
Πείθομαι λοιπὸν καὶ θέλω πιὸ πολὺ νὰ εἶμαι μαθητής,
νὰ ὑπηρετῶ ἑνὸς τὸ θέλημα καὶ ν' ἀκούω τοὺς λόγους ἑνὸς
καὶ σ' αὐτὸν τὸν ἕνα μόνο νὰ γίνω ὑπόλογος
ἢ νὰ εἶμαι δοῦλος στοὺς τρόπους καὶ στὸ θέλημα τῶν πολλῶν,

57. Ὁ ἱερουργὸς πρέπει νὰ παραβλέπει τὴ χαρὰ ἀπὸ τὴν τιμὴ τοῦ ἀξιώματός του καὶ νὰ παραδίδεται στὸν τρόμο γιὰ τὴν ἀδυναμία του ν' ἀσκήσει ἐπάξια ἕνα τόσο ὑψηλὸ ἀξίωμα.

καὶ τούτων γνώμας ἐρευνᾶν καὶ βουλὰς ἐξευρίσκειν
καὶ πράξεις τε καὶ λογισμοὺς ἐξιχνιάζειν πλέον,
ἐπεὶ καὶ κρίσις μένει με καὶ δοῦναι μέλλω λόγους,
ἀνθ' ὧνπερ ἡμαρτήκασιν, οὓς ἔγωγε ποιμαίνειν
λόγοις ἀρρήτοις τοῦ Θεοῦ πάντως ᾑρέθην μόνος.
Ἕκαστος γὰρ κριθήσεται καὶ λόγους πάντως δώσει,
ὧν ἔπραξεν αὐτός, εἴ τι χρηστὸν ἢ φαῦλον,
ὑπὲρ ἑκάστου λόγον δὲ μόνος ἐγὼ παρέξω·
καὶ πῶς σωθῆναι βούλομαι ἢ πῶς ἐλεηθῆναι,
ὁ μηδὲ κἂν ὑπὲρ ἐμῆς μιᾶς ψυχῆς ἀθλίας
ἔχων ὅλως ἐνδείξασθαι ἔργον πρὸς σωτηρίαν;
Καὶ γάρ, πληροφορήθητι, οὐκ ἔχω, ὅ,τι φράσω,
οὐδὲ γὰρ ἔπραξά ποτε ἔργον μικρὸν ἢ μέγα,
δι' οὗ καὶ μέλλω σῴζεσθαι πυρὸς τοῦ αἰωνίου.
Ἀλλ', ὦ φιλάνθρωπε σωτήρ, εὔσπλαχνε, ἐλεήμων,
θείαν μοι δὸς τῷ ταπεινῷ δύναμιν, ὥστε λόγῳ,
οὓς δέδωκάς μοι ἀδελφούς, ποιμαίνειν ἐν συνέσει,
καθοδηγεῖν ἐπὶ νομὰς τῶν νόμων σου τῶν θείων
καὶ ἀνασῴζειν εἰς μονὰς τῆς ἄνω βασιλείας
σώους, ἀπήμονας, φαιδροὺς τῶν ἀρετῶν τῷ κάλλει,
ἀξίους τε προσκυνητὰς τοῦ φοβεροῦ σου θρόνου·
κἀμὲ δὲ τὸν ἀνάξιον προσλαβοῦ ἐκ τοῦ κόσμου,
εἰ καὶ κατάστικτον πολλαῖς ἁμαρτιῶν αἰκίαις,
ἀλλ' ὅμως λάτριν ἅμα σὸν καὶ ἀχρεῖον οἰκέτην!
Καὶ τοῖς χοροῖς τῶν ἐκλεκτῶν, οἷς κρίμασι γινώσκεις,
συγκαταρίθμησον ὁμοῦ μετὰ τῶν μαθητῶν μου,
ἵν' ἅμα πάντες βλέπωμεν τὴν δόξαν σου τὴν θείαν
καὶ τῶν ἀφράστων σου, Χριστέ, ἀγαθῶν ἐντρυφῶμεν!
Σὺ γὰρ εἶ ἡ ἀπόλαυσις, ἡ τρυφὴ καὶ τὸ κλέος
τῶν ἀγαπώντων σε θερμῶς εἰς αἰῶνας αἰώνων.
Ἀμήν.

---

90. Ματθ. 12,36. 91. Β' Κορ. 5,10.
95. Ρωμ. 2,15. 98. Ἰούδα 23.
108. Ματθ. 25,30. 111. Ἰω. 17,24.

νὰ ἐρευνῶ γιὰ τὶς γνῶμες τους καὶ νὰ ψάχνω γιὰ τὶς σκέψεις τους
καὶ νὰ ἐξιχνιάζω ἀτελείωτα τὶς πράξεις καὶ τὶς σκέψεις τους,
ἐπειδὴ μὲ ἀναμένει κρίση καὶ μέλλω νὰ δώσω λόγο,
γι' αὐτοὺς ποὺ ἁμάρτησαν, ποὺ ἐγὼ νὰ ποιμαίνω
ὁρίστηκα μόνος ὅπως καὶ νά 'ναι γιὰ ἄρρητους λόγους τοῦ Θεοῦ.
Καθένας βέβαια θὰ κριθεῖ καὶ ἐξάπαντος θὰ δώσει λόγο
γιὰ ὅ,τι ὁ ἴδιος ἔπραξε, καλὸ κάτι ἢ φαῦλο,
καὶ μόνο ἐγὼ θὰ δώσω λόγο γιὰ καθένα τους.
Καὶ πῶς θέλω νὰ σωθῶ ἢ πῶς νὰ ἐλεηθῶ,
ἐγὼ ποὺ μήτε γιὰ τὴ μία δική μου ἄθλια ψυχὴ
δὲν ἔχω καμιὰ πράξη σωτηρίας νὰ παρουσιάσω;
Σοῦ ἐκμυστηρεύομαι λοιπὸν δὲν ἔχω τί νὰ πῶ,
γιατὶ οὔτε ἔπραξα ποτὲ πράξη μικρὴ ἢ μεγάλη,
χάρη σ' αὐτὴ γιὰ νὰ σωθῶ ἀπὸ τὴν αἰώνια φωτιά.
'Αλλά, Σωτήρα, φιλάνθρωπε, σπλαχνικέ, ἐλεητικέ,
δῶσε σ' ἐμένα τὸν ταπεινὸ θεία δύναμη, ὥστε μὲ λόγο,
τοὺς ἀδελφοὺς ποὺ ἔδωκες, νὰ ποιμαίνω μὲ σύνεση,
νὰ τοὺς ὁδηγῶ στὶς νομὲς τῆς θείας νομοθεσίας σου
καὶ νὰ τοὺς διασώζω στὶς κατοικίες τῆς ἄνω βασιλείας σου
σώους, ἀβλαβεῖς, νὰ λάμπουν ἀπὸ τὴ χάρη τῶν ἀρετῶν,
ἄξιους προσκυνητὲς τοῦ φοβεροῦ θρόνου σου.
Καὶ τὸν ἀνάξιο ἐμένα πάρε με ἀπὸ τὸν κόσμο
κι ἂς εἶμαι πληγωμένος ἀπὸ πολλὰ χτυπήματα ἁμαρτιῶν,
εἶμαι ὅμως λάτρης δικός σου καὶ δοῦλος ταπεινός.
Στοὺς χοροὺς τῶν ἐκλεκτῶν σου σύμφωνα μὲ τὴν κρίση σου
κατάταξέ με μαζὶ μὲ τοὺς μαθητές σου,
γιὰ νὰ βλέπομε ὅλοι τὴ θεία σου δόξα
καὶ ν' ἀπολαύσομε, Χριστέ, τ' ἀνείπωτα ἀγαθά σου.
Γιατὶ ἐσὺ εἶσαι ἡ ἀπόλαυση, ἡ τρυφὴ καὶ ἡ δόξα
ὅσων θερμὰ σ' ἀγαποῦν στοὺς αἰῶνες τῶν αἰώνων.
'Αμήν.

100–105. Οἱ στίχοι αὐτοί, ὅπως καὶ νὰ εἶναι, θυμίζουν τὴν προσευχὴ τοῦ Χριστοῦ ποὺ ἀπευθυνόμενος στὸν Πατέρα του λέγει ὅτι «φύλαξε ὅλους τοὺς μαθητὲς ποὺ τοῦ ἔδωσε καὶ δὲν χάθηκε παρὰ μόνο ὁ υἱὸς τῆς ἀπώλειας».

ΙΕ

Ὅπως βλέπων τὴν δόξαν τοῦ Θεοῦ ἐνηργεῖτο ὑπὸ τοῦ παναγίου Πνεύματος καὶ ὅτι τὸ Θεῖον ἐντὸς καὶ ἐκτός ἐστι τοῦ παντός, ἀλλὰ καὶ ληπτόν τε καὶ ἄληπτον τοῖς ἀξίοις, καὶ ὅτι οἶκος Δαυὶδ ἡμεῖς ἐσμεν, καὶ ὅτι εἰς πολλὰ γινόμενος ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν μέλη, εἷς ἐστι καὶ ὁ αὐτὸς καὶ μένων ἀμέριστος.

Ἀποκαλυπτομένου σου, Δέσποτα τῶν ἁπάντων,
καὶ δόξαν τοῦ προσώπου σου τρανότερον δεικνύντος
ὅλος τρόμῳ συνέχομαι ἄνωθεν καθορῶν σε,
ὡς ἐφικτόν ἐστιν ἐμοί, τῷ ταπεινῷ τὴν φύσιν,
καὶ φόβῳ συνεχόμενος ἐκπλήττομαι καὶ λέγω·
Ὑπὲρ κατάληψιν ἐμὴν πάντα τὰ σά, Θεέ μου,
καὶ γάρ εἰμι ἀκάθαρτος, ἀνάξιος εἰς ἅπαν
τοῦ βλέπειν σέ, τὸν καθαρὸν καὶ ἅγιον Δεσπότην,
ὃν εὐλαβοῦνται ἄγγελοι καὶ λειτουργοῦσι τρόμῳ
καὶ ἀπὸ τοῦ προσώπου σου κλονεῖται πᾶσα κτίσις.
Ὅταν δὲ ταῦτα εἴποιμι καὶ ὀφθαλμοὺς καμμύσω,
τουτέστι κάτω μου τὸν νοῦν ἀποστρέψω, μὴ βλέπειν
ἢ καθορᾶν δυνάμενος τὴν ἄστεκτόν σου θέαν,
τότε θρηνῶ στερούμενος τοῦ κάλλους σου, Θεέ μου,
μὴ φέρων σοῦ τὸν χωρισμόν, τοῦ φιλανθρώπου μόνου.
Θρηνοῦντα δὲ καὶ κλαίοντα ὅλον με περιλάμπεις,
βαβαί, καὶ καταπλήττομαι καὶ ἐπὶ πλεῖον κλαίω,
τὸ πρὸς ἐμέ σου εὔσπλαγχνον τὸν ἄσωτον θαυμάζων.

---

5. Λουκᾶ 8,37.

11. 'ὅταν.. εἴποιμι'. Ἀπὸ τέτοιες συντάξεις φαίνεται καθαρὰ ὅτι οἱ ἀττικοὶ ινόνες εἶχαν σχετικὰ ἀτονήσει στὰ χρόνια τοῦ Συμεὼν καὶ ὅτι τοὺς ἐφάρμοζαν

15

Πῶς ὅταν ἔβλεπε τὴ δόξα τοῦ Θεοῦ τὸν κινοῦσε τὸ ἅγιο Πνεῦμα. Ὅτι τὸ θεῖο εἶναι καὶ μέσα καὶ ἔξω ἀπὸ τὸ πᾶν, καὶ συλληπτὸ μαζὶ κι ἀσύλληπτο γιὰ τοὺς ἄξιους· ὅτι 'οἶκος Δαβὶδ' εἴμαστε ἐμεῖς καὶ ὅτι, ἐνῶ μερίζεται ὁ Χριστὸς καὶ Θεός μας σὲ πολλὰ μέρη, εἶναι ἕνας καὶ ὁ αὐτὸς παραμένοντας ἀμέριστος καὶ ἀναλλοίωτος.

Καθὼς μοῦ φανερώνεσαι, τῶν ὅλων Κύριε,
καὶ τὴ δόξα τρανότερα μοῦ δείχνεις τοῦ προσώπου σου
τρόμος κυριεύει τὸ εἶναι μου κοιτάζοντάς σε ἀπὸ ψηλά,
ὅσο μπορεῖ ἡ μικρούλα μου ὕπαρξη νὰ σὲ κοιτάζει·
καὶ στοῦ φόβου τὸ δίχτυ καὶ τῆς ἔκπληξης πιασμένος,
κάθε δικό σου ἀκατανόητο γιὰ μένα, Θεέ μου, ψιθυρίζω,
τ' ὁμολογῶ εἶμαι ἀκάθαρτος κι ὡς πέρα ἀνάξιος
τὸν καθαρὸ νὰ βλέπω καὶ τὸν ἅγιο ἐσένα Κύριό μου,
ποὺ οἱ ἄγγελοι εὐλαβοῦνται καὶ σὲ ὑπηρετοῦν μὲ τρόμο
καὶ μπρὸς στὴν παρουσία σου ὅλη ἡ φύση συγκλονίζεται.
Ὅταν αὐτὰ σοῦ ὁμολογήσω καὶ τὰ μάτια κλείσω,
θέλω νὰ πῶ τὸ νοῦ νὰ χαμηλώσω ἀδυνατώντας
νὰ βλέπω ἢ ν' ἀντικρίσω κὰν τὴν ἀβάσταχτη ὄψη σου,
τότε θρηνῶ τὴν ὀμορφιά σου, Θεέ μου, στερημένος,
μακριὰ ἀπ' τὸ μόνο ἐσένα φιλάνθρωπο μὴ ζώντας.
Κι ἐνῶ θρηνῶ καὶ κλαίω μὲ περιλάμπεις ὅλον,
ἀλίμονο! Θαυμάζω καὶ τὸ κλάμα δυναμώνει,
μὲ τὴ μεγάλη σου εὐσπλαχνία σ' ἐμὲ τὸν ἄσωτο ἀπορώντας.

μόνο οἱ ἀττικιστές, οἱ μιμητὲς τῆς ἀττικῆς. Μὰ ὁ Συμεὼν δὲν εἶχε βέβαια στὸ νοῦ του νὰ γίνει ἕνας σχολαστικὸς μιμητὴς ὅταν εἶχε τέτοια ὁράματὰ νὰ ἀνακοινώσει.

Τότε βλέπω τοῦ σώματος πολλὴν ἀσχημοσύνην
καὶ τὴν ἀναξιότητα ψυχῆς μου τῆς ἀθλίας,
καὶ ταῦτα τεκμαιρόμενος ἐξίσταμαι κραυγάζων·
Τίς οὖν ἐγώ εἰμι, Θεὲ καὶ ποιητὰ τῶν ὅλων,
καὶ τί ὅλως πεποίηκα ἀγαθὸν ἐν τῷ βίῳ,
ἢ ποιάν ὅλως σοῦ ποτε ἐντολὴν εἰργασάμην,
ὅτι τοιαύτῃ δόξῃ με τὸν ταπεινὸν δοξάζεις;
Καὶ πόθεν ἢ καὶ διὰ τί οὕτω με περιλάμπειν,
τὸν ἄθλιον, ἠξίωσας ἐν νυκτὶ καὶ ἡμέρᾳ;
Μὴ γάρ ποτε ἐδίψησα σὲ ζητῶν, βασιλεῦ μου,
μὴ γὰρ ἐκακοπάθησα σῶν ἐντολῶν τοῖς πόνοις,
μὴ πειρασμοὺς ὑπέμεινα καὶ μάστιγας, ὡς πάντες
οἱ ταῦτα καρτερήσαντες ἅγιοι ἀπ' αἰῶνος,
ὅπως ἐκείνοις με, Χριστέ, συναριθμήσας σώσῃς!
Οὐ γὰρ τῶν ἔργων με χωρὶς σὺ ῥᾳθυμοῦντα σώσεις,
κἂν σφόδρα σὺ φιλάνθρωπος ὡς πλάστης τῶν ἀνθρώπων.
᾿Ακούω Παύλου λέγοντος νεκρὰν εἶναι τὴν πίστιν
ἔργων χωρὶς τυγχάνουσαν καὶ φρίττω τιμωρίας
πάντως ἐκεῖ μενούσας με, τὸν κατημελημένον.
Πῶς οὖν ἐγὼ θαρρήσαιμι ὡς πιστὸς σὺν ἐκείνοις
ἀριθμηθῆναι, Δέσποτα, τοῖς προειργασμένοις,
ὁ μηδὲ μίαν ἐντολήν ποτε τετηρηκώς σου;
᾿Αλλ' οἶδα, πάντα δύνασαι, πάντα ποιεῖς, ὡς θέλεις,
καὶ τοῖς ἐσχάτοις, Δέσποτα, δίδως ὡς καὶ τοῖς πρώτοις,
καὶ πρῶτον, ὢ τοῦ θαύματος, τῶν πρώτων τοῖς ἐσχάτοις!—
Ταῦτα πρός σέ μου λέγοντος, τὸν ποιητὴν τοῦ κόσμου,
τὸν ἄνω πρὶν φαινόμενον καὶ πάλαι με κρυβέντα
καὶ ὕστερον ἀκτῖσί με ὅλον περικυκλοῦντα,
αἴφνης σε ὅλον ἐν ἐμοὶ καθορῶ γεγονότα,

22. Β' Βασ. 7,18. 30. Ἑβρ. 11,36.
31. Πράξ. 3,21. 35. Ἰακ. 2,26.
40. Ἰω. 14,15. 43. Ματθ. 20,1–16.

Τότε προσέχω τὴ μεγάλη ἀσχήμια τοῦ κορμιοῦ μου
καὶ πόσο εἶναι ἡ ταλαίπωρη ψυχή μου ἀνάξια
καὶ βλέποντάς τα αὐτὰ σαστίζω καὶ φωνάζω·
Ποιός εἶμαι ἐγώ, ποιητὴ τῶν ὅλων, Θεέ μου,
καὶ ποιό καλὸ μὲς στὴ ζωὴ ἔχω κάνει
ἢ ποιὰ ἐντολή σου κάποτε, τὴν πιὸ μικρή, ἔχω πράξει
καὶ μὲ μιὰ τέτοια δόξα τὸν ἀνάξιο ἐμὲ τυλίγεις;
Κι ἀπὸ τί καὶ γιὰ τί μ' ἔκανες ἄξιο
τὸν ἄθλιο ἐμένα ν' ἀκτινοβολῶ νύχτα καὶ μέρα.
Δίψασα τάχα, βασιλιά μου, ἀναζητώντας σε,
μήπως καὶ κακοπάθησα μοχθώντας γιὰ τὶς ἐντολές σου,
μὴν πειρασμοὺς ὑπόφερα καὶ μάστιγες, σὰν ὅλους
τοὺς ἅγιους ποὺ καρτέρεψαν σὲ τόσα μὲς στοὺς αἰῶνες,
ὥστε μαζί τους λογαριάζοντας, Χριστέ, κι ἐμένα, νὰ μὲ σώσεις;
Γιατί, ἂν ἀπομείνω δίχως ἔργα, σίγουρα δὲ θὰ μὲ σώσεις
κι ἂς εἶσαι ὡς πλάστης τῶν ἀνθρώπων φίλος τους σφοδρός.
Ἀκούω νὰ λέει ὁ Παῦλος πὼς ἡ πίστη εἶναι νεκρή,
ἂν μείνει δίχως ἔργα καὶ μὲ πιάνει φρίκη
γιὰ ὅσες τιμωρίες τὸν ἀπρόσεκτο ἐμένα ἐκεῖ προσμένουν.
Μὲ ποιό θάρρος λοιπὸν πιστὸς κοντὰ σ' ἐκείνους,
Κύριε, θὰ μπῶ κι ἐγώ, μὲ ὅσους πρὶν ἀπὸ μένα δούλεψαν,
ἐγὼ ποὺ μήτε μιὰ δὲ φύλαξα ἐντολή σου;
Ξέρω, τὰ πάντα ἐσὺ νὰ πράττεις, ὅπως θέλεις μπορεῖς,
καὶ δίνεις, Κύριε, στοὺς ἔσχατους ὅπως στοὺς πρώτους
καὶ πρῶτα, θαῦμα ἀληθινό, στοὺς πρώτους ἀπ' τὸ τέλος.
Τέτοια ἐνῶ μὲ σένα λέω, τοῦ κόσμου, πλάστη,
ποὺ ἔβλεπα πρὶν πάνω ἀπὸ μένα κι ἔχασα πάλι
κι ἔπειτα ὁλόκληρο μ' ἀκτίνες μὲ κυκλώνεις
ἀκέριος βλέπω μέσα μου νὰ φτάνεις

---

41. Πῶς θὰ σωθεῖ μὲ τέτοια συναίσθηση ἀναξιότητας; Μήπως πραγματικὰ φτάνει αὐτὴ ἡ βαθιὰ συναίσθηση γιὰ σωτηρία; Ὁ Θεὸς ὅμως 'πάντα δύναται' καὶ 'πάντα ποιεῖ ὡς θέλει'. Κι αὐτὸ εἶναι μιὰ διαπίστωση ἀπὸ τὰ φαινόμενα. Ἡ σκέψη τοῦ Θεοῦ ἀγνοεῖται.

τὸν ἄνω πρὶν φαινόμενον, ἀλλὰ κρυβέντα πάλιν
νέφει, καθάπερ ἥλιος ἀκτίνων ὅλως δίχα.
Ὡς οὖν ἐκεῖνος προσιτός ἐστι τοῖς καθορῶσι
καὶ τότε μᾶλλον οἱονεὶ ὅλος πᾶσιν ὁρᾶται,
οὕτω καὶ σύ μοι προσιτὸς κεκρυμμένος ἐντός μου
τυγχάνεις, ὁ ἀπρόσιτος, ὄμμασι νοεροῖς μου,
ὡς οἶδας, ὀπτανόμενος, κατὰ μικρὸν αὐξάνων,
φαιδρότερον δεικνύμενος, φαιδρότερον ἀστράπτων·
ἄλλοτε πάλιν φαίνῃ μοι ἀπρόσιτος εἰς ἅπαν.
Διὸ καὶ μεγαλύνω σου τὴν ἀκαταληψίαν,
τὴν ἀγαθότητα τὴν σὴν κηρύττων ἐκβοῶ σοι·
Δόξα τῷ οὕτω τὴν ἡμῶν δοξάσαντι οὐσίαν,
δόξα τῇ ἀμετρήτῳ σου, σωτήρ, συγκαταβάσει,
δόξα τῇ εὐσπλαχνίᾳ σου, δόξα τῇ δυναστείᾳ,
δόξα σοι, ὅτι ἄτρεπτος, ἀναλλοίωτος μένων
ὅλος τε εἶ ἀκίνητος, ἀεικίνητος πέλων,
ὅλος ἐκτὸς τῆς κτίσεως, ὅλος δ' ἐν πάσῃ κτίσει,
ὅλος τὰ σύμπαντα πληροῖς ὅλος ὢν ἔξω πάντων
ὑπὲρ τὰ πάντα, Δέσποτα, ὑπὲρ ἀρχὴν δὲ πᾶσαν,
ὑπὲρ οὐσίαν ἅπασαν, ὑπὲρ φύσεως φύσιν,
ὑπὲρ αἰῶνας ἅπαντας, ὑπὲρ φῶς ἅπαν, σῶτερ,
ὑπὲρ οὐσίας νοερὰς –ἔργον σὸν γὰρ κἀκεῖναι,
μᾶλλον δὲ ἐννοήματός σου τυγχάνουσιν ἔργον.
Σὺ γὰρ τῶν πάντων εἶ οὐδέν, ἀνώτερος δὲ πάντων·
τῶν ὄντων γὰρ εἶ αἴτιος ὡς τῶν ἁπάντων κτίστης
καὶ διὰ τοῦτο πάντων εἶ ἀποκεχωρισμένος,
ἄνωθέν που νοούμενος ὑπὲρ τὰ ὄντα πάντα,
ἀόρατος, ἀπρόσιτος, ἄληπτος ἀναφῆς τε,
ἀκατανόητός τε ὢν ἀναλλοίωτος μένεις,
ἁπλοῦς τυγχάνων ὅλος δὲ σὺ εἶ πεποικιλμένος,
καὶ ὅλως νοῦς ἀδυνατεῖ δόξης τὴν ποικιλίαν
καὶ ὡραιότητα τοῦ σοῦ κάλλους κατανοῆσαι.

ἐσὺ ποὺ ἄνω φάνηκες πρὶν καὶ πάλι κρύφτηκες
σὲ νέφος, ὅπως ἥλιος ποὺ ὅλες τοῦ 'λειψαν οἱ ἀκτίνες.
Ὅπως λοιπὸν ἐκεῖνος γίνεται καλόβουλος σ' ὅσους τὸν βλέπουν
καὶ τότε πιὸ πολύ, σχεδὸν ἀκέριος, σ' ὅλους φαίνεται,
ἔτσι κι ἐσένα μέσα μου κρυμμένο νὰ σ' ἀγγίξουν
μποροῦνε τὸν ἀπρόσιτο τὰ μάτια τῆς ψυχῆς μου,
ὅπως ξέρεις, λίγο–λίγο ὅσο σὲ βλέπω νὰ πληθαίνεις,
νὰ σὲ βλέπω λαμπρότερο λαμπρότερα ν' ἀστράφτεις,
ἄλλοτε πάλι ἀπρόσιτος νά 'σαι πέρα γιὰ πέρα.
Γι' αὐτὸ καὶ μεγαλύνω σου τὸ ἀκατανόητο
καὶ διαλαλώντας σου τὴν καλοσύνη σοῦ φωνάζω·
Δόξα σ' αὐτὸν ποὺ δόξασε τὴν ὕπαρξή μας μὲ τὴ δόξα αὐτή,
δόξα, Σωτήρα, στὴν ἀμέτρητή σου συγκατάβαση,
δόξα στὴν εὐσπλαχνία καὶ στὴ δύναμή σου,
δόξα σ' ἐσὲ ποὺ ἄτρεπτος ὄντας κι ἀναλλοίωτος
ὅλος εἶσαι ἀκίνητος κι ἀεικίνητος μαζί,
ὅλος ἔξω ἀπ' τὴν κτίση κι ὅλος μέσα σ' ὅλη τὴν κτίση,
τὰ σύμπαντα ὅλος ξεχειλίζεις ὄντας ἔξω ἀπ' τὰ σύμπαντα,
πάνω ἀπὸ ὅλα, Κύριε, κι ἀπὸ κάθε ἐξουσία,
πάνω ἀπὸ κάθε ὕπαρξη, πάνω ἀπὸ τὴ φύση τῆς φύσης,
πάνω ἀπ' ὅλους τοὺς αἰῶνες, Σωτήρα, πάνω ἀπ' τὸ φῶς,
πάνω ἀπ' τὶς νοερὲς ὑπάρξεις –ἔργο κι αὐτὲς δικό σου
ἢ πιὸ καλὰ τῆς σκέψης σου εἶναι τὸ ἔργο.
Τίποτα δὲν εἶσαι ἀπὸ τὰ πάντα κι εἶσαι ἀπ' τὰ πάντα ἀνώτερος.
Εἶσαι τῶν ὄντων ἡ αἰτία, ἀφοῦ τῶν πάντων εἶσαι πλάστης
καὶ γι' αὐτὸ εἶσαι χωριστὰ ἀπὸ ὅλα,
κάπου ψηλὰ σὲ βάζομε πάνω ἀπ' ὅλα τὰ ὄντα,
ἀόρατος, ἀπρόσιτος, ἀσύληπτος, ἀναφὴς
κι ἀκατανόητος ὄντας μένεις ἀμετάβλητος,
ἁπλὸς σὰν εἶσαι ὁλόκληρος νὰ ἐσὺ μὲ πολλὲς ὄψεις
κι ἀδυνατεῖ ὡς πέρα ὁ νοῦς τὴν πολλαπλή σου δόξα
τὴν ὀμορφιὰ τῆς καλλονῆς σου νὰ ἐννοήσει.

---

79. Ψαλμ. 44,4.

Ὁ οὖν τῶν πάντων ὢν οὐδὲν ὡς ὑπεράνω πάντων,
ὁ ἔξω πάντων ὡς Θεὸς τῶν πάντων σὺ ὑπάρχων
ἀόρατος, ἀπρόσιτος, ἄληπτος ἀναφῆς τε,
αὐτὸς ἐγένου καὶ βροτός, εἰσῆλθες ἐν τῷ κόσμῳ
καὶ πᾶσιν ὤφθης προσιτὸς τῇ τῆς σαρκὸς προσλήψει.
Ἐγνώσθης δὲ καὶ τοῖς πιστοῖς θεότητος τῇ δόξῃ
καὶ γέγονας αὐτοῖς ληπτός, ὁ ἄληπτος εἰς ἅπαν,
καὶ ὁρατὸς ὅλος αὐτός, ὁ ἀόρατος πᾶσιν·
καὶ εἴδοσαν τὴν δόξαν σου, θεότητος τῆς θείας,
μόνοι πιστοὶ καὶ βλέπουσιν, οἱ ἄπιστοι δὲ πάντες
ἰδόντες σε διέμειναν τυφλοί, τὸ φῶς τοῦ κόσμου.
Οἱ οὖν πιστοὶ καὶ τότε σὲ καὶ νῦν ἀεὶ ὁρῶσι
καὶ ἔχουσι μεθ' ἑαυτῶν τὸν κτίστην σε τῶν ὅλων
συνόντα συνοικοῦντά τε ἐν σκότει τῷ τοῦ βίου,
ὡς ἥλιόν σε ἄδυτον, ὡς ἄσβεστον λαμπάδα,
μὴ καταλαμβανόμενον ὅλως ὑπὸ τοῦ σκότους,
ἀλλὰ καταφωτίζοντα ἀεὶ τοὺς σὲ ὁρῶντας.
Ἐπεὶ δε σύ, ὡς εἴρηται, ἔξω πάντων ὑπάρχεις
καί, οὓς φωτίζεις, ἔξωθεν ποιεῖς τῶν ὁρωμένων
καὶ ὥσπερ σὺ αὐτόθι ὢν ἄνω σὺν τῷ Πατρί σου
ἀδιαστάτως μεθ' ἡμῶν ὅλος αὐτὸς τυγχάνεις
καὶ ἐν τῷ κόσμῳ πάλιν ὢν ἀχώρητος εἶ κόσμῳ
–ἐν τῷ παντὶ γὰρ ὢν αὐτὸς ὑπὲρ τὸ πᾶν τυγχάνεις–,
οὕτως ἡμᾶς τοὺς δούλους σου τῶν αἰσθητῶν ἐν μέσῳ,
τῶν ὁρωμένων τε ἐντὸς ὑπάρχοντας ἐξάγεις
καὶ ἄνω ὅλος μετὰ σοῦ λαμπομένους φωτί σου
συναναφέρεις καὶ ποιεῖς ἐκ θνητῶν ἀθανάτους·
καὶ μένοντες, ὅπερ ἐσμέν, υἱοὶ τῇ χάριτί σου
ὅμοιοί σοι γινόμεθα, θεοὶ Θεὸν ὁρῶντες.
Τίς οὖν οὐ προσδραμεῖταί σοι, τῷ μόνῳ φιλανθρώπῳ,

---

90. Ἰω. 8,12.
95. Ἰω. 1,5.
108. Α' Ἰω. 3,2.

Ἐσύ, ποὺ ὡς πάνω ἀπ' ὅλα, τίποτα δὲν εἶσαι ἀπ' τὰ πάντα,
ἐσύ, ποὺ ὑπάρχεις, ὡς Θεός, ἔξω ἀπ' τὰ πάντα
ἀόρατος, ἀπρόσιτος, ἀσύλληπτος μὰ κι ἀναφής,
ἔγινες ὁ ἴδιος καὶ θνητός, μπῆκες στὸν κόσμο
καὶ σὲ εἶδαν ὅλοι ἐμπρός τους μὲ τὴν πρόσληψη τῆς σάρκας.
Σ' ἐγνώρισαν ἀπὸ τὴ δόξα τῆς θεότητάς σου κι οἱ πιστοὶ
καὶ νὰ ποὺ ἐσένα καταλάβαν ἐσένα τὸν ὁλότελα ἀκατάληπτο
κι ἔγινες ὁρατὸς ἀκέραιος σύ, ὁ ἀόρατος σ' ὅλους·
τὴ δόξα σου εἶδαν τῆς θεϊκῆς θεότητάς σου
μόνο οἱ πιστοὶ καὶ βλέπουν, κι οἱ ἄπιστοι ὅλοι μόλο
ποὺ σὲ εἶδαν ἔμειναν τυφλοὶ κι ἤσουν τὸ φῶς τοῦ κόσμου.
Ἐνῶ οἱ πιστοὶ τότε καὶ τώρα καὶ παντοτινὰ σὲ βλέπουν
κι ἔχουν μαζί τους τὸν ποιητὴ τοῦ κόσμου ἐσένα
μαζί τους νὰ συγκατοικεῖς στοῦ βίου τὰ σκοτεινὰ
σὰν ἀβασίλευτο ἥλιο καὶ λαμπάδα ἀνέσβηστη,
ποὺ τὸ σκοτάδι μιὰ στιγμὴ δὲν τὴ σκεπάζει,
μὰ πάντοτε καταφωτίζεις ὅλους ὅσοι σὲ κοιτάζουν.
Κι ἀφοῦ, ὅπως εἶπα, ἔξω ἀπ' τὰ πάντα βρίσκεσαι
κι ὅποιους φωτίζεις ἔξω ἀπὸ ὅσα βλέπομε τοὺς βγάζεις·
κι ὅπως ἐσὺ στὰ ἴδια μένοντας μὲ τὸν Πατέρα σου ἄνω,
μένεις ἀχώριστος κοντά μας ὅλος ἐσὺ
κι ἐνῶ στὸν κόσμο βρίσκεσαι εἶσαι στὸν κόσμο ἀχώρητος
–γιατὶ ἐνῶ βρίσκεσαι στὸ πᾶν, εἶσαι ἔξω ἀπὸ τὸ πᾶν–
ἔτσι κι ἐμᾶς τοὺς δούλους σου, ὅπου στὴ μέση τῶν αἰσθητῶν
κινούμαστε καὶ στὴ μέση ὅσων βλέπομε, μᾶς βγάζεις ἀπ' αὐτὰ
καὶ στὰ πιὸ πάνω ὕψη λαμπροὺς μέσα στὸ φῶς μαζί σου
μᾶς ἀνεβάζεις καὶ μᾶς κάνεις ἀπὸ θνητοὺς ἀθάνατους.
Καὶ μένοντας ὅ,τι εἴμαστε, γιοὶ μὲ τὴ χάρη σου
γινόμαστε ὅμοιοι μ' ἐσένα, θεοὶ τὸ Θεὸ θεωρώντας.
Ποιός σ' ἐσένα τὸ μόνο φιλάνθρωπο δὲ θὰ προστρέξει

---

80. Ὁ στίχος ἐπαναλαμβάνει μιὰ διατύπωση τοῦ Διονύσιου τοῦ Ἀρεοπαγίτη.

87. Ἡ μεγάλη δίψα τοῦ μυστικοῦ εἶναι νὰ δεῖ τὸ Θεό, νὰ τὸν χορτάσει βλέποντάς τον.

τίς οὐκ ἀκολουθήσει σοι, τίς οὐκ ἐκ πόθου φράσει·
Ἰδού, τὰ πάντα ρίψαντες ἀκολουθήσομέν σοι,
τῷ συμπαθεῖ, τῷ προσηνεῖ, τῷ εὐσπλάγχνῳ Δεσπότῃ,
τῷ τὴν ἡμῶν ἐπιστροφὴν ἀεὶ ἐκδεχομένῳ,
τῷ θάνατον μὴ θέλοντι τῶν σοὶ προσκεκρουκότων,
τῷ ἐν ἡμῖν τὰ φοβερὰ νῦν τελεσιουργοῦντι,
ἅπερ ποτὲ ἀκούοντες ἐν οἴκῳ Δαυὶδ πάλαι
γενόμενα θαυμάζομεν! –Τὰ δ' ἂν καὶ εἶεν ταῦτα·
οἶκος Δαυὶδ ἡμεῖς ἐσμεν ὡς συγγενεῖς ἐκείνου,
καὶ γὰρ αὐτὸς σὺ γέγονας, ὁ τῶν ἁπάντων κτίστης,
υἱὸς ἐκείνου, καὶ ἡμεῖς υἱοί σου κατὰ χάριν·
σὺ συγγενὴς ἡμῶν σαρκί, ἡμεῖς θεότητί σου.
Λαβὼν γὰρ σάρκα δέδωκας ἡμῖν Πνεῦμά σου θεῖον,
καὶ οἶκος εἷς γεγόναμεν Δαυίδ, οἱ πάντες ἅμα,
τῇ ἰδιότητι τῇ σῇ, τῇ πρὸς σὲ συγγενείᾳ.
Κύριος οὖν σὺ τοῦ Δαυὶδ ἐν Πνεύματι τυγχάνεις,
ἡμεῖς δὲ τέκνα τοῦ Δαυίδ, σπέρμα θεῖόν σου πάντες·
συναγομένων τε ἡμῶν εἷς γινόμεθα οἶκος,
τουτέστι πάντες συγγενεῖς, ἀδελφοί σου οἱ πάντες
Καὶ πῶς οὐ θαῦμα φοβερόν, ἢ πῶς οὐ φρίξει πᾶς τις,
ὁ τοῦτο ὅλως ἐννοῶν, τοῦτο καταμανθάνων,
ὅτι ὑπάρχεις μεθ' ἡμῶν νῦν καὶ εἰς τοὺς αἰῶνας
καὶ οἶκον ἕκαστον ποιεῖς καὶ ἐνοικεῖς εἰς πάντας
καὶ οἶκος πᾶσι γίνῃ σύ, καὶ ἐν σοὶ ἐνοικοῦμεν,
εἷς, σῶτερ, ἕκαστος ἡμῶν μετὰ σοῦ ὅλος ὅλου,
καὶ μεθ' ἑνὸς ἑκάστου σὺ μόνου μόνος τυγχάνων
καὶ ὑπεράνωθεν ἡμῶν μόνος ὅλος ὑπάρχεις;
Νῦν οὖν ὑπάρχεις τὰ φρικτὰ ἐν ἡμῖν πάντα πράσσων.
Ποῖα φρικτά; –Ἀκούσατε ἐκ τῶν πολλῶν ὀλίγα·
εἰ γὰρ καί, ἃ εἰρήκαμεν, ὑπὲρ ἔκπληξιν πάντα,
ἀλλ' ὅμως ἄρτι ἄκουε φρικτότερα ἐκείνων!
–Μέλη Χριστοῦ γινόμεθα, μέλη Χριστὸς ἡμῶν δέ,

---

111. Ματθ. 19,27. 116. Λουκᾶ 1,69.

καὶ ποιός δὲ θὰ σ' ἀκολουθήσει καὶ δὲ θὰ πεῖ μὲ πόθο:
Ἰδού, ἀπορρίψαμε τὰ πάντα καὶ σ' ἀκολουθήσαμε
τὸ συμπαθή, τὸν καταδεχτικό, τὸν εὔσπλαχνο Δεσπότη,
ποὺ πάντα περιμένεις τὴν ἐπιστροφή μας,
καὶ τὸ θάνατο ὅσων προσκρούουν σ' ἐσένα δὲν ἐπιθυμεῖς,
ἐσένα ποὺ τὰ φοβερὰ μέσα μας τελετουργεῖς,
ποὺ ἀκούοντας κάποτε παλιὰ στὸν οἶκο τοῦ Δαβὶδ
νὰ γίνονται θαυμάζαμε. Κι αὐτὰ μπορεῖ νά 'ναι καὶ τοῦτα·
Τοῦ Δαβὶδ οἶκος μπορεῖ ὡς συγγενεῖς του νὰ εἴμαστε κι ἐμεῖς,
γιατὶ ἔγινες καὶ ὁ ἴδιος, ὁ πλάστης σὺ τῶν ὅλων,
ἐκείνου γιὸς καὶ κατὰ χάρη ἐμεῖς δικοί σου γιοί·
μὲ τὴ σάρκα μας συγγενὴς ἐσὺ κι ἐμεῖς μὲ τὴ θεότητά σου.
Πῆρες τὴ σάρκα μας μᾶς ἔδωσες τὸ θεῖο σου Πνεῦμα
κι ἕνας οἶκος γίναμε τοῦ Δαβίδ, μαζὶ ὅλοι,
μὲ τὴ συγγένειά μας μ' ἐσένα.
Εἶσαι Κύριος τοῦ Δαβὶδ κατὰ πνεῦμα
κι ἐμεῖς παιδιὰ τοῦ Δαβίδ, θεϊκὴ γενιά σου
καὶ ὅταν μαζευτοῦμε ἐμεῖς γινόμαστε ἕνας οἶκος,
μιᾶς ὅλοι δηλαδὴ καταγωγῆς, ὅλοι ἀδελφοί σου.
Καὶ πῶς δὲν εἶναι θαῦμα φοβερό, πῶς δὲ θὰ φρίξει καθένας,
ποὺ κατανοεῖ τοῦτο κατὰ βάθος καὶ συνειδητοποιεῖ,
ὅτι εἶσαι μαζί μας τώρα καὶ στοὺς αἰῶνες,
ὅτι μᾶς κάνεις σπίτι σου καὶ κατοικεῖς σ' ὅλους μας,
καὶ γίνεσαι σπίτι γιὰ ὅλους μας καὶ κατοικοῦμε σ' ἐσένα,
καθένας μας, Σωτήρας μας ἕνας, ἀκέραιος σ' ἐσένα ἀκέραιο
καὶ μὲ καθέναν ἀπὸ μᾶς μόνο μόνος ὑπάρχεις.
Ὑπάρχεις λοιπὸν τώρα κι ὅλα μέσα μας τὰ φρικτὰ τελεῖς.
Ποιά φρικτά; Λίγα ἀκοῦστε ἀπ' τὰ πολλά.
Κι ἂν ὅλα ὅσα σοῦ εἶπα κάθε ἔκπληξη περνοῦν,
ἄκουσε τώρα πιὸ φρικτὰ ἀπὸ ἐκεῖνα!
Μέλη Χριστοῦ γινόμαστε, μέλη ὁ Χριστὸς δικά μας·

---

125. Ματθ. 22,43. 131. Ματθ. 28,20.
141. Α΄ Κορ. 6,15.

καὶ χεὶρ Χριστὸς καὶ ποῦς Χριστὸς ἐμοῦ τοῦ παναθλίου,
καὶ χεὶρ Χριστοῦ καὶ ποῦς Χριστοῦ ὁ ἄθλιος ἐγὼ δέ·
κινῶ τὴν χεῖρα, καὶ Χριστὸς ὅλος ἡ χείρ μου ἔστιν.
–Ἀμέριστον γὰρ νόει μοὶ θεότητα τὴν θείαν!–
Κινῶ τὸν πόδα καί, ἰδού, ἀστράπτει ὡς ἐκεῖνος·
μὴ εἴπῃς, ὅτι βλασφημῶ, ἀλλ' ἀπόδειξαι ταῦτα
καὶ τῷ Χριστῷ προσκύνησον τοιοῦτόν σε ποιοῦντι!
Εἰ γὰρ καὶ σὺ θελήσειας, μέλος αὐτοῦ γενήσῃ,
καὶ οὕτω μέλη ἅπαντα ἑνὸς ἡμῶν ἑκάστου
μέλη Χριστοῦ γενήσονται, καὶ Χριστὸς ἡμῶν μέλη,
καὶ πάντα τὰ ἀσχήμονα εὐσχήμονα ποιήσει
κάλλει θεότητος αὐτὰ κατακοσμῶν καὶ δόξῃ,
καὶ γενησόμεθα ὁμοῦ θεοὶ Θεῷ συνόντες,
ἀσχημοσύνην σώματος ὅλως μὴ καθορῶντες,
ἀλλ' ὅλοι ὅλῳ σώματι Χριστῷ ὁμοιωθέντες,
καὶ μέλος ἕκαστον ἡμῶν ὅλος Χριστὸς ὑπάρξει.
Εἷς γὰρ πολλὰ γινόμενος εἷς ἀμέριστος μένει,
μερὶς ἑκάστη δὲ αὐτὸς ὅλος Χριστὸς ὑπάρχει·
πάντως οὖν οὕτως ἔγνωκας καὶ δάκτυλόν μου Χριστὸν
καὶ βάλανον –οὐκ ἔφριξας, ἢ σὺ καὶ ἐπῃσχύνθης;
Ἀλλὰ Θεός σοι ὅμοιος αἰσχύνῃ γεγονέναι;–
Οὐχὶ ἐκείνῳ ὅμοιος αἰσχύνομαι γενέσθαι,
ἀλλὰ ἐκεῖνον ὅμοιον τοῦ ἀσχήμονος μέλους
ῥηθέντα βλασφημίαν σε εἰπεῖν ὑπενοήθην.–
Κακῶς ἄρα ὑπέλαβες, οὐ γὰρ ἄσχημα ταῦτα!
Μέλη δὲ Χριστοῦ εἰσι κρυπτά, καλύπτονται γάρ,
καὶ κατὰ τοῦτο τῶν λοιπῶν σεμνότερα ὑπάρχει
ὡς πᾶσιν ἀθεώρητα τοῦ κρυπτοῦ κρυπτὰ μέλη,
ἐξ οὗ τὸ σπέρμα δίδοται ἐν συνουσίᾳ θείᾳ,

---

152. Α' Κορ. 12,23–24.
169. Α' Κορ. 12,23.
171. Α' Ἰω. 3,9.

Χέρι ὁ Χριστός, πόδι ὁ Χριστὸς τοῦ πανάθλιου ἐμένα,
κι ὁ ἄθλιος ἐγὼ χέρι Χριστοῦ καὶ Χριστοῦ πόδι πάλι·
κινῶ τὸ χέρι καὶ εἶναι αὐτὸ ὁ Χριστὸς ἀκέραιος
καὶ τὴ θεότητα ἀκομμάτιαστη στὸ νοῦ σου βάλε.
κινῶ τὸ πόδι μου καὶ νὰ ποὺ ἀστράφτει ὅπως ἐκεῖνος.
Μὴν πεῖς πὼς βλαστημῶ, μὰ δέξου ὅ,τι εἶπα
καὶ τὸ Χριστὸ προσκύνησε ποὺ ἔτσι σὲ κάνει.
Καὶ σύ, ἂν θελήσεις, μέλος του θὰ γίνεις
κι ἔτσι τὰ μέλη ὅταν τοῦ καθένα μας
θὰ γίνουν μέλη τοῦ Χριστοῦ ὡς αὐτὸς δικά μας μέλη
κι ὅλα ὅσα ἔχομε ἄσχημα σὲ ὡραῖα θὰ τ' ἀλλάξει
στολίζοντάς τα μὲ τὴν ὀμορφιὰ τῆς θεότητας καὶ τὴ δόξα,
καὶ θεοὶ θὰ γίνομε μαζὶ μὲ τὸ Θεὸ ὄντας ὅλοι μας
καὶ καθόλου πιὰ δὲ θὰ βλέπομε ἄσχημο τὸ σῶμα μας
ἀλλὰ θὰ εἴμαστε ὅλοι ὅμοιοι μὲ ὅλο τὸ σῶμα τοῦ Χριστοῦ
καὶ θὰ εἶναι ὅλος ὁ Χριστὸς μέλος μας ἕνα ἕνα.
Γιατὶ ἐνῶ γίνεται πολλὰ μένει ἀμέριστος πάλι
καὶ κάθε ἕνα μερίδιο εἶναι ὁ Χριστὸς ἀκέραιος.
Ἔτσι πὼς εἶναι δάχτυλο ὁ Χριστός μου ἔνιωσες πάντως
καὶ βάλανος. –Δὲν ἔφριξες, ἢ μήπως κι ἔνιωσες ντροπή;
Ντροπὴ δὲν ἔνιωσε ὁ Θεὸς νὰ γίνει ὅμοιος μὲ σένα
κι ἐσὺ νὰ γίνεις ντρέπεσαι μ' ἐκεῖνον ὅμοιος;–
Ὄχι δὲν ντρέπομαι νὰ γίνω ὅμοιος μ' ἐκεῖνον,
ἀλλὰ σὰν εἶπες ὅμοιον μὲ τὸ μέλος τὸ ἀμελέτητο
ἐκεῖνον, τότε θεώρησα βλαστήμια ὅ,τι εἶπες.
Κακῶς λοιπὸν θεώρησες κι ἄσχημα αὐτὰ δὲν εἶναι!
Εἶναι κρυμμένα μέλη τοῦ Χριστοῦ, γιατὶ καλύπτονται
καὶ κατὰ τοῦτο δικαιοῦνται πιὸ πολλὴ διακριτικότητα,
σὰν κρυμμένα μέλη τοῦ κρυμμένου, ποὺ δὲν ἐκτίθενται σ' ὅλους,
ἀπ' τὸν ὁποῖο τὸ σπέρμα δίνεται σὲ θεία συνουσία,

156. Κατὰ τέτοιο τρόπο καθαγιασμένο τὸ σῶμα μας ἀπαιτεῖ δικαιολογημένα πλήρη τὸ σεβασμό μας. Θὰ ἔλεγε κανεὶς ὅτι ὁ Συμεὼν θέλει νὰ πάει στὸ θέμα αὐτὸ πιὸ πέρα ἀπὸ τὸν ἀπόστολο Παῦλο. (Α΄. Κορ. 6,15 ἑ.).

θεῖον ἐν θείᾳ τῇ μορφῇ φρικτῶς μεμορφωμένον
ἀπὸ θεότητος αὐτῆς ὅλης, ὅλος Θεὸς γάρ,
ὅς συνενοῦται μεθ' ἡμῶν, ὢ φρικτοῦ μυστηρίου!
Καὶ γάμος ὄντως γίνεται, ὁ ἄρρητος καὶ θεῖος·
ἑνὶ ἑκάστῳ μίγνυται, καὶ πάλιν ταῦτα λέξω
ὑφ' ἡδονῆς, καὶ ἕκαστος ἑνοῦται τῷ Δεσπότῃ.
Εἰ οὖν Χριστὸν ἐνεδύσω ὅλον ὅλῃ σαρκί σου,
ἀνεπαισχύντως ἅπαντα νοήσεις, ἅπερ λέγω.
Εἰ δὲ οὐδ' ὅλως ἢ ἐπίβλημα μικρόν, ἀχράντου
χιτῶνος λέγω τοῦ Χριστοῦ, ἐπέβαλες ψυχῇ σου,
ἐν ἱματίῳ παλαιῷ, ἐν ἑνὶ πάντως τόπῳ
ὑπάρχει, καὶ αἰσχύνεσαι τὰ λοιπὰ πάντα μέλη,
τὸ σῶμα κεκτημένος δὲ ρυπαρὸν ὅλον μᾶλλον.
Ἐνδεδυμένος ρυπαρὰ πῶς οὐκ ἐρυθριάσεις;
Ἐμοῦ λαλοῦντος τὰ φρικτὰ περὶ μελῶν ἁγίων
καὶ δόξαν βλέποντος πολλὴν καὶ τὸν νοῦν λαμπομένου
καὶ χαίροντος καὶ σαρκικὸν μηδὲν ἐνθυμουμένου
σὺ μὲν τὰς σάρκας βλέπεις σου τὰς κατερρυπωμένας
καὶ τῷ νοΐ τὰς πράξεις σου διέρχῃ τὰς ἀτόπους,
καὶ ὁ νοῦς σου τούτοις ἀεὶ ὡς σκώληξ ἰλυσπᾶται.
Διὸ προσάπτεις τῷ Χριστῷ κἀμοὶ τὴν σὴν αἰσχύνην
καὶ λέγεις· οὐκ αἰσχύνῃ σὺ περὶ τῶν ἀσχημόνων,
μᾶλλον δὲ εἰς ἀσχήμονα μέλη Χριστὸν κατάγειν;–
Ἐγὼ δὲ πάλιν λέγω σοι· Βλέπε Χριστὸν ἐν μήτρᾳ,
καὶ τὰ ἐν μήτρᾳ νόησον καὶ μήτραν ὑπεκδύντα,
καὶ πόθεν ἐξερχόμενος ὁ Θεός μου διῆλθε!
Καὶ πλεῖόν τι εὑρήσειας, ὑπὲρ ἃ ἐγὼ εἶπον,
ἅπερ καὶ κατεδέξατο εἰς ἡμετέραν δόξαν,
ἵνα μηδεὶς αἰσχύνηται μιμούμενος ἐκεῖνον
μηδέ, ἃ πέπονθε, λαλῶν ἢ καὶ αὐτὸς πανθάνων.
Ἄνθρωπος ὅλος γέγονε καὶ Θεὸς ὅλος ὄντως,
εἷς οὗτος, οὐ μεμέρισται, ἀνὴρ τέλειος πάντως·

---

178. Ρωμ. 13,14. 182. Ματθ. 9,16.

θεῖο μορφωμένο φρικτὰ σὲ θεία μορφὴ
ἀπὸ ὁλάκερη τὴν ἴδια τὴ θεότητα, γιατὶ εἶναι ὅλος ὁ Θεὸς
ποὺ μαζί μας ἑνώνεται, μυστήριο ὅλο φρίκη.
Καὶ πράγματι γίνεται γάμος, ὁ ἄρρητος καὶ θεῖος·
μὲ τὸν καθένα σμίγει καὶ πάλι αὐτὰ θὰ πῶ
μὲ ἡδονή, κι ἑνώνεται καθένας μὲ τὸν Κύριο.
Ἂν λοιπὸν τὸ Χριστὸν ὅλο ντύθηκες σ' ὅλη τὴ σάρκα σου,
χωρὶς ντροπὴ θὰ νιώσεις ὅλα ὅσα λέγω.
Μ' ἂν τίποτα παρὰ ἕνα μικρὸ κομμάτι, τοῦ ἄχραντου
χιτώνα λέγω τοῦ Χριστοῦ, ἔρριξες στὴν ψυχή σου,
πάνω σὲ παλιὸ φόρεμα, σ' ἕνα μονάχα μέρος
ὑπάρχει καὶ ντρέπεσαι γιὰ ὅλα τ' ἄλλα μέλη σου
κι ἔχοντας πιὸ πολὺ ρυπαρὸ τὸ σῶμα σου ὅλο.
Πῶς δὲ θὰ κοκκινίσεις ντυμένος ἔτσι ρυπαρά;
Ἐνῶ σοῦ λέω ἐγὼ τὶς φρικτὲς γιὰ τ' ἅγια μέλη σκέψεις
καὶ βλέπω πολλὴ δόξα κι ὁλόλαμπρος εἶναι ὁ νοῦς μου
καὶ χαίρομαι μὲ δίχως τίποτα στὸ νοῦ μου σαρκικό,
ἐσὺ βλέπεις τὶς σάρκες σου τὶς καταρρυπωμένες
κι ἀναθυμᾶσαι μὲ τὸ νοῦ τὶς ἄτοπές σου πράξεις
καὶ μὲς σ' αὐτὲς ὁ νοῦς σου συστρέφεται σκουλήκι.
Γι' αὐτὸ προσάπτεις στὸ Χριστὸ καὶ σ' ἐμένα τὴν ντροπή σου
καὶ μὲ ρωτᾶς· Δὲν ντρέπεσαι γιὰ τ' ἄσχημα μιλώντας,
καὶ τὸ Χριστὸ σὲ ἀμελέτητα νὰ κατεβάζεις μέλη;
Κι ἐγὼ πάλι σοῦ ἀποκρίνομαι· Κοίταξε τὸ Χριστὸ στὴ μήτρα
σκέψου τὴν κύησή του στὴ μήτρα, τὴν ἔξοδο ἀπ' τὴ μήτρα
καὶ ἀπὸ ποῦ ὁ Θεός μου πέρασε καὶ βγῆκε!
Καὶ πιὸ πολλὰ θὰ βρεῖς ἀπὸ ὅσα ἐγὼ εἶπα,
ποὺ ἐκεῖνος καταδέχτηκε γιὰ τὴ δική μας δόξα,
γιὰ νὰ μὴν ντρέπεται κανένας, ὅταν μιμεῖται ἐκεῖνον
ἢ ἀναφέροντας ὅσα ἔπαθε ἢ καὶ τὰ δικά του πάθη.
Ἔγινε ὡς πέρα ἄνθρωπος κι ἦταν Θεὸς ὡς τώρα
ἕνας καὶ δὲ χωρίζεται σὲ μέρη, τέλειος ἄνδρας

203. Α′ Κορ. 1,13.

ὁ δὲ αὐτὸς Θεός ἐστιν, ὅλος μέλεσιν ὅλοις.
Οὕτως ἐγένετο καὶ νῦν ἐν τοῖς ἐσχάτοις χρόνοις·
ὁ Συμεὼν ὁ ἅγιος, Εὐλαβὴς ὁ Στουδίτης,
οὗτος οὐκ ἐπῃσχύνετο μέλη παντὸς ἀνθρώπου
οὐδὲ γυμνούς τινας ὁρᾶν οὐδὲ γυμνὸς ὁρᾶσθαι·
εἶχε γὰρ ὅλον τὸν Χριστόν, ὅλος αὐτὸς Χριστὸς ἦν,
καὶ μέλη ἅπαντα αὐτοῦ καὶ παντὸς ἄλλου μέλη
καθ' ἓν καὶ πάντα ὡς Χριστὸν οὗτος ἀεὶ ἑώρα
καὶ ἔμενεν ἀκίνητος, ἀβλαβής, ἀπαθής τε,
ὡς ὅλος ὢν Χριστὸς αὐτὸς καὶ Χριστὸν πάντας βλέπων
τοὺς βαπτισθέντας καὶ Χριστὸν ὅλον ἐνδυσαμένους.
Εἰ δὲ γυμνὸς ὑπάρχεις σὺ καὶ σὰρξ σαρκὸς προσψαύσει,
θηλυμανὴς γεγένησαι ὡς ὄνος ἢ ὡς ἵππος,
ἵνα τί καὶ τὸν ἅγιον τολμᾷς ἐνδιαβάλλειν
καὶ βλασφημεῖς εἰς τὸν Χριστόν, τὸν ἡμῖν ἑνωθέντα,
καὶ δόντα τὴν ἀπάθειαν δούλοις αὐτοῦ ἁγίοις;
Καὶ γὰρ νυμφίος γίνεται –ἀκούεις; –καθ' ἑκάστην,
καὶ νύμφαι πάντων αἱ ψυχαί, αἷς ὁ κτίστης ἑνοῦται
κἀκείνῳ πάλιν αὗται δέ, καὶ γίνεται ὁ γάμος
πνευματικῶς, θεοπρεπῶς συμμιγνύμενος ταύταις.
Οὐ φθείρει ὅλως, ἄπαγε, ἀλλ' εἰ καὶ ἐφθαρμένας
λάβοι καὶ ταύταις ἑνωθῇ, εὐθὺς ποιεῖ ἀφθάρτους,
καὶ βλέπουσι τὰ πρότερον φθορᾷ μεμολυσμένα
ἅγια πάντα, ἄφθορα, ὅλως συνουλωμένα.
Τὸν εὔσπλαγχνον δοξάζουσι, ποθοῦσι τὸν ὡραῖον
καὶ τῇ ἀγάπῃ τῇ αὐτοῦ ὅλῃ ὅλαι κολλῶνται,
μᾶλλον δὲ σπέρμα ἅγιον, ὡς εἴπομεν, λαβοῦσαι
Θεὸν ὅλον ἐντὸς αὐτῶν μεμορφωμένον κτῶνται.
Τί οὖν οὐχὶ ἀλήθεια ταῦτά εἰσι, πατέρες;
Οὐχὶ ὀρθῶς ἐξείπομεν περὶ πραγμάτων θείων,
οὐχὶ ἀπαραποίητα ταῖς γραφαῖς ἴσως εἶπον;
Εἰ τοίνυν σὺ ἐνδέδυσαι σαρκός σου τὴν αἰσχύνην

κι εἶναι μαζὶ καὶ Θεός, ὅλος μ' ὅλα τὰ μέλη του.
Ἔτσι ἔγινε καὶ τώρα στὰ στερνὰ αὐτὰ χρόνια
ὁ Συμεὼν ὁ ἅγιος, ὁ Εὐλαβὴς Στουδίτης,
αὐτὸς δὲν ἔνιωθε ντροπὴ γιὰ τὰ μέλη κάθε ἀνθρώπου,
μήτε νὰ βλέπει κάποιους γυμνούς, μήτε γυμνὸ νὰ τὸν βλέπουν.
Εἶχε μέσα του ὅλο τὸ Χριστὸ καὶ ἦταν ὅλος Χριστὸς
κι ὅλα τὰ μέλη ἐκείνου καὶ τὰ μέλη κάθε ἄλλου
ἕνα ἕνα κι ὅλα καθὼς ἔβλεπε πάντοτε τὸ Χριστὸ
καὶ ἀκίνητος παρέμενε, ἀβλαβὴς κι ἀπαθὴς
καθὼς ἦταν ὅλος Χριστὸς κι ὡς Χριστὸ ἔβλεπε τοὺς ἄλλους
ποὺ βαφτιστήκαν καὶ εἶχαν τὸ Χριστὸ φορέσει.
Μ' ἂν γυμνὸς εἶσαι καὶ σάρκα στῆς σάρκας τὸ ἄγγισμα
ἔχεις γίνει σὰν ὄνος ἢ ἄλογο τρελὸς γιὰ τὸ θηλυκό,
γιατὶ καὶ τὸν ἅγιο τολμᾷς νὰ διαβάλεις
καὶ βλασφημεῖς τὸ Χριστὸ ποὺ ἑνώθηκε μαζί μας
κι ἔδωσε τὴν ἀπάθεια στοὺς ἅγιους δούλους του;
Γιατί –ἀκοῦς;– γίνεται κάθε μέρα νυμφίος
καὶ νύμφη οἱ ψυχὲς ὅλων ποὺ μ' αὐτὲς ἑνώνεται ὁ πλάστης
κι αὐτὸς πάλι μ' ἐκεῖνον καὶ γίνεται ὁ γάμος
πνευματικά, καὶ σμίγοντας μ' αὐτὲς θεϊκά.
Δὲν τὶς φθείρει καθόλου, ἄπαγε, ἀλλὰ καὶ φθαρμένες
ἂν τὶς λάβει καὶ μαζί τους σμίξει, μὲ μιὰ τὶς κάνει ἄφθαρτες,
καὶ βλέπουν ὅσα ἡ φθορὰ πιὸ πρῶτα εἶχε μολύνει
ἅγια τὰ πάντα κι ἄφθορα, κι ἀποκαταστημένα τέλεια.
Τὸν εὔσπλαχνο δοξάζουν, τὸν ὡραῖο ποθοῦν
καὶ στὴν ἀγάπη του ὅλη ἀκέραια προσκολλοῦνται,
κι ἀφοῦ πιὸ καλὰ σπέρμα, ὅπως εἴπαμε, ἅγιο δέχτηκαν,
τὸ Θεὸ τέλεια μέσα τους μορφωμένο ἀποχτοῦν.
Γιατί δὲν εἶναι αὐτά, πατέρες μου, ἡ ἀλήθεια;
Ὀρθὰ δὲ μίλησα γιὰ θεῖα πράγματα,
καὶ ἴδια μὲ τὶς Γραφὲς δὲν εἶπα λόγια ἀπαραποίητα;
Ἂν ἐσὺ λοιπὸν φόρεσες τὴν αἰσχύνη τῆς σάρκας σου

216. Ἱερ. 5,8.

καὶ νοῦν οὐκ ἀπεγύμνωσας, ψυχὴν οὐκ ἀπέδυσας,
τὸ φῶς ἰδεῖν οὐκ ἴσχυσας σκότει κεκαλυμμένος,
ἐγώ σοι τί ποιήσαιμι, τὰ φρικτὰ πῶς σοι δείξω,
πῶς εἰς τὸν οἶκον δέ, οἴμοι, τοῦ Δαυὶδ εἰσενέγκω;
Ἔστι καὶ γὰρ ἀπρόσιτος τοῖς κατ' ἐμὲ ῥαθύμοις,
ἔστιν ὅλος ἀόρατος τυφλοῖς ἐμοὶ ὁμοίοις,
ἔστι μακρὰν ἀπίστων τε καὶ ὀκνηρῶν εἰς ἅπαν,
πονηρῶν πάντων πόρρωθεν, πάντων τῶν φιλοκόσμω
τῶν κενοδόξων δὲ οὕτως ἀσυγκρίτως ἀπέχει
ὡς ὑπὲρ ὕψος οὐρανοῦ, ὑπὲρ ἀβύσσου βάθος.
Καὶ τίς ἢ πῶς εἰς οὐρανὸν ἀναβήσεται ὅλως,
ἢ ὑπὸ γῆν κατέλθοι δὲ ἀνερευνῶν ἀβύσσους;
Καὶ μαργαρίτην ἐκζητῶν, ὡς σινάπεως κόκκον
σμικρότατον ὑπάρχοντα, πῶς εὑρεῖν ἐξισχύσει;
Ἀλλ', ὦ παῖδες συνάχθητε, ἀλλ', ὦ γυναῖκες, δεῦτε!
Ἀλλ', ὦ πατέρες, φθάσατε, πρὶν ἢ τὸ τέλος φθάσει,
καὶ σὺν ἐμοὶ θρηνήσατε καὶ κλαύσατε οἱ πάντες,
ὅτι ἐν τῷ βαπτίσματι μικροὶ Θεὸν λαβόντες,
μᾶλλον δὲ υἱοὶ Θεοῦ νήπιοι γεγονότες,
ἔξω οἱ ἁμαρτήσαντες ἐβλήθημεν εὐθέως
ἀπὸ τοῦ οἴκου τοῦ Δαυὶδ καὶ τοῦτο ἀναισθήτως
πεπόνθαμεν, καὶ δράμωμεν διὰ τῆς μετανοίας!
Ἐκεῖθεν γὰρ εἰσέρχονται οἱ ἐκβληθέντες πάντες,
ἄλλως δ' οὐκ ἔνι ἔνδοθεν εἰσελθεῖν, μὴ πλανᾶσθε,
οὐδὲ ἰδεῖν τὰ ἐν αὐτῷ τελεσιουργηθέντα,
καὶ νῦν τελεσιουργούμενα καὶ εἰς ἀπείρους αἰῶνας
ἐν τῷ Χριστῷ μου καὶ Θεῷ, ᾧ πρέπει πᾶσα δόξα,
τιμή τε καὶ προσκύνησις νῦν καὶ εἰς τοὺς αἰῶνας!
Ἀμήν.

καὶ τὸ νοῦ σου δὲ γύμνωσες καὶ τὴν ψυχή σου δὲν ξέντυσες,
τὸ φῶς δὲν μπόρεσες νὰ δεῖς σκότος φορώντας.
Τί νὰ σοῦ κάνω ἐγὼ καὶ τὰ φρικτὰ πῶς νὰ σοῦ δείξω
κι ἀλίμονο πῶς νὰ σὲ μπάσω στοῦ Δαβὶδ τὸν οἶκο;
Εἶναι ἀπλησίαστος γιὰ ὅσους καθὼς ἐγὼ εἶναι ἀδιάφοροι,
ἀόρατος γιὰ ὅσους τυφλοὶ εἶναι ὅπως ἐγώ,
εἶναι πολὺ μακριὰ γιὰ κάθε ἄπιστο κι ὀκνηρό,
πολὺ μακριὰ γιὰ ὅλους τοὺς φαύλους καὶ τοῦ κόσμου φίλους·
καὶ τόσο πιὸ πολὺ μακριὰ γιὰ τοὺς κενόδοξους
πάνω ἀπὸ τὸ ὕψος τοῦ οὐρανοῦ, τὸ βάθος τῆς ἀβύσσου
καὶ ποιός ἢ πῶς θ' ἀνέβει στὰ ὕψη τ' οὐρανοῦ
ἢ πῶς στὴ γῆ θὰ κατεβεῖ τὴν ἄβυσσο νὰ ψάξει;
Καὶ τὸ μαργαριτάρι ἀναζητώντας, ποὺ εἶναι ἀπ' τὸν κόκκο
τοῦ σιναπιοῦ μικρότερο, πῶς θὰ μπορέσει νὰ τὸ βρεῖ;
Παιδιά, κοντά μου ἐλᾶτε· ἐδῶ, γυναῖκες!
πατέρες, σπεύσετε, προτοῦ φτάσει τὸ τέλος,
καὶ μαζί μου θρηνῆστε κι ὅλοι κλάψετε
γιατὶ μικροὶ ὅταν μὲ τὸ βάπτισμα τὸ Θεὸ λάβαμε,
ἢ πιὸ καλὰ ἐνῶ γίναμε νήπια τοῦ Θεοῦ,
ἀμέσως ἔξω πεταχτήκαμε ὅσοι ἁμαρτήσαμε
ἀπὸ τὸν οἶκο τοῦ Δαβὶδ καὶ δίχως νὰ τὸ νιώσομε
τὸ πάθαμε. Μὰ ἂς τρέξομε μὲ τὴ μετάνοια!
Γιατὶ ἀπὸ κεῖ ξαναμπαίνουν ὅλοι ὅσοι διώχτηκαν
ἄλλος νὰ μποῦν δὲν εἶναι τρόπος, μὴ γελιέστε,
καὶ νὰ δοῦν ὅσα μέσα σ' αὐτὸν τελεσιουργήθηκαν
καὶ τώρα τελεσιουργοῦνται καὶ στοὺς ἄπειρους αἰῶνες
στὸ Χριστὸ καὶ Θεό μου. Σ' αὐτὸν ὅλη ἡ δόξα πρέπει,
ἡ τιμὴ καὶ ἡ προσκύνηση τώρα καὶ στοὺς αἰῶνες.
Ἀμήν.

---

247. Ρωμ 10,6·7.
248. Ματθ. 13,31·45.
250. Ἰωὴλ 2,16.
252. Ἰωὴλ 1,5.

ΙΣΤ

Ὅτι ποθεινόν τε καὶ ἐπιθυμητὸν κατὰ φύσιν μόνον τὸ Θεῖον, οὗ ὁ μετέχων πάντων ἐν μετοχῇ γέγονε τῶν καλῶν.

Ὢ τί τὸ πρᾶγμα, τὸ κρυπτὸν πάσῃ κτιστῇ οὐσίᾳ,
καὶ τί τὸ φῶς τὸ νοητόν, ὅ τινι οὐχ ὁρᾶται,
καὶ τίς ὁ πλοῦτος ὁ πολύς, ὃν οὐδεὶς ἐν τῷ κόσμῳ
εὑρεῖν ὅλως ἐξίσχυσεν ἢ κατασχεῖν εἰς ἅπαν;
Ἔστι γὰρ πᾶσιν ἄληπτος, ἀχώρητος τῷ κόσμῳ,
ἔστι καὶ ποθεινότατος ὑπὲρ ἅπαντα κόσμον,
ἔστι καὶ ἐπιθυμητός, καθ' ὅσον ὑπερέχει
τῶν ὁρωμένων ὁ αὐτὰ Θεὸς κατασκευάσας.
Κατὰ τοῦτο τιτρώσκομαι τῇ ἀγάπῃ ἐκείνου·
καθ' ὅσον δ' οὐχ ὁρᾶται μοι, ἐκτήκομαι τὰς φρένας,
τὸν νοῦν καὶ τὴν καρδίαν μου φλεγόμενος καὶ στένων.
Περιπατῶ καὶ καίομαι ζητῶν ὧδε κἀκεῖσε
καὶ οὐδαμοῦ τὸν ἐραστὴν εὑρίσκω τῆς ψυχῆς μου·
καὶ περιβλέπομαι συχνῶς, ἰδεῖν τὸν ποθητόν μου,
κἀκεῖνος, ὡς ἀόρατος, οὐχ ὁρᾶται μοι ὅλως.
Ὅτε δὲ ἄρξομαι θρηνεῖν ὡς ἀπελπίσας, τότε
ὁρᾶται μοι καὶ βλέπει με, ὁ καθορῶν τὰ πάντα·
θαυμάζων καταπλήττομαι κάλλους τὴν εὐμορφίαν,
καὶ πῶς ἀνοίξας οὐρανοὺς διέκυψεν ὁ κτίστης

---

9. Ἆισμα 2,5.
12–15. Ἆισμα 5–6.
14. Μάρκ. 5,32.
19. Πράξ. 7,56 καὶ Ἠσ. 64,1.

12. 'Περιπατῶ καὶ καίομαι' ἀπὸ ἀγάπη πρὸς τὸ Θεὸ εἶναι τὸ νόημα τ

16

Ότι ἡ θεότητα μόνο εἶναι ποθητὴ κι ἐπιθυμητὴ καὶ ὅποιος τὴ μετέχει κατέχει ὅλα τ' ἀγαθά.

Τί νά 'ναι αὐτὸ ποὺ μὲς σ' ὅλη τὴν πλάση κρύβεται;
τί 'ναι τὸ φῶς τὸ νοητὸ ποὺ κανένας δὲ βλέπει,
καὶ ποιός ὁ πλοῦτος ὁ ἄμετρος ποὺ μὲς στὸν κόσμο οὔτ' ἕνας
δὲν μπόρεσε ὅλον νὰ τὸ βρεῖ δικό του νὰ τὸν ἔχει;
Εἶναι ἀπὸ τὰ πάντα ἀσύλληπτος, ἀχώρητος στὸν κόσμο,
τὸ ποθητότερο ἀγαθὸ πάνω ἀπ' τὸν κόσμο ὅλο
κι ἀπὸ ὅλους ἐπιθυμητὸ στὸ μέτρο ποὺ ὑπερέχει
ἀπὸ ὅσα βλέπομε ὁ Θεὸς ποὺ τά 'χει δημιουργήσει.
Γιὰ τοῦτο μὲ πληγώνει ἡ ἀγάπη ἐκείνου·
καὶ νὰ τὸν δῶ ἀφοῦ ἀδυνατῶ μέσα ἡ ψυχή μου λιώνει,
φλόγες τὸ νοῦ καὶ τὴν καρδιά μου πυρπολοῦν, στενάζω.
Τὴ φλόγα μου ἐδῶ κι ἐκεῖ τὴν πάω ἀναζητώντας,
μὰ τῆς ψυχῆς μου πουθενὰ τὸν ἐραστὴ δὲν βρίσκω,
καὶ πάντα βλέπω ὁλόγυρα νὰ δῶ τὸν ποθητό μου,
μ' αὐτὸν ὡς εἶναι ἀόρατος καθόλου δὲν τὸν βλέπω,
κι ὅταν χωρὶς ἐλπίδα πιὰ τὸ θρῆνο μου ἀρχινίσω,
ὁ ποὺ τὰ πάντα καθορᾶ μὲ βλέπει καὶ τὸν βλέπω.
Θάμασμα καὶ κατάπληξη ἀπὸ τὴν ὀμορφιά του
μὲ πιάνει ὅπως ἀνοίγοντας τὰ οὐράνια ὁ κτίστης σκύβει

δεκαπέντε πρώτων στίχων. Θὰ νόμιζε κανένας ὅτι εἶναι ἀπὸ τοὺς στίχους αὐτούς, 12, 13, 15, ποὺ ἔχει ἐμπνευστεῖ ἡ σύγχρονη ποιήτρια (Μελισσάνθη τὸ ποίημά της, 'Οπαδὸς' στὴ συλλογή της 'Η φλεγομένη βάτος' ἐκδ. 1935). Στοὺς ἑπόμενους ὡς τὸ τέλος στίχους μᾶς δίνεται ἡ πλήρωση τοῦ πόθου ἀπὸ τὸ Θεό, καὶ μὲ τί τρόπο! Ὁ ποιητὴς πλέει κυριολεκτικὰ μέσα σὲ θεία ἡδονὴ καὶ γλυκασμό, μέσα στὸ φῶς, γίνεται φῶς ὁ ἴδιος, ξεχειλίζει ἀπὸ ὀμορφιά, πλοῦτο συναισθημάτων, δύναμη καὶ ἀξία.

καὶ δόξαν μοι παρέδειξε, τὴν ἄφραστον καὶ ξένην·
καὶ τίς ἄρα ἐγγύτερον γενήσεται ἐκείνου
ἢ πῶς ἀνενεχθήσεται εἰς ἀμέτρητον ὕψος;
Λογιζομένου μου, αὐτὸς εὑρίσκεται ἐντός μου,
ἔνδον ἐν τῇ ταλαίνῃ μου καρδίᾳ ἀπαστράπτων,
πάντοθεν περιλάμπων με τῇ ἀθανάτῳ αἴγλῃ,
ἅπαντα δὲ τὰ μέλη μου ἀκτῖσι καταυγάζων,
ὅλος περιπλεκόμενος, ὅλος καταφιλεῖ με,
ὅλον τε δίδωσιν αὐτὸν ἐμοί, τῷ ἀναξίῳ,
καὶ ἐμφοροῦμαι τῆς αὐτοῦ ἀγάπης καὶ τοῦ κάλλους,
καὶ ἡδονῆς καὶ γλυκασμοῦ ἐμπίπλαμαι τοῦ θείου.
Μεταλαμβάνω τοῦ φωτός, μετέχω καὶ τῆς δόξης,
καὶ λάμπει μου τὸ πρόσωπον ὡς καὶ τοῦ ποθητοῦ μου
καὶ ἅπαντα τὰ μέλη μου γίνονται φωτοφόρα.
Ὡραίων ὡραιότερος τότε ἀποτελοῦμαι,
πλουσίων πλουσιώτερος καὶ δυνατῶν ἁπάντων
ὑπάρχω δυνατότερος καὶ βασιλέων μείζων
καὶ τιμιώτερος πολὺ τῶν ὁρωμένων πάντων,
οὐχὶ τῆς γῆς καὶ τῶν τῆς γῆς, ἀλλὰ καὶ οὐρανοῦ δὲ
καὶ πάντων τῶν ἐν οὐρανῷ, τὸν πάντων ἔχων κτίστην,
ᾧ πρέπει δόξα καὶ τιμὴ νῦν καὶ εἰς τοὺς αἰῶνας.
Ἀμήν.

σ᾽ ἐμένα, τὴν ἀνέκφραστη δόξα σου δείχνοντάς μου·
ποιός τάχατε μπορεῖ νὰ πάει κοντὰ σ᾽ ἐκεῖνον
καὶ πῶς σὲ ὕψος ἀμέτρητο μπορεῖ φτερὰ ν᾽ ἀνοίξει;
Σκέφτομαι ἐγὼ κι ἐκεῖνος εἶναι ἐντός μου,
στὴ δόλια μου καρδιὰ ἀστραποβολώντας,
μὲ φῶς του τυλίγοντάς με μ᾽ αἴγλη ἀθάνατη·
μὲ τὶς ἀκτίνες του ὅλα μου φωτίζονται τὰ μέλη
ὅλος, περιπλεγμένος πάνω μου μὲ πνίγει στὰ φιλιά του
καὶ στὸν ἀνάξιο ἐμένα ἀκέριος παραδίνεται
στὴν ὀμορφιὰ καὶ στὴν ἀγάπη του βυθίζομαι
καὶ πλημμυρίζω ἀπὸ ἡδονὴ καὶ θεία γλυκύτητα.
Τὸ φῶς του κοινωνῶ, τὴ δόξα του μετέχω,
ἴδια τὸ πρόσωπό μου λάμπει μὲ τοῦ ποθητοῦ μου
καὶ φῶς ὅλα τὰ μέλη μου ἀκτινοβολοῦνε.
Καὶ νά ᾽με ἐγὼ καὶ γίνομαι πιὸ ὡραῖος ἀπ᾽ τοὺς ὡραίους
πιὸ πλούσιος ἀπ᾽ τοὺς πλούσιους κι ἀπὸ τοὺς δυνατοὺς
εἶμαι ἀπ᾽ ὅλους δυνατότερος κι ἀπὸ τοὺς βασιλιάδες
τρανότερος, κι ἀπ᾽ ὅσα βλέπονται πιὸ ἀπ᾽ ὅλα τιμημένος,
ὄχι ἀπ᾽ τὴ γῆ μονάχα καὶ τὰ γήινα παρὰ καὶ τ᾽ οὐρανοῦ
κι ὅλα τὰ οὐράνια, ὅπως κρατῶ τὸν πλάστη ὅλων.
Σ᾽ αὐτὸν ἡ δόξα πρέπει κι ἡ τιμὴ καὶ τώρα καὶ στοὺς αἰῶνες.
Ἀμήν.

32. Ματθ. 17,2.
40. Α΄ Τιμ. 1,17.

ΙΖ

῞Οτι ὁ φόβος γεννᾷ τὴν ἀγάπην, ἡ δὲ ἀγάπη ἐκριζοῖ τὸν φόβον ἀπὸ τῆς ψυχῆς καὶ μένει μόνη ἐν αὐτῇ Πνεῦμα θεῖον οὖσα καὶ ἅγιον.

Πῶς ὑμνήσω, πῶς δοξάσω,
πῶς ἀξίως εὐφημήσω
τὸν πολλὰ παραδραμόντα
ἁμαρτήματα Θεόν μου;
Πῶς εἰς ὕψος ὅλως βλέψω,
πῶς τοὺς ὀφθαλμοὺς διάρω,
πῶς ἀνοίξω στόμα, σῶτερ,
πῶς τὰ χείλη μου κινήσω;
Πῶς ἐκτείνω μου τὰς χεῖρας
πρὸς τοῦ οὐρανοῦ τὸ ὕψος,
ποίους λόγους δὲ ἐφεύρω,
ποῖα ρήματα προσάξω;
Πῶς λαλῆσαι δὲ τολμήσω,
πῶς τὴν ἄφεσιν αἰτήσω
τῶν ἀμέτρων μου πταισμάτων,
τῶν πολλῶν πλημμελημάτων;
῎Οντως ἔπραξα γὰρ ἔργα
ὑπὲρ ἅπασαν συγγνώμην!
Οἶδας ἅπερ λέγω, σῶτερ,
πᾶσαν φύσιν ὑπερέβην
παρὰ φύσιν ἔργα πράξας·
τῶν ἀλόγων ὤφθην χείρων,

1–105. Ἐδῶ τελειώνει τὸ πρῶτο μέρος τοῦ ὕμνου. Ἀφοῦ τονίσει τὴν

17

Ὅτι ὁ φόβος γεννᾶ τὴν ἀγάπη, ἐνῶ ἡ ἀγάπη ξεριζώνει τὸ φόβο ἀπὸ τὴν ψυχὴ καὶ μένει μόνη μέσα σ' αὐτή, ἐπειδὴ εἶναι Πνεῦμα θεῖο καὶ ἅγιο.

Πῶς νὰ ὑμνήσω, νὰ δοξάσω,
πῶς καὶ νὰ ἐπαινέσω ἐπάξια
τὸν ποὺ πολλὰ παραβλέπει
ἁμαρτήματά μου Θεό μου;
Πῶς στὰ οὐράνια νὰ κοιτάξω,
καὶ τὰ μάτια πῶς νὰ ὑψώσω,
πῶς τὸ στόμα, σωτῆρα μου, ν' ἀνοίξω,
πῶς τὰ χείλη νὰ κινήσω;
Πῶς τὰ χέρια μου ν' ἁπλώσω
κατὰ τοῦ οὐρανοῦ τὰ ὕψη,
ποιούς ν' ἀνακαλύψω λόγους
καὶ ποιά ψελλίσματα νὰ σοῦ προσφέρω;
Πῶς νὰ τολμήσω· νὰ σοῦ μιλήσω,
ἄφεση πῶς νὰ ζητήσω
γιὰ τ' ἀμέτρητά μου λάθη
καὶ τὰ σφάλματα τὸ πλῆθος;
Ναί, τὰ ἔργα ποὺ ἔχω πράξει
ξεπερνοῦν κάθε συγγνώμη.
Τί σοῦ λέω, σωτῆρα, ξέρεις,
κάθε πλάσμα ἔχω περάσει
πράττοντας στὴ φύση ἐνάντια.
Νά 'με ἀπ' τ' ἄλογα πιὸ κάτω

ἀναξιότητά του νὰ ὑμνήσει τὸ Θεό, ζητεῖ τὸ ἔλεός του καὶ τὴν ἐμφώλευση μέσ
του τοῦ φόβου τοῦ Θεοῦ, ἀπαραίτητου γιὰ τὴ φύλαξη τῶν ἐντολῶν.

πάντων ζῴων ἐναλίων,
πάντων τε κτηνῶν χερσαίων,
ἑρπετῶν τε καὶ θηρίων
ἐγενόμην ὄντως χείρων
παραβὰς τὰς ἐντολάς σου
ὑπὲρ τὴν ἀλόγων φύσιν.
Τὸ οὖν σῶμά μου μολύνας
καὶ ψυχὴν καταρρυπώσας
πῶς ὀφθῶ σοι, πῶς σὲ βλέψω,
ὅλως πῶς τολμήσω στῆναι
πρὸ προσώπου σου, ὁ τάλας;
Πῶς μὴ φεύξομαι σὴν δόξαν
καὶ τὸ φῶς τὸ ἀπαστράπτον
τοῦ ἁγίου Πνεύματός σου;
Πῶς δὲ μόνος οὐ χωρήσω
πρὸς τὸ σκότος, ὁ τοῦ σκότους
ἔργα πράξας, καὶ ἁγίων
χωρισθήσομαι πληθύος;
Πῶς ἀνέξομαι φωνῆς σου
ἐκπεμπούσης με εἰς σκότος,
ὁ ἐντεῦθεν ἐκ τῶν ἔργων
φέρων μου τὴν καταδίκην;
Φρίττων ὅλος, τρέμων ὅλος,
ὅλος φόβῳ καὶ ἐκπλήξει
συνεχόμενος βοῶ σοι·
Οἶδα, σῶτερ, ὅτι ἄλλος
ὡς ἐγὼ οὐκ ἔπταισέ σοι,
οὐδὲ ἔπραξε τὰς πράξεις,
ἅσπερ ἔπραξα, ὁ τάλας,
καὶ παραίτιος καὶ ἄλλοις
ἐγενόμην ἀπωλείας.
Ἀλλὰ τοῦτο πάλιν οἶδα,
τοῦτο πέπεισμαι, Θεέ μου,
ὡς οὐ μέγεθος πταισμάτων,

πιὸ ἀπ' τῆς θάλασσας τὰ κήτη
κι ἀπὸ ζωντανὰ χερσαῖα,
εἶμαι ἀπ' ἑρπετὰ πιὸ κάτω
κι ἀπὸ τὰ θηρία στ' ἀλήθεια
σὰν τὶς ἐντολές σου πέρ' ἀπ' ὅ,τι
τ' ἄλογα ἔχω παραβεῖ.
Μὲ τὸ σῶμα μολυσμένο
καὶ ψυχὴ ὅλη ρυπωμένη
πῶς μπροστά σου θὰ τολμήσω
νὰ σταθῶ ὁ δυστυχισμένος,
νὰ μὲ δεῖς, νὰ σ' ἀντικρίσω;
Πῶς τὴ δόξα σου ν' ἀντέξω
τὸ φῶς νὰ μὴν ἀποφύγω
τ' ἅγιου Πνεύματος π' ἀστράφτει
θέλοντας, πρὸς τὸ σκοτάδι
πῶς νὰ μὴ βαδίσω, ποὺ ἔργα
σκότους ἔχω πράξει κι εἶμαι
πέρα ἀπ' τῶν ἁγίων τὰ πλήθη;
Πῶς ν' ἀντέξω τὴ φωνή σου
ποὺ στὸ σκότος θὰ μὲ στέλνει
ἐγὼ ποὺ σηκώνω ἐδῶθε
τὴ βαριά μου καταδίκη;
Φρίττω σύγκορμος καὶ τρέμω
καὶ φωνάζω σου γεμάτος
ἀπὸ φόβο κι ἀπὸ τρόμο:
Ξέρω ὅτι, ὅμοιος μου, Σωτήρα,
ἄλλος ἔνοχος δὲν εἶναι,
οὔτε κι ἔπραξε τὶς πράξεις
ποὺ ἔπραξα ὁ δυστυχισμένος
κι ἔγινα καὶ σ' ἄλλους πλῆθος
ἐγὼ ἡ αἰτία τοῦ χαμοῦ τους.
Μὰ καὶ τοῦτο τὸ γνωρίζω
καὶ βαθιὰ πιστεύω, Θεέ μου·
οὔτε τῶν σφαλμάτων ὁ ὄγκος

οὐχ ἁμαρτημάτων πλῆθος,
οὐδὲ πράξεων αἰσχρότης
ὑπερβήσεταί ποτέ σου
τὸ φιλάνθρωπον καὶ μέγα,
μᾶλλον δὲ ὑπὲρ τὸ μέγα,
ὑπὲρ λόγον, ὑπὲρ νοῦν τε
ἔλεος, ὅπερ πλουσίως
πρὸς τοὺς πταίοντας ἐκχέεις
καὶ θερμῶς μετανοοῦντας,
καὶ καθαίρεις καὶ φωτίζεις
καὶ φωτὸς ποιεῖς μετόχους,
κοινωνοὺς θεότητός σου,
ὁμιλεῖς καὶ συλλαλεῖς τε
ὥσπερ φίλοις σου γνησίοις·
ὢ χρηστότητος ἀπείρου,
ὢ ἀγάπης ἀνεκφράστου!
Διὰ τοῦτο καὶ προσπίπτω
καὶ θερμῶς ἀναβοῶ σοι·
ὡς τὸν ἄσωτον ἐδέξω
καὶ τὴν πόρνην προσελθόντας,
οὕτως δέξαι με, οἰκτίρμον,
ἐκ ψυχῆς μετανοοῦντα,
καὶ δακρύων μου ρανίδας
ὡς πηγὰς ἀεὶ βλυζούσας
λογισάμενος, Χριστέ μου,
πλῦνον ἐν αὐταῖς ψυχῆς μου,
πλῦνον καὶ τοῦ σώματός μου
τὰς ἐκ τῶν παθῶν κηλίδας!
Ἔκπλυνον καὶ τὴν καρδίαν
ἀπὸ πάσης πονηρίας!
Αὕτη γάρ ἐστιν ἡ ρίζα
καὶ πηγὴ τῆς ἁμαρτίας·

63–64. Τίτ. 3,6. 68. Β' Πέτρ. 1,4.

οὔτε ἁμαρτημάτων πλῆθος
κι οὔτε ἡ αἰσχρότητα ὅποιων ἔργων
θά 'ναι ἀπ' τὴ φιλανθρωπία
σου πιὸ πάνω καὶ τὸ μέγα,
μᾶλλον πιότερο ἀπὸ μέγα,
κι ἀπὸ νοῦ καὶ λόγο ἐπάνω
τὸ ἔλεός σου ποὺ σκορπίζεις
πλούσια σ' ὅλους ποὺ ἔχουν φταίξει
καὶ μὲ δάκρυα μετανοιώνουν·
καὶ καθαίρεις καὶ φωτίζεις
καὶ μὲ φῶς τοὺς πλημμυρίζεις
καὶ μὲ τὴ θεότητά σου
καὶ συνομιλᾶς μαζί τους
ὡς μ' ἀληθινούς σου φίλους.
Ἄμετρή σου ἡ καλοσύνη,
κι εἶναι ἀνείπωτή σου ἡ ἀγάπη!
Καὶ γιὰ τοῦτο σοῦ προσπέφτω
καὶ μὲ θέρμη σοῦ φωνάζω·
Ὅπως δέχτηκες σὰν ἦρθε
ὁ ἄσωτος κι ἄλλοτε ἡ πόρνη,
Εὔσπλαχνε, δέξου κι ἐμένα
ποὺ μετανοῶ ἀπ' τὰ βάθη
τῆς ψυχῆς μου καὶ τὰ δάκρυα
ποταμοὺς λογάριασέ τα
ποὺ κυλοῦν, Χριστέ, συνέχεια.
Σ' αὐτοὺς μέσα τῆς ψυχῆς μου
καὶ τοῦ σώματός μου πλύνε
τὶς κηλίδες ἀπ' τὰ πάθη.
Ἀπὸ κάθε πονηρία
ξέπλυνε καὶ τὴν καρδιά μου.
Γιατὶ ἡ ρίζα εἶν' ἡ κακία
καὶ ἡ πηγὴ τῆς ἁμαρτίας·

69–70. Ἔξ. 33,11. 75. Λουκᾶ 15,11 ἑ. 76. Λουκᾶ 7,37 ἑ.

πονηρία τοῦ σπορέως
πονηροῦ σπορὰ ὑπάρχει.
Ἔνθα δ' ἔστι, καὶ βλαστάνει
καὶ εἰς ὕψος ἀναβαίνει
καὶ ἐκφύει πλείστους κλάδους
πονηρίας καὶ κακίας.
Τούτου ρίζας ἐκ βαθέως
ἐξανάσπασον, Χριστέ μου,
καὶ καθάρισον ψυχῆς μου
καὶ καρδίας τὰς ἀρούρας
καὶ ἐμφύτευσον τὸν φόβον
ἐν αὐταῖς, τὸν σόν, οἰκτίρμον,
καὶ ἀξίωσον ριζῶσαι
καὶ καλῶς ἀναβλαστῆσαι,
ὅπως αὐξηθῇ εἰς ὕψος
φυλακῇ τῶν ἐντολῶν σου
προστιθέμενος καθ' ὥραν!
Τῇ προσθήκῃ δὲ δακρύων
προστιθεὶς ροὰς βλυζούσας,
ποτιζόμενος δ' ἐκ τούτων
ἐπὶ πλεῖον καὶ αὐξάνει
καί, καθ' ὅσον στερεοῦται,
καὶ εἰς ὕψος ἀναβαίνει.
Ἀναλόγως συναυξάνει
ἡ ταπείνωσις τῷ φόβῳ,
ταπεινώσει δὲ τὰ πάθη
ἅπαντα ὑποχωροῦσι·
σὺν αὐτοῖς δὲ καὶ δαιμόνων
ἀπελήλαται ἡ φάλαγξ,
ἀρεταὶ δὲ πᾶσαι ὥσπερ

89–94. Ματθ. 13,24 ἑ.

106–507. Ὁ Συμεὼν προσδιορίζει τὴ θετικὴ ἐπίδραση τοῦ φόβου στὶς ἀ

ἡ κακία τοῦ σπορέα
ἡ σπορὰ τοῦ Πονηροῦ εἶναι.
Κι ἀπὸ ἐκεῖ εἶναι ποὺ βλασταίνει
καὶ ἀνεβαίνει καὶ ψηλώνει
καὶ πετάει κλαδιὰ καὶ κλώνους
πάμπολλους κάθε κακίας.
Τοῦ κακοῦ, Χριστέ, τὶς ρίζες
ἀπ' τὰ βάθη ἀπόσπασέ τες
κι ἀπ' τὰ ἀγκάθια ἀπάλλαξέ τα
τῆς ψυχῆς μου τὰ χωράφια.
Φύτεψε σ' αὐτὰ τὸ φόβο
τὸ δικό σου, εὔσπλαχνε Θεέ μου,
κάν' τὸν ἄξιο νὰ ριζώσει,
δυνατοὺς βλαστοὺς νὰ βγάλει,
νὰ τρανέψει, νὰ ψηλώσει,
κάθε σου ἐντολὴ τηρώντας
μεγαλώνοντας ὁλοένα,
καὶ προσθέτοντας καὶ δάκρυα
ροὲς π' ἀδιάκοπα κυλοῦνε,
πίνοντας δροσιὰ ἀπὸ τοῦτα
περισσότερο τρανεύει,
κι ὅσο πιὸ πολὺ μεστώνει,
τόσο πιὸ ψηλὰ ἀνεβαίνει.
Μὲ τὸ φόβο μεγαλώνει
κι ἡ ταπείνωση ἀπὸ δίπλα
καὶ σ' αὐτὸν μὲ μιὰ τὰ πάθη
σκύβουν ὅλα ὑποχωρώντας
καὶ μαζὶ κι ἡ φάλαγγα ὅλη
παίρνει δρόμο τῶν δαιμόνων.
Καὶ τὸ θέαμα νὰ τ' ὡραῖο

λες ἀρετὲς καὶ τὴν ἀρνητικὴ στὰ πάθη, καὶ παρουσιάζει τὸ ἄνθος καὶ τοὺς καρποὺς τοῦ φόβου ποὺ εἶναι ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ στοὺς ὁποίους ἐπιμένει σχολιάζοντας τὸ χωρίο τοῦ Ἰωάννη «ἡ ἀγάπη ἔξω βάλλει τὸν φόβον» (Α΄ Ἰω. 4,18) καὶ στὴ συνέχεια ἐμπνεόμενος ἀπὸ τὴν Α΄ πρὸς Κορινθίους κεφ. 13.

βασιλίδι κύκλῳ ταύτης
συνεπόμεναι ὁρῶνται,
οἷα φύλακες καὶ φίλαι
καὶ θεράπαιναι δεσποίνης.
Τούτων συναθροισθεισῶν δὲ
καὶ ἑνωθεισῶν ἀλλήλαις,
μέσον τούτων ὥσπερ δένδρον
εἰς ὑδάτων διεξόδους
φόβος σὸς πεφυτευμένος
ἐξανθεῖ καὶ κατ' ὀλίγον
δείκνυσί μοι ξένον ἄνθος.
Ὦ Χριστέ μου, ξένον ἄνθος!
Ξένον εἶπον, ὅτι πᾶσα
φύσις κατὰ γένος τίκτει
καὶ τῶν δένδρων πάντων σπέρμα
κατὰ γένος ἐν ἑκάστῳ·
ὁ δὲ φόβος σου καὶ ἄνθος
ξένης φύσεως δεικνύει
καὶ καρπὸν ὁμοίως ξένον
καὶ ἀλλότριον ἐκείνου.
Ἔστι γὰρ ὁ φόβος φύσει
κατηφείας πεπλησμένος
καὶ τοὺς τοῦτον κτησαμένους
ἀεννάως σκυθρωπάζειν
ἀπεργάζεται ὡς δούλους,
ὡς πολλῶν πληγῶν ἀξίους,
ὡς ἐλπίζοντας καθ' ὥραν
ἐκτομὴν τὴν τοῦ θανάτου
καὶ τὸ δρέπανον ὁρῶντας
καὶ τὴν ὥραν ἀγνοοῦντας
καὶ μὴ ἔχοντας ἐλπίδα,
μήτε μὴν πληροφορίαν
συγχωρήσεως τελείας,

---

144. Λουκᾶ 12,48. 147. Ἀποκ. 14,15.

σὰ βασίλισσα ἕνα γύρο
οἱ ἀρετὲς ἀκολουθοῦνε,
φύλακες μαζὶ καὶ φίλες
τῆς κυρᾶς θεραπαινίδες,
κι ὅταν ὅλες μαζευτοῦνε
κι ἑνωθοῦν μιὰ μὲ τὴν ἄλλη,
ἀνθεῖ ἀνάμεσά τους ὅπως
δέντρο σὲ νερῶν ἀνάβρες
βαθιοφύτρωτος ὁ φόβος
ὁ δικός σου καὶ μοῦ δείχνει
ἄνθος ξένο λίγο λίγο.
Ὦ Χριστέ μου, ναί, ἄνθος, ξένο!
Ξένο λέω, γιατὶ ὅλη ἡ φύση
κατὰ τὸ εἶδος της καρπίζει
καὶ ὅλων τῶν δέντρων ὁ σπόρος–
ὅπως τὸ εἶδος τους τὸν θέλει.
Ἐνῶ ὁ φόβος ὁ δικός σου
καὶ λουλούδι βγάζει ξένο
καὶ καρπὸ παρόμοια ξένο
κι᾿ ἄλλο ὁλότελα ἀπ᾿ τὸν ἴδιο.
Εἶναι ὁ φόβος βλέπω πάντα
ἀπὸ κατσουφιὰ γεμάτος
κι ὅποιων τὴν ψυχὴ γεμίζει
σκυθρωποὺς τοὺς κάνει νά ᾿ναι
ἀκατάπαυστα σὰν δοῦλοι,
γιὰ πολλὲς πληγὲς ποὺ εἶν᾿ ἄξιοι
καὶ κάθε ὥρα περιμένουν
τότε νὰ τοὺς πάρει ὁ χάρος
κι ἐνῶ βλέπουν τὸ δρεπάνι,
ἀγνοοῦν τὴν ὥρα ὡστόσο
οὔτε ἔχουν καμιὰν ἐλπίδα,
οὔτε καὶ πληροφορία
γιὰ συγχώρεσή τους τέλεια.

148. Ματθ. 25,13 καὶ Ἀποκ. 3,3.

ἀλλὰ τρέμοντας τὸ πέρας,
ἀλλὰ φρίττοντας τὸ τέλος
ὡς ἀμφίβολον τῆς δίκης
περιφέροντας ἐκείνης
τὴν ἀπόφασιν, Θεέ μου.
Τὸ γοῦν ἄνθος, ὅπερ φέρει,
ἄφραστον τῷ εἴδει πέλει,
ἀφραστότερον τῷ τρόπῳ·
ἐξανθοῦν γὰρ καθορᾶται,
ἀποκρύπτεται δ' εὐθέως,
ὅπερ φύσεως οὐκ ἔστιν,
ἀλλ' οὐδὲ ἀκολουθίας,
ὑπὲρ φύσεως δὲ φύσιν,
πᾶσαν φύσιν ὑπεραῖρον.
Τέως δείκνυται ὡραῖον
ἄνθος ὑπὲρ πάντα λόγον
καὶ ἁρπάζει πρὸς τὴν θέαν
τὴν ἐκείνου ὅλον νοῦν μου,
μηδενὸς ἐῶν μεμνῆσθαι,
ἃ παρέχειν οἶδε φόβον,
ἀλλὰ λήθην τούτων πάντων
ἀπεργάζεταί μοι τότε
καὶ ἀφίπταται συντόμως.
Τὸ δὲ δένδρον, τὸ τοῦ φόβου
πάλιν ἄνθους ἔστι δίχα,
καὶ λυποῦμαι καὶ στενάζω
καὶ πρὸς σὲ θερμῶς κραυγάζω
καὶ τὸ ἄνθος πάλιν βλέπω
ἐν τοῖς κλάδοις τοῖς τοῦ δένδρου
καὶ τὸ ὄμμα, ὦ Χριστέ μου,
πρὸς τὸ ἄνθος μόνον ἔχων
οὐχ ὁρῶ το δένδρον τότε.
Συχνοτέρως δὲ τὸ ἄνθος
ἐπανθοῦν καὶ πρὸς ἐκεῖνο

Μὰ τὸ τέρμα τοὺς τρομάζει,
γιὰ τὸ τέλος νιώθουν φρίκη,
γιατὶ περιφέρουν, Θεέ μου,
τὴν ἀπόφαση τῆς δίκης
ἄκριτη κι ὅλη φοβέρα.
Καὶ τοῦ φόβου τὸ λουλούδι
πῶς νὰ πεῖς τὴν ὀμορφιά του
καὶ πιὸ ἀνείπωτος ὁ τρόπος·
μιὰ ὁλάνοιχτο τὸ βλέπεις
καὶ μὲ μιὰ χάνεται πάλι.
Μὲς στὴ φύση αὐτὸ δὲν εἶναι
μήτε φυσικὴ ἡ σειρά του·
φύση ὑπέρτερη εἶναι τοῦτο,
ξεπερνᾶ τὴν κάθε φύση.
Τώρα φαίνεται πανώριο
λούλουδο πέρα ἀπὸ λόγο
καὶ μοῦ κλέβει ὅλο τὸ νοῦ μου
νὰ τὸ βλέπω θαμπωμένος.
Δὲν ἀφήνει νὰ θυμοῦμαι
τίποτε ποὺ φόβο φέρνει,
μὰ μὲ κάνει νὰ ξεχάσω
ὅλα τοῦτα καὶ γοργὰ
φτερουγάει τότε μακριά μου
κι ἔμεινε μὲ δίχως ἄνθος
πάλι τὸ δέντρο τοῦ φόβου·
καὶ λυποῦμαι καὶ στενάζω
κι ὡς κραυγὴ θερμὴ σοῦ στέλνω
βλέπω πάλι τὸ λουλούδι
πάνω στὰ κλαδιὰ τοῦ δέντρου,
κι ἔχοντας, Χριστέ, τὸ βλέμμα
μόνο στ' ἄνθος καρφωμένο
χάνω τὸ δεντρὶ ἀπ' τὰ μάτια
κι ὅσο τὸ ἄνθος λουλουδίζει
πιὸ συχνὰ καὶ πρὸς ἐκεῖνο

ὅλον με τῷ πόθῳ ἕλκον
εἰς καρπὸν ἀγάπης λήγει.
Ὁ καρπὸς δὲ οὗτος πάλιν
οὐκ ἀνέχεται τῷ δένδρῳ
τῷ τοῦ φόβου βασταχθῆναι,
ἀλλὰ μᾶλλον ὅτε πλήρης
ὡριμάσει, τότε μόνος
δίχα δένδρου καθορᾶται.
Φόβος γὰρ ἐν τῇ ἀγάπῃ
οὐχ εὑρίσκεται οὐδ' ὅλως,
οὐδὲ πάλιν δίχα φόβου
ἐν ψυχῇ καρποφορεῖται.
Ὄντως θαῦμα ὑπὲρ λόγον,
ὑπὲρ ἔννοιαν δὲ πᾶσαν,
ὅτι δένδρον μετὰ κόπου
ἐξανθεῖ καὶ καρποφορεῖ,
ὁ καρπὸς αὐτοῦ δὲ πάλιν
ὅλον ἐκριζοῖ τὸ δένδρον,
μένει δ' ὁ καρπὸς καὶ μόνος.
Πῶς καρπὸς τοῦ δένδρου δίχα,
ὅλως ἐξειπεῖν οὐκ ἔχω·
τέως μένει, τέως ἔστιν
ἡ ἀγάπη δίχα φόβου
τοῦ αὐτὴν ἀποτεκόντος.
Ἡ ἀγάπη οὖν ὑπάρχει
ὄντως πᾶσα εὐφροσύνη,
καὶ χαρᾶς καὶ θυμηδίας
ἐμπιπλᾷ τὸν κεκτημένον
καὶ τοῦ κόσμου ἐν αἰσθήσει
τοῦτον ἔξωθεν ἐκβάλλει,
ὅπερ φόβος οὐκ ἰσχύει
ἀπεργάσασθαι οὐδ' ὅλως.
Ἔνδον γὰρ τῶν ὁρωμένων
καὶ τῶν αἰσθητῶν ὢν ἔνδον

σκλάβο ὁ πόθος μου μὲ σέρνει,
δένει ἡ ἀγάπη τὸν καρπό της.
Μὰ καὶ πάλι ἀδύνατο εἶναι
τοῦτος ὁ καρπὸς νὰ μείνει
στὸ δέντρο τοῦ φόβου ἐπάνω
τὸ σωστὸ εἶναι, ὅταν τέλεια
ὡριμάσει τότε μόνο,
δίχως δέντρο πιὰ τὸν βλέπεις.
Γιατὶ ὁ φόβος στὴν ἀγάπη
δὲν ὑπάρχει πιὰ καθόλου
κι οὔτε πάλι δίχως φόβο
μέσα στὴν ψυχὴ γεννιέται.
Θαῦμα ἀλήθεια ποὺ τὸ λόγο
ξεπερνᾶ καὶ κάθε σκέψη·
ἕνα δέντρο ποὺ μὲ κόπο
ἄνθος καὶ καρπὸ μᾶς δίνει
κι ὁ καρπὸς τοῦ δέντρου πάλι
τὸ ἀφανίζει ἀπὸ τὴ ρίζα
κι ὁ καρπὸς μένει μονάχος.
Πῶς καρπὸς μὲ δίχως δέντρο
γίνεται, νὰ πῶ δὲν ξέρω.
Τώρα μένει πιὰ καὶ ὑπάρχει
ἡ ἀγάπη δίχως φόβο,
ὅπου στάθηκε γονιός της.
Ζωντανὴ λοιπὸν ἡ ἀγάπη
καὶ ἀληθινὴ εὐφροσύνη
καὶ χαρὰ καὶ ψυχῆς τέρψη
ξεχειλίζει ὅποιον τὴν ἔχει
καὶ τὸν βγάζει ἀπὸ τὸν κόσμο,
ἐνῶ ἀκόμα εἶναι στὸ σῶμα,
καὶ ποὺ αὐτὸ δὲν ἔχει ὁ φόβος
δύναμη γιὰ νὰ τὸ κάνει.
Σ' ὅσα βλέπομε ἀφοῦ ὑπάρχει
καὶ στὰ αἰσθητὰ εἶναι μέσα,

πῶς τὸν ἔχοντα ἰσχύει
τούτων πόρρῳ βάλλειν ἆρα,
ἐν αἰσθήσει τε συνάψαι
ὅλον ἂν τοῖς ἀοράτοις;
῞Οντως οὐδαμῶς ἰσχύσει!
Τὸ δὲ ἄνθος, ὁ καρπός τε,
ὃν ὁ φόβος ἀποτίκτει,
ἔξωθεν τοῦ κόσμου ἔστιν,
ἃ καὶ νοῦν ἁρπάζειν οἶδε
καὶ ψυχὴν σὺν τούτῳ αἴρειν
καὶ τοῦ κόσμου ἔξω βάλλειν.–
Πῶς, εἰπέ μοι, ἔξω κόσμου
ἡ ἀγάπη ταῦτα βάλλει;
ἤθελον σαφῶς εἰδέναι–.
῎Αφραστα, ὡς εἶπον, ταῦτα,
ὅμως πρόσεχε καὶ λέξω·
Πνεῦμα θεῖον ἡ ἀγάπη,
παντουργὸν φῶς καὶ φωτίζον,
πλὴν οὐκ ἔστιν ἐκ τοῦ κόσμου,
οὐδὲ ὅλως τι τοῦ κόσμου,
οὐδὲ κτίσμα· ἄκτιστον γὰρ
καὶ κτισμάτων πάντων ἔξω,
ἄκτιστον κτιστῶν ἐν μέσῳ.
Νόει ἅ σοι, τέκνον, λέγω!
῎Εστι γὰρ κεχωρισμένον,
τὸ δὲ ἄκτιστον οὐδέπω
κτίσμα δέχεται γενέσθαι·
πλὴν εἰ βούλοιτο, καὶ τοῦτο
δυνατὸν αὐτῷ ποιῆσαι.
Γέγονε καὶ γὰρ ὁ λόγος
Πνεύματος τῇ συνεργίᾳ
καὶ Πατρὸς τῇ εὐδοκίᾳ

---

236 κ.ἑ. Ἡ ἑρμηνεία τῆς ἀγάπης ἀπὸ τὸ Συμεὼν ποὺ τῆς δίνει ἀπεριόριστη ἔκταση.

πῶς μπορεῖ τὸ φοβισμένο
νὰ τὸν βγάλει ἀπὸ ὅλα τοῦτα
καὶ νὰ τὸν συνδέσει ἀκέριο
μὲ ὅσα δὲν μπορεῖ νὰ δοῦμε;
Δὲν μπορεῖ καθόλου, ἀλήθεια,
καὶ τὸ ἄνθος κι ὁ καρπός του
ποὺ τοῦ φόβου εἶναι γεννήματα
κι εἶναι ἀπὸ τὸν κόσμον ἔξω,
ποὺ τὸ νοῦ ν' ἁρπάζουν ξέρουν
καὶ μαζί του νὰ σηκώνουν
τὴν ψυχὴ ἔξω ἀπ' τὸν κόσμο,
πές μου πῶς ἔξω ἀπ' τὸν κόσμο
ἡ ἀγάπη αὐτὰ τὰ βγάζει,
θέλω καθαρὰ νὰ ξέρω.
Ἄφραστα πῶς τὰ εἶπα τοῦτα
πρόσεξε, θὰ σοῦ ἐξηγήσω·
Εἶναι ἡ ἀγάπη Πνεῦμα θεῖο
παντουργὸ φῶς ποὺ φωτίζει,
μὰ ἀπ' τὸν κόσμο αὐτὸν δὲν εἶναι
οὔτε κάτι ἀπ' τὰ τοῦ κόσμου
οὔτε κτίσμα· ἀλλ' ἄκτιστο εἶναι
ἄλλο ἀπὸ τὰ κτίσματα ὅλα
ἄκτιστο στὰ κτιστὰ μέσα.
Νιῶσε ὅ,τι σοῦ λέω, παιδί μου.
Εἶναι χωρισμένο ἀπ' τ' ἄλλα
κι ὅ,τι εἶναι ἄκτιστο ποτέ του
κτίσμα νὰ γενεῖ δὲ θέλει.
Μὰ εἶναι δυνατὸ καὶ τοῦτο
νὰ τὸ κάνει, ἂν τὸ θελήσει.
Ἔγινε ἄνθρωπος ὁ Λόγος,
συνεργώντας τ' ἅγιο Πνεῦμα
κι εὐδοκῶντας ὁ Πατέρας,

ἄνθρωπος ἀτρέπτως ὅλος,
ἄκτιστος Θεὸς ὢν φύσει
γέγονε κτιστὸς ἀρρήτως
καὶ τὸ πρόσλημμα θεώσας
ἔδειξε διπλοῦν μοι θαῦμα
ἀμφοτέραις ἐνεργείαις
καὶ θελήσεσιν ὡσαύτως·
ὁρατὸν ἀόρατόν τε,
κρατητὸν καὶ ἀκράτητον,
καὶ δεικνύμενος ὡς κτίσμα
τῶν κτισμάτων μέσον πάντων·
ὡς οὐ κτίσμα δὲ τυγχάνων,
ὡς ἐδόκουν, ἠφαντοῦτο·
πλὴν οὐδ' ὅλως ἠφαντοῦτο,
ἀλλ' ἐν μέσῳ ὢν τῶν πάντων
αἰσθητῶν κτιστῶν ὁ λόγος
ἑωρᾶτο συνημμένος
τῷ προσλήμματι ὡς κτίσμα.
Προσλαμβάνων δὲ τὸ κτίσμα
καὶ ἐγκρύπτων ἢ ἀνάγων
εἰς τὸ ὕψος, εἰς τὴν δόξαν
τὴν οἰκείαν ὑπὲρ λόγον,
ἀπεκρύπτετο εὐθέως.
Τοῦτο ἔλεγον ἐκεῖνοι
ἀφαντοῦσθαι τὸν Δεσπότην,
τὸ καθ' ἑαυτοὺς δὲ πάντως·
ὁ γὰρ κτίστης τῶν ἁπάντων
ὢν ἀχώρητος τοῖς πᾶσιν,
ὡς Θεὸς πάντα πληρῶν δέ,
πῶς ἂν ἄλλως γε κρυβείη;
Μεταστήσεις ἀπὸ τόπου
τὸν Δεσπότην καὶ πρὸς ἄλλον

264–276. Λουκᾶ 24,31.

κι ἄτρεπτος στὴ φύση μένει,
Θεὸς ἄκτιστος κι ἂς εἶναι
γίνεται ἄρρητα ἕνα κτίσμα,
κι ἀφοῦ θέωσε ὅ,τι πῆρε
διπλὸ μοῦ προβάλλει θαῦμα,
ποὺ διπλὲς ἐνέργειες ἔχει
ὅπως καὶ θελήσεις δύο.
Τὸ κοιτᾶς κι ἀόρατο εἶναι,
τὸ κρατᾶς μὰ δὲν κρατιέται
κι ἑνῶ φαίνεται σὰν κτίσμα
μὲς στὴ μέση τῶν κτισμάτων·
ἀλλὰ ἀφοῦ δὲν ἦταν κτίσμα
νόμιζαν ἀφανιζόταν·
μ' αὐτὸς δὲν ἀφανιζόταν.
Μὰ τὸ Λόγο μέσα σὲ ὅλα
τὰ αἰσθητὰ καὶ τὰ κτισμένα
τὸν ἀντίκρυζες σὰν κτίσμα
μὲ τὸ πρόσλημμα ἑνωμένο.
Προσλαμβάνοντας τὸ κτίσμα
τό 'κρυβε εἴτε καὶ στὸ ὕψος
τὸ ἀνέβαζε ὑπερλόγου
πρὸς τὴ δόξα τὴ δική του
ὅπου ἀμέσως ἐκρυβόταν.
Τοῦτο τὄλεγαν ἐκεῖνοι
πὼς ὁ Κύριος μας χανόταν·
ἔτσι ἐλέγαν μὲ τὸ νοῦ τους.
Ὁ δημιουργὸς τῶν πάντων
ποὺ δὲν τὸν χωροῦν τὰ πάντα
κι ὡς Θεὸς πληρῶν τὰ πάντα
πῶς ἀλλιῶς θὲ νὰ κρυβόταν;
Τὸ Δεσπότη ἀπὸ ἕνα τόπο
τὸν μετακινεῖς καὶ σ' ἄλλον

255. Τὸ πρόσλημμα, ἡ ἀνθρώπινη φύση (σάρκα), ποὺ ἔλαβε ὁ Χριστὸς-Λόγος κατὰ τὴν ἐνσάρκωσή του.

τόπον δώσεις γεγονέναι
καὶ ἐξ ὀφθαλμῶν κρυβῆναι
τῶν ἁγίων ἀποστόλων;
Ἄπαγε, μὴ ἐξ ἀγνοίας
περιπέσῃς βλασφημίᾳ!
Ἄκουε δὲ τῆς ἀγάπης,
εἰ βούλει, τὰς ἐνεργείας
καὶ μαθήσῃ, πῶς ὑπάρχει
μείζων πάντων ἡ ἀγάπη!–
Ποίων πάντων; –Οὐκ ἀκούεις
βοῶντος τοῦ ἀποστόλου:
Τοῦ λαλεῖν ἀγγέλων γλώσσαις
καὶ ἁπάντων τῶν ἀνθρώπων,
τοῦ τὴν πίστιν πᾶσαν ἔχειν,
ὥστε ὄρη μεθιστάνειν,
τοῦ εἰδέναι πᾶσαν γνῶσιν,
βάθος τε τῶν μυστηρίων,
τοῦ σκορπίσαι πάντα πλοῦτον
καὶ πτωχὸν αὐτὸν γενέσθαι,
τοῦ καὶ τὸ σῶμα εἰς καῦσιν
ὑπὲρ τοῦ Χριστοῦ ἐκδοῦναι
μείζων ἔστιν ἡ ἀγάπη.
Καὶ τοσούτῳ μείζων πέλει,
ὅτι δίχα ταύτης ταῦτα
–εἴτε ἓν εἴτε καὶ πάντα–
εἰς οὐδὲν τῷ κεκτημένῳ
ὄφελος ὅλως ὑπάρχει.
Ὅστις οὖν καὶ τῆς ἀγάπης
καὶ τῶν εἰρημένων πάντων
ἀπεστέρηται, εἰπέ μοι,
ποῦ φανεῖται, τί ποιήσει,
πῶς πιστὸν τοῖς ἐρωτῶσιν
εἰπεῖν ἑαυτὸν τολμήσει;
Διὰ τοῦτο προσεκτέον

τόπο τώρα τὸν πηγαίνεις
νὰ κρυφτεῖ ἀπὸ τῶν ἁγίων
ἀποστόλων του τὰ μάτια;
Μὴν ἀπὸ ἄγνοια, φυλάξου,
περιπέσεις σὲ βλαστήμια!
Ἄκουσε μονάχα, ἂν θέλεις,
τί ἡ ἀγάπη κατορθώνει
καὶ θὰ μάθεις πῶς τυχαίνει
νά 'ναι ἡ πιὸ μεγάλη ἀπ' ὅλα.
Ἀπὸ ποιά ὅλα; Δὲν ἀκούεις
τί ὁ Ἀπόστολος φωνάζει;
Ἀπ' τὸ νὰ μιλᾶς τὶς γλῶσσες
τῶν ἀγγέλων καὶ τοῦ κόσμου,
καὶ τὴν πίστη νάχεις ὅλη,
ποὺ βουνὰ νὰ μεταφέρεις,
κάθε γνώση νὰ κατέχεις
καὶ τῶν μυστηρίων τὸ βάθος,
ἀπ' τὸ νὰ σκορπίσεις ὅλα
τὰ καλά σου καὶ φτωχὸς
γίνεις κι ἂν τὸ σῶμα δώσεις
νὰ καεῖ γιὰ τὸ Χριστό,
πιὸ μεγάλη εἶναι ἡ ἀγάπη.
Καὶ εἶναι ἀκόμα πιὸ μεγάλη,
γιατὶ ὅλα αὐτὰ χωρίς της
ἕνα ἕνα καὶ ὅλα ἀντάμα
τίποτα δὲν ὠφελοῦνε
ὅποιος τάχει κατορθώσει.
Τὴν ἀγάπη λοιπὸν ὅποιος
κι ὅλα ὅσα εἶπα παραπάνω
ἔχει στερηθεῖ, γιὰ πές μου,
θὰ φανεῖ ποῦ, τί θὰ κράζει,
πῶς πιστὸ σ' ὅσους ρωτᾶνε
τὸν ἑαυτό του θὰ κηρύξει;
Γι' αὐτὸ πρέπει νὰ προσέχεις

λέγοντι περὶ ἀγάπης.
Κάθημαι ἐν τῷ κελλίῳ
ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ,
συνυπάρχει ἀφανῶς μοι
καὶ ἀγνώστως ἡ ἀγάπη.
Ἔξω δὲ κτισμάτων πάντων οὖσα
ἔστιν αὖ καὶ μετὰ πάντων,
ἔστι πῦρ, ἔστι καὶ αἴγλη,
γίνεται φωτὸς νεφέλη,
ἥλιος ἀποτελεῖται.
Ὡς οὖν πῦρ ψυχὴν θερμαίνει
καὶ καρδίαν μου ἐκκαίει
καὶ διανιστᾷ πρὸς πόθον
καὶ ἀγάπην, τὴν τοῦ κτίστου.
Ἱκανῶς δὲ πυρωθέντα
καὶ ψυχὴν ἀναφλεχθέντα
ὥσπερ αἴγλη φωτοφόρος
περιΐπταταί με πᾶσα,
φεγγοβόλους ἀφιεῖσα
τῇ ψυχῇ μου τὰς ἀκτῖνας
καὶ τὸν νοῦν λαμπρύνουσά μοι
καὶ πρὸς θεωρίας ὕψος
ἐπιτήδειον δεικνύει
ὀπτικὸν ἐργασαμένη.
Τοῦτο ἦν, ὅπερ προεῖπον
ἄνθος εἶναι τὸ τοῦ φόβου.
Κατιδὼν δ' ἐγὼ τὴν αἴγλην
καὶ πλησθεὶς χαρᾶς ἀφάτου
οὐκ ἐχάρην ὅτι εἶδον,
ἀλλ' αὐτὴ χαρᾶς με θείας
ἐμφορήσασα ἀπέστη
καὶ συνήρπασε τὸν νοῦν μου

326. Ματθ. 17,5.

σὰν μιλῶ γιὰ τὴν ἀγάπη.
Κάθομαι μὲς στὸ κελλί μου
ὅλη νύχτα κι ὅλη μέρα
καὶ μαζί μου ζεῖ ἡ ἀγάπη
ἄγνωστη κι ἀφανὴς σ' ὅλους.
Ἔξω εἶναι ἀπὸ κάθε κτίσμα
καὶ πάλι μαζὶ μὲ ὅλα,
φωτιὰ εἶναι κι εἶναι λάμψη,
φωτεινὴ νεφέλη ἀμέσως
καὶ ἥλιος λάμπει ἀκτινοβόλος.
Τὴν ψυχὴ ὡς φωτιὰ θερμαίνει,
πυρπολεῖ καὶ τὴν καρδιά μου
καὶ στὸν πόθο τὴν κεντρίζει
καὶ στὸν ἔρωτα τοῦ πλάστη.
Κι ὅταν ἡ φωτιὰ μ' ἀνάψει
κι ἡ ψυχὴ γίνει ὅλη φλόγα
γύρω μου πετάει ἀγάλια
σὰν ὁλόφωτη μιὰ λάμψη,
ρίχνοντας μὲς στὴν ψυχή μου
τὶς φεγγόβολες ἀκτίνες
καὶ τὸ νοῦ καταφωτίζει.
Τότε πιὰ ἱκανὸ τὸν κάνει
γιὰ τῆς θεωρίας τὰ ὕψη
μὲ τὴ δύναμη νὰ βλέπει.
Σοῦ εἶπα πρὶν γι' ἄνθος τοῦ φόβου
καὶ εἶναι τοῦτο ποὺ σοῦ λέω.
Κι ὅταν εἶδα ἐγὼ τὴ λάμψη
ἄφατη χαρὰ γεμάτος
δὲν ἐχάρηκα γιατὶ εἶδα
ἀλλὰ ἡ λάμψη χαρὰ θεία
μὲ πλημμύρισε καὶ πάει·
ἅρπαξε μαζὶ τὸ νοῦ μου

---

329. Λουκᾶ 24,32.

καὶ τὴν αἴσθησιν καὶ πᾶσαν
κοσμικὴν ἐπιθυμίαν·
καὶ κατέτρεχεν ὁ νοῦς μου
καὶ καταλαεῖν ἐζήτει
τὴν φανεῖσαν αἴγλην πόθῳ.
Ἀλλ' οὐχ εὕρισκε τὸ κτίσμα,
οὐδ' ἠδύνατο γενέσθαι
τῶν κτισμάτων ὅλως ἔξω,
ἵνα δράξηται τῆς αἴγλης,
τῆς ἀκτίστου καὶ ἀλήπτου.
Ὅμως περιῄει πάντα
καὶ ἰδεῖν ἐμηχανᾶτο,
ἐξηρεύνα τὸν ἀέρα,
οὐρανοὺς περιεπόλει,
περιήρχετο ἀβύσσους
καὶ τὰ ἔσχατα τοῦ κόσμου,
ὡς ἐδόκει, ἐξεζήτει.
Ἀλλ' οὐδὲν ἐν τούτοις πᾶσιν
εὕρισκε, κτιστὰ γὰρ πάντα·
καὶ ἐθρήνουν καὶ ἐπένθουν
καὶ τὰ σπλάγχνα ἐφλεγόμην
καὶ ὡς ἔκφρων ἐν ἐκστάσει
γεγονὼς οὕτως διῆγον.
Ἦλθεν οὖν, ὡς ἠβουλήθη,
καὶ νεφέλης ὥσπερ εἶδος
φωτεινῆς ἐπιπεσοῦσα
ὅλη πρὸς τῇ κεφαλῇ μου
ἑωρᾶτο καθημένη
καὶ κραυγάζειν ἐνεποίει
ἐν ἐκπλήξει γενομένῳ.
Ὅμως πάλιν ἀποπτᾶσα
ἐγκατέλιπέ με μόνον

τὶς αἰσθήσεις μου ὅλες μὲ ὅλες
τὶς ἐπιθυμίες τοῦ κόσμου.
Καὶ τὴν κυνηγοῦσε ὁ νοῦς μου
πολεμώντας νὰ προλάβει
τὴ λάμψη ποὺ ἔβλεπε μὲ πόθο.
Μὰ τοῦ ξέφευγε. Τὸ κτίσμα
νὰ ἐλευθερωθεῖ δὲν μπόρεσε
ἀπ' τὰ κτίσματα ὅλα τ' ἄλλα
γιὰ ν' ἁρπάξει αὐτὴ τὴ λάμψη
ποὺ ἦταν ἄκτιστη κι ἀσύλληπτη.
Πήγαινε στὰ πάντα ὡστόσο,
τρόπο ζήταε νὰ τὴ δεῖ·
τὸν ἀέρα ἐξερευνοῦσε,
βάδιζε ψηλὰ στὰ οὐράνια
τριγυρνοῦσε στὶς ἀβύσσους
καὶ στὰ πέρατα τοῦ κόσμου
ἔψαχνε καὶ τὴ ζητοῦσε.
Ἀλλὰ ποῦ μὲς σὲ ὅλα τοῦτα
νὰ τὴ βρεῖ· κτιστὰ ἦταν ὅλα
καὶ θρηνοῦσα καὶ ποθοῦσα
καίγονταν τὰ σωθικά μου
κι ἔξαλλος πιὰ τότε μέσα
σ' ἔκσταση μὲ δίχως τέλος.
Ἦρθε ὡς θέλησε λοιπὸν
μοιάζοντας μὲ μιὰ νεφέλη
φωτεινὴ ποὺ ἦρθε κι ἐστάθη
ὅλη στὸ κεφάλι ἐπάνω
κι ἔμειν' ἐκεῖ καθισμένη,
κάνοντάς με νὰ φωνάζω
ἔκπληκτος καὶ σαστισμένος.
Ἀλλὰ πέταξε καὶ πάλι
παρατώντας με μονάχο

---

374. Ματθ. 17,5.

καὶ ζητοῦντί μοι ἐμπόνως
ταύτην, αἴφνης ὅλη πάλιν
ἐν ἐμοὶ γνωστῶς εὑρέθη,
ἐν καρδίᾳ μοῦ τε μέσον
ὡς φωστήρ, ὡς δίσκος ὄντως
τοῦ ἡλίου καθωράθη.
Οὕτω δὲ ἀναφανεῖσα
καὶ γνωστῶς ἀποδειχθεῖσα
ἔτρεψε δαιμόνων στῖφος,
ἀπεδίωξε δειλίαν,
ἐνεποίησεν ἀνδρείαν,
τῆς αἰσθήσεως τοῦ κόσμου
ἀπεγύμνωσε τὸν νοῦν μου
καὶ αἰσθήσεως χιτῶνα
νοερᾶς ἐνέδυσέ με,
ὁρατῶν δ' ἐχώρισέ με
καὶ συνῆψεν ἀοράτοις
καὶ τὸν ἄκτιστον ὁρᾶν με
ἐχαρίσατο καὶ χαίρειν,
ὅτι πάντων ἐχωρίσθην
τῶν κτιστῶν καὶ ὁρωμένων
καὶ συντόμως φθειρομένων,
καὶ ἡνώθην τῷ ἀκτίστῳ,
τῷ ἀφθάρτῳ, τῷ ἀνάρχῳ,
τῷ τοῖς πᾶσιν ἀοράτῳ·
τοῦτο γὰρ ἀγάπη πέλει.
Δράμωμεν πιστοὶ εὐτόνως,
σπεύσωμεν νωθροὶ ἐμπόνως!
Ὀκνηροὶ διεγερθῶμεν,
ὅπως ἐγκρατεῖς ἀγάπης,
μέτοχοι δὲ ταύτης μᾶλλον
γενησόμεθα καὶ οὕτως
μεταβῶμεν τῶν ἐνθένδε,
ἵνα σὺν αὐτῇ τῷ κτίστῃ

κι ὡς μὲ πόνο τὴ ζητοῦσα
ξαφνικὰ μοῦ ’ρθε καὶ πάλι
καὶ τὴν ἔνιωσα βαθιά μου,
μὲς στὰ βάθη τῆς καρδιᾶς μου·
ὅπως φάρος, σὰν τὸ δίσκο
τοῦ ἥλιου ἔλαμψε στ’ ἀλήθεια.
Ἔτσι πιὰ σὰν ξαναφάνη
καὶ τὴν ἔνιωσα σ’ ἐμένα,
διώχνει τῶν δαιμόνων πέρα
τὶς ὀρδές, διώχνει τὴ δείλια
καὶ μοῦ φέρνει τὴν ἀνδρεία·
ἀπ’ τοῦ κόσμου τὶς αἰσθήσεις
ἀπογύμνωσε τὸ νοῦ μου
καὶ τῆς αἴσθησης τὸ ροῦχο
τῆς νοερῆς ἐφόρεσέ μου,
ἀπὸ τὰ ὁρατὰ μὲ παίρνει,
μὲ τὰ ἄστρα μ’ ἑνώνει
καὶ μοῦ χάρισε νὰ βλέπω
μὲ χαρὰ τὸ δημιουργό μου,
ποὺ μὲ χώρισε ἀπὸ ἐκεῖνα
ποὺ κτιστὰ εἶναι καὶ τὰ βλέπω
καὶ ποὺ φθείρονται σὲ λίγο.
Μὲ τὸν ἄκτιστο ἔχω σμίξει
ἄφθαρτος καὶ ἄναρχος πού ’ναι
καὶ εἶναι ἀόρατος σὲ ὅλους.
Ναί, τοῦτο εἶναι ἡ ἀγάπη,
πιστοί, ἂς τρέξομε μὲ βία,
οἱ νωθροὶ ἂς βιαστοῦν μὲ κόπο,
πάνω ὅσοι εἴμαστε ἀκαμάτες
ν’ ἀδράξομε τὴν ἀγάπη
ἢ μετέχοντας ἐκείνη
κι ἀπὸ αὐτὴν πλημμυρισμένοι,
ξεκινώντας ἀπ’ τὸν κόσμο
συντροφιὰ μ’ αὐτὴν ἐπάνω

καὶ Δεσπότῃ παραστῶμεν,
ἔξωθεν τῶν ὁρωμένων
γεγονότες σὺν ἐκείνῃ!
Εἰ δὲ μή, τοῖς ὁρωμένοις
καὶ τοῖς κτίσμασιν ὡς κτίσμα
ὄντες ἐναπολειφθῶμεν
ἐν πυρί τε καὶ ταρτάρῳ
καὶ φρικτοῖς κολαστηρίοις,
δίχα ταύτης εὑρεθέντες,
δίχα τῆς ἀγάπης λέγω.
Εἰ δὲ καὶ σωθῆναι ἔνι
δίχα ταύτης, ὦ Χριστέ μου,
πῶς ὑπάρξει τοῦτο ὅλως;
Οὐδαμῶς! Τοῦ φωτὸς εἰ χωρισθῶμεν,
πῶς φευξόμεθα τὸ σκότος;
Τῆς χαρᾶς εἰ στερηθῶμεν,
πῶς ἀπαλλαγῶμεν λύπης;
Τοῦ νυμφῶνος εὑρεθέντες ἔξω
πῶς ἂν ὅλως εὐφρανθῶμεν;
Βασιλείας ἐκπεσόντες,
τῆς σῆς θέας λέγω, Σῶτερ,
ποίαν ἄλλην σωτηρίαν,
ποίαν δὲ παραμυθίαν
ἢ ἐν ποίῳ ἄλλῳ τόπῳ
δυνηθῶμεν ἐφευρέσθαι;
Ὄντως οὐδαμοῦ οὐδ' ὅλως
κἂν δοκῇ τισιν ἀφρόνως,
ἄφρων γὰρ ὁ τοῦτο λέγων.
Ἀλλ' ἀποκριθεὶς ἴσως ἐρεῖ τις ταῦτα·
Πῶς ἐκτὸς τῆς βασιλείας,
πῶς ἐκτὸς δὲ τοῦ νυμφῶνος
καὶ χοροῦ τοῦ τῶν δικαίων

---

439. Ὁ τόπος τῆς σωτηρίας εἶναι ἕνας, ὁ Θεός. Μακριὰ ἀπὸ αὐτὸν ἡ ἀπ

νὰ βρεθοῦμε ἐμπρὸς στὸν κτίστη
καὶ τὸν Κύριο τῶν ὅλων
ἔξω ἀπ' ὅλ' ὅσα θωροῦμε.
Εἰδεμὴ σ' ὅσα θωροῦμε
μὲς στὰ κτίσματα ὅπως κτίσμα
ποὺ εἴμαστε θὲ νὰ βρεθοῦμε
σὲ φωτιὰ μαζὶ καὶ σκότος
καὶ φριχτὰ βασανιστήρια
ἀφημένοι δίχως κείνη,
δίχως τὴν ἀγάπη λέγω.
Κι ἂν μπορεῖ χωρὶς ἐκείνη,
ὦ Χριστέ μου, νὰ σωθοῦμε
πῶς μπορεῖ τοῦτο νὰ γίνει;
Δὲ θὰ γίνει! Ἂν χωριστοῦμε
ἀπ' τὸ φῶς, πῶς τὸ σκοτάδι
θ' ἀποφύγομε, ἂν μᾶς λείψει
κι ἡ χαρά, πῶς ἀπ' τὴ λύπη
θὰ γλιτώσομε; Μὰ ὑπάρχει
μιὰ χαρὰ ἔξω ἀπ' τὸ νυμφώνα;
Κι ἀπ' τὴ βασιλεία, ἂν διωχτοῦμε
τὴ θέα σου ἐννοῶ, Σωτήρα,
ποιά εἶναι ἡ ἄλλη σωτηρία,
ποιά ἡ παραμυθία ἡ ἄλλη
ἢ σὲ ποιόν ἕνα ἄλλο τόπο
θὰ μπορέσουν νὰ βρεθοῦνε;
Σὲ κανέναν, εἶναι ἡ ἀλήθεια,
κι ἂς νομίζουν τρελοὶ κάποιοι,
τρελὸς ὅποιος σκέφτεται ἔτσι.
Μὰ ἴσως κάποιος νὰ ρωτήσει·
Πῶς ἔξω ἀπ' τὴ βασιλεία
κι ἔξω πῶς ἀπ' τὸ νυμφώνα
καὶ τῶν δίκαιων τὶς χορεῖες

ἄλλος τόπος σωτηρίας
ἢ ἀνέσεως οὐκ ἔσται;–
῎Αφρων, εἶπεν ἡ ἀγάπη,
οὐκ ἀκούεις, ὅτι μίαν
ὁ Ἀδὰμ ἐν παραδείσῳ
ἐντολήν, ὁ σὸς προπάτωρ,
παραβὰς ἀπεγυμνώθη
δόξης θείας, καὶ ἡ Εὔα
σὺν αὐτῷ τοῦ παραδείσου
ἐξωρίσθησαν εὐθέως,
ἡδονῆς ἀντιλαβόντες
–ὤ– τὸν θάνατον ἀθλίως
καὶ τὸν ἱδρώτων γέμοντα καὶ πόνων, οἴμοι, βίον,
καὶ ζῆν καὶ θνήσκειν παρ' αὐτῷ δικαίως ὁρισθέντε
Οὕτω νόει μοι καὶ τότε,
ὅτε γένηται ἡ κρίσις,
ὅτι ὃς ἂν εὑρεθείη
δόξης θείας ὡς ἐκεῖνος
ἀληθῶς γεγυμνωμένος,
ἔξω τε τοῦ παραδείσου,
ναὶ δή, καὶ τῆς βασιλείας
καὶ νυμφῶνος οὐρανίου
ἐλαθήσεται εὐθέως.
Κἂν ἁμάρτημα μὴ ἔχῃ,
ἀρετῶν δ' ὑπάρχῃ δίχα,
ἵσταται γεγυμνωμένος.
Ἀρετῶν πασῶν δὲ πρώτη,
βασιλίς τε καὶ κυρία
ἔστιν ὄντως ἡ ἀγάπη.
Κεφαλὴ τῶν πάντων ἔστι
καὶ ἱμάτιον καὶ δόξα.
Κεφαλῆς χωρὶς δὲ σῶμα
καὶ νεκρὸν καὶ ἄπνουν ἔστι.
Σῶμα δὲ χωρὶς χιτῶνος

ἄλλος τόπος δὲν ὑπάρχει
ἄνεσης καὶ σωτηρίας;
Ἀνόητε, εἶπεν ἡ ἀγάπη,
δὲν ἀκοῦς ὅτι μιὰ μόνο
ἐντολὴ ὁ προπάτοράς σου
ὁ Ἀδὰμ καταπατώντας
στὸν Παράδεισο, ἀπ' τὴ θεία
δόξα ἀπογυμνώθη κι ἡ Εὔα
ἐξορίστηκε μαζί του ἀπ'
τὸν παράδεισο μὲ μία
πληρωμὴ τῆς ἡδονῆς τους,
παίρνοντας θάνατον ἄθλιο
καὶ τὴ γεμάτη τὴ ζωὴ, πόνον ἀλὶ κι ἱδρώτα
δίκαια σὲ ζωὴ καὶ θάνατο ἀπὸ κεῖνον δικασμένοι.
Ἔτσι σκέψου ὅτι τὴν ὥρα
ἐκείνη ποὺ θὰ γίνει κρίση
ὅποιος τότε βρεθεῖ νά 'ναι
γυμνωμένος σὰν ἐκεῖνον
ἀπ' τὴ θεία δόξα ἀλήθεια
ἀπὸ τὸν παράδεισο ἔξω
κι ἀπ' τὴ βασιλεία ἐπίσης
θὰ διωχτεῖ κι ἀπ' τὸ νυμφώνα
τὸν οὐράνιο στὸ ἄψε σβῆσε·
κι ἂν ἁμάρτημα δὲν ἔχει
ἀλλὰ οἱ ἀρετὲς τοῦ λείπουν,
στέκεται γυμνὸς ἀπ' ὅλα.
Κι ἀπ' τὶς ἀρετὲς ἡ πρώτη,
ἡ βασίλισσα, ἡ κυρία
εἶναι ἀληθινὰ ἡ ἀγάπη.
Εἶναι ἡ κεφαλὴ τῶν ὅλων
εἶναι ροῦχο τους καὶ δόξα.
Καὶ χωρὶς κεφάλι σῶμα
πεθαμένο κι ἄψυχο εἶναι·
καὶ χωρὶς χιτώνα σῶμα

πῶς οὐχὶ γυμνὸν ὑπάρξει;
Ἀρεταὶ χωρὶς ἀγάπης
ἔωλοι, ἀνωφελεῖς τε·
καὶ γυμνὸς τῆς θείας δόξης,
ὁ μὴ ἔχων τὴν ἀγάπην,
ἀρετὰς κἂν πάσας ἔχῃ,
ἵσταται γεγυμνωμένος
καὶ τὴν γύμνωσιν μὴ φέρων
κρύπτεσθαι μᾶλλον ἐθέλει.
Τὴν αἰσχύνην γὰρ ὡς ἔχων
ἔχει καὶ τὴν καταδίκην
καὶ «οὐκ οἶδα σὲ» ἀκούει
παρὰ τοῦ κριτοῦ τῶν ὅλων.
Ἦλθεν ἐπὶ γῆς ὁ κτίστης,
ἔλαβε ψυχὴν καὶ σάρκα,
ἔδωκε δὲ Πνεῦμα Θεῖον,
ὅπερ ἔστιν ἡ ἀγάπη.
Εἰ οὖν βούλει καὶ εἰ θέλεις
τοῦ λαβεῖν τὸ Θεῖον Πνεῦμα,
πίστευσον Θεῷ τελείως,
ἄρνησαι σαυτὸν ὡσαύτως,
ἐπὶ ὤμων ἀδιστάκτως
ἆρον τὸν σταυρὸν καὶ λήψῃ,
θάνον τῇ προθέσει, τέκνον,
ἵνα μέτοχος γενήσῃ
τῆς ζωῆς τῆς ἀθανάτου!
Μὴ πλανήσωσί σε πλάνοι
ταῖς αὐτῶν ψευδολογίαις,
μετὰ θάνατον λαμβάνειν
τὴν ζωὴν τοὺς τελευτῶντας,

---

490. Γεν. 3,8. 493. Ματθ. 25,12. 497. Α' Θεσ. 4,8.
502. Βλ. Λουκᾶ 9,23. 508. Ἱερ. 23,32.

505. 'Θάνον τῇ προσθέσει'· πέθανε κατὰ τὴν πρόθεση ἢ καλύτερα νέκρω τὴν πρόθεσή σου.

πῶς δὲ θὰ φανεῖ γυμνό;
᾿Αρετὲς χωρὶς ἀγάπη
ἀνώφελες, ξεθυμασμένες·
καὶ γυμνὸς ἀπὸ τὴ θεία
δόξα ὅποιος δὲν ἔχει ἀγάπη·
κι ἂν τὶς ἀρετὲς ἔχει ὅλες,
στέκεται γυμνὸς τέλεια
καὶ μὴ ἀντέχοντας τὴ γύμνια
προτιμᾶ νὰ κρυφτεῖ κάπου.
Σὰν ἡ αἰσχύνη τὸν βαραίνει
ἔχει καὶ τὴν καταδίκη
κι ἀκούει τὸ «δὲ σὲ γνωρίζω»
ἀπὸ τὸν κριτὴ τῶν ὅλων.
Ἦρθε ἐδῶ στὴ γῆν ὁ κτίστης,
ἔλαβε ψυχὴ καὶ σάρκα
κι ἔδωσε τὸ θεῖο Πνεῦμα
πού ᾿ναι ἡ ἀγάπη ἡ ἴδια.
Ἂν ποθεῖς λοιπὸν καὶ θέλεις
νὰ σοῦ ἔρθεῖ τὸ Θεῖο Πνεῦμα,
στὸ Θεὸ πίστεψε τέλεια
καὶ τὸν ἑαυτό σου ἀρνήσου·
δίχως δισταγμὸ στοὺς ὤμους
πάρε τὸ σταυρὸ καὶ θάρθει.
Νέκρωσε τὴ θέλησή σου,
μέτοχος νὰ γίνεις, γιέ μου,
στὴν ἀθάνατη ζωή.
Μὴ σὲ ξεγελάσουν πλάνοι
μὲ τὰ ψέματα ποὺ λένε,
ὅτι ὅσοι πεθαίνουν παίρνουν
μετὰ θάνατο τὴ ζωή·

---

507 ὡς τὸ τέλος. Ὁ Θεὸς μεταδίδει αὐτὴν ἐδῶ τὴ ζωὴ στοὺς ἁγίους, τὴ ζωή του, τὸν πολύτιμο μαργαρίτη, τὴν ἀγάπη του. Οἱ τρεῖς σημειώσεις γιὰ τὸν ὕμνο αὐτὸν ἔγιναν κατὰ τὴν ἔκδοση τῆς Sources Chrétiences.

μὴ πεισθεὶς καταμελήσῃς
καὶ ζωῆς οὐ μεταλήψῃ!
Ἄκουσον Θεοῦ τοὺς λόγους,
ἄκουσον τῶν ἀποστόλων,
ἄκουσον τῶν διδασκάλων,
τῶν ἐπὶ τῆς Ἐκκλησίας,
τί Χριστὸς βοᾷ καθ' ὥραν.
«Ποταμοὶ ἐκ τῆς κοιλίας
εἰς ἐμὲ τῶν πιστευόντων
ρεύσουσι πηγῆς τῆς θείας,
ὕδατος τοῦ ἀειζώου».
Τί τὸ ὕδωρ τοῦτο λέγων,
εἰ μὴ Πνεύματος τὴν χάριν;
Καθαροὺς δὲ τῇ καρδίᾳ
μακαρίζει, λέγων τούτους
ὄψεσθαι Θεὸν ἐνταῦθα.
Οἱ ἀπόστολοι δὲ πάντες
καὶ διδάσκαλοι βοῶσιν
ἀπεντεῦθεν καὶ τὸ Πνεῦμα
καὶ Χριστὸν αὐτὸν λαμβάνειν,
εἴπερ μέλλοιμεν σωθῆναι.
Ἄκουσον φωνὰς Δεσπότου,
ἄκουσον τοῦ Λόγου λόγους,
πῶς δηλοῖ τὴν βασιλείαν,
τὴν τῶν οὐρανῶν λαμβάνειν
ἀπεντεῦθεν τοὺς ἀνθρώπους.
«Ὡμοιώθη», λέγων, «αὕτη
μαργαρίτῃ πολυτίμῳ»·
μαργαρίτην δὲ ἀκούσας
ἆρα τί ὑπολαμβάνεις;
Λίθον εἶναι λέγεις τοῦτον
ἢ κρατούμενον κἂν ὅλως
ἢ ὁρώμενον ποσῶς δέ;
–Ἄπαγε τῆς βλασφημίας!

μὴν πεισθεῖς κι ἀδιαφορήσεις
καὶ ζωὴ δὲ μεταλάβεις.
Τοῦ Θεοῦ ἄκουσε τὰ λόγια,
ἄκουσε τῶν ἀποστόλων,
ἄκουσε καὶ τῶν δασκάλων,
ποὺ στὴν Ἐκκλησία μιλᾶνε
τί ὁ Χριστὸς φωνάζει ὁλοένα·
«ρέουν ἀπ' τὴν καρδιὰ ποτάμια
ὅσων πίστεψαν σ' ἐμένα
ἀπὸ τὴν πηγὴ τὴ θεία
τοῦ νεροῦ ποὺ δὲν πεθαίνει.
Γιὰ νερὸ ποιὸ λέει ἂν ὄχι
γιὰ τοῦ Πνεύματος τὴ χάρη;
Μακαρίζει κι ὅσους ἔχουν
καθαρὴ καρδιὰ κι ὁρίζει
πὼς ἐδῶ τὸ Θεὸ θὰ δοῦνε.
Κι οἱ ἀπόστολοι ἕνα στόμα
κι ὅλοι οἱ δάσκαλοι φωνάζουν
ἀπὸ κάτω ἐδῶ τὸ Πνεῦμα
παίρνομε καὶ τὸ Χριστὸ
ἂν μᾶς μέλλει νὰ σωθοῦμε.
Ἄκου τί μᾶς λέει ὁ Κύριος,
ἄκουσε τοῦ Λόγου λόγια
πὼς ἀπὸ δῶ κάτω δείχνει
τὴν οὐράνια βασιλεία,
ποὺ οἱ ἄνθρωποι τὴν παίρνουν·
«Μοιάζει» λέει «ἡ βασιλεία
μ' ἀκριβὸ μαργαριτάρι».
Ἂν ἀκοῦς μαργαριτάρι
τί βάζεις στὸ νοῦ σου τάχα;
Εἶναι πέτρα αὐτὸ πιστεύεις
καὶ μπορεῖς νὰ τὸ κρατήσεις
ἢ καὶ νὰ τὸ δεῖς ἀκόμα;
Μακριὰ ἡ βλαστήμια τούτη·

Νοητὸς καὶ γὰρ ὑπάρχει.
–Ἔμπορος εὑρὼν δὲ τοῦτον,
πῶς ἐφεῦρεν, ἄρτι λέξον,
εἰ ἀκράτητος ὑπάρχει,
εἰ ἀόρατος τυγχάνει;
Ποῦ οὖν τοῦτον εὗρε,
πῶς κατεῖδε, δίδαξόν με!
Πῶς δὲ ἅπαντα πωλήσας
ἐξωνήσατο ἐκεῖνον,
ὃν οὐχ εὗρεν, ὃν οὐκ εἶδεν,
ὃν οὐκ ἔσχεν ἐπὶ χεῖρας,
ἀλλ' οὐδ' ἔλαβεν ἐν κόλπῳ;
Πίστει δέ με μόνῃ πάντως
καὶ ἐλπίδι ὥσπερ ἔχων
διακείσεται, διδάξεις;
'Αλλ' οὐκ εἶπεν ὁ Δεσπότης,
ὥσπερ σὺ ὑπολαμβάνεις,
οὐδ' ἐλπίσι τοῦ εὑρέσθαι
οὐδ' ἐλπίσι τοῦ λαβέσθαι
τὰ ὑπάρχοντα πωλῆσαι.
Τί πλανᾶσθε, τί ματαίαις
ἐπερείδεσθε ἐλπίσι;
Τί καὶ ἄλλοις ἀπωλείας,
ἑαυτοῖς τε τιμωρίας
αἴτιοι σφοδρᾶς γενέσθαι
μάτην βούλεσθε πεισθεῖσιν;
'Αλλὰ πρότερον εὑρεῖν σοι
παραινεῖ τὸν μαργαρίτην,
καὶ ἀτίμητον ὡς ὄντα
θεασάμενόν σε τοῦτον
καὶ αὐτὸν τότε πωλήσας
ἅπαντα ἐξαγοράσαι·
σὺ δὲ λέγεις ἐν ἐλπίσι
καὶ σαυτὸν ἀποδεικνύεις

εἶναι σύμβολο τοῦ νοῦ μας.
Κι ὁ ἔμπορος ὁποὺ τὸ βρῆκε
πῶς τὸ βρῆκε, πές μου τώρα,
ἂν κι αὐτὸν νὰ τὸν ἀγγίζεις
δὲν μπορεῖς κι ἀθέατος εἶναι;
Ποῦ ἦταν τάχα καὶ τὸ βρῆκε,
πῶς τὸ πρόσεξε, ἔλα πές μου.
Καὶ πῶς ξεγελώντας ὅλα
πέτρα ἀγόρασε ποὺ μήτε
εἶχε βρεῖ ἀλλὰ κι οὔτε εἶδε,
ποὺ δὲν κράτησε στὸ χέρι
καὶ στὸν κόρφο του δὲν ἔκρυψε;
Καὶ θὰ πεῖς πὼς εἶναι μόνο
σὰ νὰ τό 'χει μὲ τὴν πίστη,
ὅπως καὶ μὲ τὴν ἐλπίδα.
Μὰ δὲν εἶπε ὁ Κύριός μας,
ὅπως λάθος σὺ νομίζεις,
νὰ πουλήσεις ὅλα ὅσα ἔχεις
μήτε ἐλπίζοντας νὰ τό 'βρεις
ἢ μ' ἐλπίδα νὰ τὸ λάβεις.
Τί γελιέστε; τί κρεμιέστε
σ' ἀνυπόστατες ἐλπίδες;
Γιατὶ μὲ μιὰ μάταιη πίστη
γι' ἄλλους θέλετε ἀπώλειας
καὶ βαριᾶς γιὰ σᾶς τοὺς ἴδιους
τιμωρίας νά 'στε αἰτία;
Ἀλλὰ πρῶτα σὲ προτρέπει
νά 'βρεις τὸ μαργαριτάρι
καὶ πανάκριβο ὅπως εἶναι
νὰ τὸ δεῖς, νὰ τὸ θαυμάσεις
καὶ πουλώντας το πιὰ τότε
τὸν κόσμο ὅλο ν' ἀγοράσεις.
Ἀλλὰ ἐσὺ μιλᾶς γιὰ ἐλπίδες
κι ἀποδείχνεις τὸν ἑαυτό σου

ὡς οὐ θέλοντα ζητῆσαι,
ὡς οὐ θέλοντα εὑρέσθαι,
ὡς οὐ θέλοντα πωλῆσαι
τὰ ὑπάρχοντα καὶ ἆραι
οὐρανῶν τὴν βασιλείαν,
ἣν ἐντός σου, ἐὰν θέλῃς,
ὁ Δεσπότης εἶπεν εἶναι.
Ἴσως δὲ πτωχὸς ὑπάρχεις
καὶ οὐ κέκτησαι χρυσίον,
οὐδὲ κτήματα, οὐ πλοῦτον,
καὶ ἀκούων, ὅτι πάντων
ὑπαρχόντων διαπράσει
ὁ ἀτίμητος ὠνεῖται
μαργαρίτης, ἵνα λέγῃς
ὅτι· Ἄρα πῶς μὴ ἔχων
ὕπαρξιν ἐγὼ ἰσχύσω
κτήσασθαι τὸν θεῖον τοῦτον
καὶ ὡραῖον μαργαρίτην;
Περὶ τούτου οὖν ἀκοῦσαι
συνετῶς παρακαλῶ σε.
Ἐὰν ἅπαντα τὸν κόσμον
καὶ τὰ ἐν τῷ κόσμῳ ἔχῃς
καὶ σκορπίσας διανείμῃς
ὀρφανοῖς καὶ χήραις ταῦτα
καὶ πτωχοῖς ἠπορημένοις,
καὶ πτωχὸς αὐτὸς γενήσῃ,
ὡς ἀνάξιον δὲ ὅλως
τίμημα εἰ ἐννοήσῃς
ὅ, τι κατεβάλου, λέγων·
Δότε μοι τὸν μαργαρίτην,
δέδωκα γὰρ ἅπαντά μου!
παρ' εὐθὺ τοῦτο ἀκούσῃ
λέγοντός σου τοῦ Δεσπότου·
Ποῖα ἅπαντά σου λέγεις;

πῶς δὲ θέλεις νὰ ζητήσεις
μὰ οὔτε θέλεις καὶ νὰ βρεῖς
οὔτε θέλεις νὰ πουλήσεις
ὅλα ὅσα ἔχεις καὶ νὰ πάρεις
τὴν οὐράνια βασιλεία,
ποὺ ἂν τὸ θέλεις ὁ Δεσπότης
εἶπε πὼς ὑπάρχει ἐντός σου.
Ἴσως ὅμως φτωχὸς εἶσαι
καὶ χρυσάφι δὲ διαθέτεις
οὔτε κτήματα οὔτε πλοῦτο
καὶ ἀκούοντας πὼς πουλώντας
ὅλα τὰ ὑπάρχοντά σου
τὸ ἀξετίμητο ἀγοράζεις
τὸ μαργαριτάρι κι ἔτσι
λές, Πῶς σὰν μοῦ λείπει
ἡ περιουσία θὰ μποροῦσα
ν' ἀποχτήσω τὸ θεῖο τοῦτο
κι ὄμορφο μαργαριτάρι;
Καὶ γι' αὐτὸ παρακαλῶ σε,
ἄκου με μὲ προσοχή.
Ἂν ὅλο τὸν κόσμο κι ὅλα,
ὅσα τοῦ κόσμου εἶναι κατέχεις
κι ὅλα αὐτὰ τὰ διαμοιράσεις
σὲ ὀρφανὰ παιδιὰ καὶ χῆρες
καὶ φτωχοὺς συνάνθρωπούς σου
καὶ φτωχὸς γενεῖς κι ὁ ἴδιος,
κι ἂν σκεφτεῖς πὼς εἶναι ἀντάξια
ἡ τιμὴ ποὺ ἔχεις πληρώσει
πέρα ὡς πέρα καὶ ζητήσεις·
'τὸ μαργαριτάρι δῶστε,
κι ἔδωσα ὅλα τὰ δικά μου',
παρευθὺς θ' ἀκούσεις τοῦτο
νὰ σοῦ λέει ὁ Κύριος μας.
'Ποιά εἶν' αὐτὰ ποὺ λὲς δικά σου;

Σὺ γυμνὸς ἀπὸ κοιλίας
ἐξελήλυθας μητρός σου
καὶ γυμνὸς ἐν τῷ μνημείῳ
πάλιν πάντως εἰσελεύσῃ.
Σὰ δὲ ποῖα λέγεις εἶναι;
Ἄφρων ὅλως οὐκ αἰσθάνῃ;–
Καὶ οὐ λήψῃ μαργαρίτην,
οὐδὲ λάβῃς βασιλείαν.
Ἂν δὲ ἅπαντα σκορπίσῃς
τὰ ὑπάρχοντά σοι ὅλως
ἢ πτωχὸς ὑπάρχῃς λίαν
καὶ προσέλθῃς λέγων οὕτως·
Ἴδε, Σῶτερ, νῦν καρδίαν
καὶ ψυχὴν συντετριμμένην
καὶ δεινῶς κολαζομένην
καὶ σφοδρῶς ἐκκαιομένην!
Ἴδε, Δέσποτα, γυμνόν με,
ἴδε με ἠπορημένον
ἀρετῆς ἁπάσης ξένον
καὶ πτωχὸν ἐν τούτοις λίαν
καὶ μὴ ἔχοντά τι δοῦναι
εἰς ἐξώνησίν σου, Λόγε,
καὶ ἐλέησόν με, μόνε,
ἀνεξίκακε Θεέ μου!
Τί γὰρ ἄξιον εὑρήσω
ἐν τῷ κόσμῳ, ὦ Θεέ μου,
ὅπερ δώσω εἰς τιμήν σου,
τοῦ ποιήσαντος τὰ πάντα;
Τί γὰρ ἔδωκεν ἡ πόρνη,
τί δὲ ὁ λῃστὴς παρέσχεν,
ὁ δὲ ἄσωτος, Χριστέ μου,
ποῖον πλοῦτόν σοι προσῆξε;
Ταῦτα λέξον καὶ ἀκούσῃ·
Ναί, προσέφερόν μοι δῶρα,

Ἀπὸ τὴν κοιλιὰ ἐσὺ βγῆκες
τῆς μητέρας σου γυμνὸς
καὶ γυμνὸς πάλι στὸ μνῆμα
θὰ μπεῖς ὅ,τι καὶ νὰ γίνει'.
Λοιπὸν ποιά εἶναι τὰ δικά σου;
Μὰ εἶσαι ὁλότελα ἀνόητος;
Οὔτε τὸ μαργαριτάρι
οὔτε καὶ τὴ βασιλεία θὰ λάβεις.
Ἂν ὅμως σκορπίσεις ὅλα
τὰ ὑπάρχοντά σου ποὺ ἔχεις
ἢ εἶσαι πάμπτωχος στ' ἀλήθεια
καὶ προσέλθεις μὲ τὰ λόγια·
'Κοίτα, Κύριε, τὴν καρδιά μου,
τὴν ψυχὴ τὴ συντριμμένη
στὰ δεινὰ βασανιστήρια
καὶ στὶς φλόγες τὶς παμφάγες.
Τὴ γύμνια, Κύριε, κοίταξέ μου,
κοίταξε τὴ στέρησή μου,
πόσο ἀπὸ ἀρετὴ 'μαι ξένος
κι εἶμαι πάνσοφος σὲ τοῦτο
καὶ δὲν ἔχω τί νὰ δώσω,
γιὰ νὰ σ' ἀγοράσω, Λόγε,
ἀλλ' ἐλέησέ με, μόνε
ἀναξίκακε ἐσύ, Θεέ μου.
Τί θὰ βρῶ μέσα στὸν κόσμο
κάτι ποὺ ν' ἀξίζει, Θεέ μου,
κι εἶναι ἄσπιλος ἀπ' ἁμαρτία ἀπ' τὴν κοιλιὰ τῆς μάννας του,
ἂν πρόσταγμα δὲν εἶναι Θεοῦ κι ἂν δὲν ἐκλέξει Ἐκεῖνος
καὶ τὴν ψυχή του μ' ἔλλαμψη θεϊκὴ πλημμυρίσει
καὶ μὲ τὸν θεῖον ἔρωτα τὴν πυρπολήσει ἀκέρια
εὔλογο δὲν τὸ θεωρῶ νὰ ἱερουργεῖ γιὰ τὰ θεῖα
καὶ τὰ φρικτὰ μυστήρια κι ἀνέγγιχτα νὰ ἀγγίζει,
ποὺ ἡ δόξα καὶ ἡ προσκύνηση κι ὅλη ἡ τιμὴ τοὺς πρέπει·
τώρα καὶ πάντα ἀδιάκοπα καὶ σ' ὅλους τοὺς αἰῶνες.

Κ

Εὐχαριστία καὶ ἐξομολόγησις σὺν θεολογίᾳ, καὶ περὶ δωρεᾶς καὶ μετουσίας Πνεύματος ἁγίου.

Ὤφθης δι᾽ ἐμὲ ἐπὶ γῆς ἐκ Παρθένου,
ὁ πρὸ αἰώνων ἀόρατος ὑπάρχων,
καὶ σὰρξ ἐγένου καὶ ἄνθρωπος ἐδείχθης,
ὁ ἀπροσίτῳ φωτὶ ἐνειλημμένος,
καὶ περιγραπτὸς τοῖς πᾶσιν ἐνομίσθης,
ὁ παντάπασιν ἀχώρητος ὑπάρχων,
ὃν οὐκ ἰσχύει λόγος ἅπας ἐκφράσαι,
νοῦς δὲ βιαζόμενος δράσσεται πόθῳ
καὶ κρατεῖν οὐ δύναται συστελλόμενος φόβῳ
καὶ πάλιν ζητεῖ καιόμενος τὰ ἔνδον,
φαντασθεὶς δέ σου βραχὺ τῇ λαμπηδόνι
τρόμῳ ἀποπέμπεται καὶ χαρᾷ χαίρει.
Στέγειν γὰρ οὐ δύναται φύσις ἀνθρώπων
ὅλον σε τρανῶς καθορᾶν, τὸν Χριστόν μου,
εἰ καὶ ὅλον σε πιστεύομεν λαμβάνειν
ἐκ τοῦ Πνεύματος, οὗ δίδως, ὁ Θεός μου,
καὶ τῶν ἀχράντων αἵματος καὶ σαρκός σου,
ὧν κοινωνοῦντες σὲ κρατεῖν καὶ ἐσθίειν
ἀδιαιρέτως, Θεέ, ὁμολογοῦμεν
καὶ ἀσυγχύτως· οὐ γὰρ μεταλαμβάνεις
φθορᾶς ἢ ῥύπου, ἀλλ᾽ ἐμοὶ μεταδίδως
τῆς σῆς ἀφθάρτου καθαρότητος, Λόγε,
καὶ ἀποπλύνεις τὸν ῥύπον τῶν κακῶν μου

---

3. Ἰω. 1,14.   4. Α´ Τιμ. 6,16.

20

Εὐχαριστία καὶ ἐξομολόγηση μαζὶ καὶ θεολογία. Ἐπίσης περὶ δωρεᾶς καὶ μετουσίας τοῦ ἁγίου Πνεύματος.

Γιὰ χάρη μου ἀπὸ τὴν Παρθένο ἦρθες στὴ γῆ·
ἐσὺ ποὺ ἀόρατος ὑπάρχεις πρὶν ἀπ' τοὺς αἰῶνες
ἔγινες σάρκα κι ἄνθρωπος ἐφάνηκες
ὁ τυλιγμένος μὲς σὲ φῶς ἀπρόσιτο
καὶ ποὺ ὅλοι ἐλέγαν σὲ ὅρια πὼς εἶσαι κλεισμένος,
ἐσὺ ποὺ εἶσαι ὁλότελα ἀπερίληπτος ἀπ' ὁτιδήποτε
ποὺ λόγος νὰ σ' ἐκφράσει δὲν μπορεῖ κανένας,
νὰ σ' ἁρπάξει ἀπ' τὸν πόθο του κι ὁ νοῦς ὁρμᾶ σπρωγμένος
μὰ ἀπὸ τὸ φόβο του δειλιάζοντας νὰ σὲ κρατήσει δὲν μπορεῖ.
Καὶ πάλι σὲ ζητᾶ μὲ φλογισμένη τὴν καρδιά.
Κι ἀφοῦ γιὰ λίγο φωτιστεῖ ἀπ' τὴ λαμπηδόνα σου,
πισοτραβιέται ἀπὸ τὸν τρόμο μὰ κι ἀπὸ χαρὰ μεθάει.
Γιατὶ ν' ἀντέξει δὲν μπορεῖ ἡ φύση ἡ ἀνθρώπινη
νὰ δεῖ ὁλοκάθαρα ὅλο τὸ Χριστό μου ἐσένα,
κι ἂς πιστεύομε ὅλο πὼς σὲ παίρνομε
ἀπὸ τὸ Πνεῦμα ποὺ μοῦ δίνεις ἐσὺ ὁ Θεός μου
κι ἀπὸ τὸ ἄχραντο τὸ αἷμα καὶ τὴ σάρκα σου
κι αὐτὰ ὅταν κοινωνοῦμε ὅτι σὲ κρατοῦμε
καὶ σὲ τρῶμε ἀδιαίρετα, Θεέ μου, ὁμολογοῦμε
κι ἀσύγχυτα. Γιατὶ ἐσὺ δὲ μεταλαβαίνεις
φθορὰ εἴτε ρύπο, ἀλλὰ σὲ ἐμένα μεταδίδεις
τὴ δική σου ἄφθαρτη, Λόγε, καθαρότητα.
Τὸ ρύπο ἀποπλύνεις τῶν κακῶν μου

---

17. Ἑβρ. 2,14. 23. Ἡσ. 4,4.

καὶ ἐκδιώκεις ζόφον ἁμαρτιῶν μου
καὶ τῆς καρδίας καθαίρεις μου τὸ αἶσχος
καὶ τῆς κακίας ἐκλεπτύνεις τὸ πάχος
καὶ φῶς ποιεῖς με, τὸν πρὶν ἐσκοτισμένον,
καὶ ὡραῖον με κατ' ἄμφω ἀπεργάζῃ·
αἴγλῃ περιλάμπεις με ἀθανασίας
καὶ ἐκπλήττομαι καὶ καίομαι τὰ ἔνδον
ἐπιθυμῶν σε αὐτὸν προσκυνῆσαι.
Ὅτε δὲ τοῦτο ἐνθυμηθῶ ὁ τάλας,
ὢ τοῦ θαύματος, ἐν ἐμοί σε εὑρίσκω
καταμένοντα, κινούμενον, λαλοῦντα
καὶ ἄφωνόν με τότε ἀποτελοῦντα
τῇ καταπλήξει δόξης τῆς ἀπροσιτου.
Θάμβος οὖν συνέχει με καὶ ἀπορία,
ὅτι τὸν πάντα συνέχοντα παλάμῃ
συνεχόμενον ἐν καρδίᾳ μου βλέπω.
Ἀλλὰ τί σου, Χριστέ μου, τὸ ξένον τοῦ ἐλέους;
τίς ἡ ἄπειρος συγκατάβασις, Λόγε;
Τί πρὸς τὴν ἐμὴν ἐλήλυθας πτωχείαν,
πῶς καὶ εἰσῆλθες εἰς ῥυπῶσαν οἰκίαν,
ὁ ἀπροσίτῳ οἰκῶν φωτί, Θεέ μου;
Πῶς δὲ καὶ τηρεῖς ἀκατάφλεκτον ταύτην,
πῦρ ὑπάρχων ἄστεκτον φύσει βροτείᾳ;
Τί δὲ ποιήσω ἄξιόν σου τῆς δόξης
καὶ τί εὑρήσω πρὸς τοσαύτην ἀγάπην;
Τί σοι προσάξω, τῷ τοιαύτῃ με δόξῃ
καὶ τιμῇ δοξάσαντι, τὸν ἀνάξιον;
Ὃν γὰρ ἄνθρωποι βλέπειν ἀπαξιοῦσιν,
ἀλλ' οὐδὲ λαλεῖν οὐδὲ συνεστιᾶσθαι
ὅλως ἐμοὶ βούλονται τῷ παναθλίῳ,
σὺ ὁ πνοὴν ἅπασαν τρέφων καὶ φύσιν,
ὁ τοῖς Σεραφὶμ ἀπρόσιτος ὑπάρχων,

καὶ τὸ ζόφο ἀποδιώχνεις τῶν ἁμαρτιῶν μου
καὶ τῆς καρδιᾶς μου τὸ αἶσχος καθαρίζεις
καὶ τῆς κακίας μου ἀπαλαίνεις τὴ σκληρότητα,
τὸ σκοτισμένο ἐμένα πρὶν μὲ κάνεις φῶς
κι ὡραῖο ἀπὸ τὴ μιὰ μὲ κάνεις καὶ τὴν ἄλλη·
μὲ περιλάμπεις μ' αἴγλη ἀθανασίας,
σ' ἔκπληξη πέφτω, φλέγονται τὰ ἐντός μου
καθὼς τὸν ἴδιο ἐσένα ἐπιθυμῶ νὰ προσκυνήσω.
Κι ὅταν αὐτὸ στὸ νοῦ μου φέρω ὁ δύστυχος,
θαῦμα στ' ἀλήθεια, μέσα μου σὲ βρίσκω
νὰ κατοικεῖς καὶ νὰ κινεῖσαι ἐσὺ καὶ νὰ μιλᾶς,
μοῦ παίρνεις τὴ ζωὴ μὲ κάνεις ἄφωνο
ἀπ' τὴν κατάπληξη μου γιὰ τὴ δόξα σου τὴν ἀπροσπέλαστη.
θάμπωμα μὲ κατέχει κι' ἀμηχανία
γιατὶ αὐτὸν ποὺ ἔχει τὰ πάντα στὴν παλάμη του
τὸν βλέπω νὰ περιέχεται μὲς στὴν καρδιά μου.
Ἀλλὰ γιατί, Χριστέ μου, τὸ παράξενο ἔλεος σου;
Τί εἶναι, Λόγε, ἡ συγκατάβασή σου ἡ ἄμετρη;
Γιατί πρὸς τὴ δική μου ἦρθες πτωχεία,
πῶς καὶ σὲ σπίτι μπῆκες κατασκόνιστο,
ἐσὺ ποὺ κατοικεῖς, Θεέ μου, στὸ φῶς τὸ ἀπρόσιτο;
Πῶς καὶ κρατᾶς τὸ σπίτι αὐτὸ ἀπ' τὴ φλόγα ἀπείραχτο,
ἐνῶ φωτιὰ εἶσαι ποὺ δὲν τὴν ἀντέχει ἡ θνητὴ φύση;
Τί ἀντάξιο τῆς δόξας σου νὰ κάνω
καὶ τί ἰσοζύγισμα νὰ βρῶ στὴν τόση ἀγάπη;
Σὲ σένα ποὺ μὲ τόση δόξα καὶ τιμὴ
μὲ δόξασες ἐμένα τὸν ἀνάξιο, τί νὰ σοῦ προσφέρω; [ποι
Ἐμένα ποὺ καταφρονώντας νὰ μὲ δοῦν δὲ θέλουν οἱ ἄνθρω-
κι οὔτε νὰ μοῦ μιλήσουν οὔτε καὶ νὰ φᾶν μαζί μου
μ' ἐμένα τὸν πανάθλιο δὲ θέλουν μὲ κανένα τρόπο,
ἐσὺ ποὺ κάθε ζωντανὴ ὕπαρξη τρέφεις,
ἐσὺ ποὺ εἶσαι ἀπρόσιτος στὰ Σεραφίμ,

38. Σοφ. Σολ. 1,7.

ὁ πάντων κτίστης, ποιητὴς καὶ Δεσπότης
οὐ μόνον ὁρᾷς καὶ λαλεῖς μοι καὶ τρέφεις,
ἀλλὰ καὶ τὴν σὴν οὐσιωδῶς μοι σάρκα
κατηξίωσας καὶ κρατεῖν καὶ ἐσθίειν
καὶ τὸ αἷμά σου τὸ πανάγιον πίνειν,
ὃ ἐξεχύθη δι' ἐμὲ σοῦ σφαγέντος.
Διάκονόν τε καὶ λειτουργὸν καὶ μύστην
τούτων με κατέστησας, ὅνπερ γινώσκεις,
ὁ πάντα εἰδώς, πρὶν ποιήσεις αἰῶνας
καὶ πρὶν παράξεις τι τῶν μὴ βλεπομένων
–τὰ γὰρ ὁρατὰ ὕστερον συνεστήσω–,
τὸν ἁμαρτωλόν, ἄσωτον, τὸν τελώνην,
λῃστήν, φονέα ἐμαυτοῦ γεγονότα,
ψεύστην τῶν καλῶν, ἐργάτην ἀνομίας
καὶ πασῶν τῶν σῶν ἐντολῶν παραβάτην.
Σὺ οὖν ἀληθῆ ταῦτα εἶναι γινώσκεις·
πῶς ἐνώπιον ὀφθῶ σου, ὦ Χριστέ μου,
πῶς δὲ τῇ σῇ πλησιάσω τραπέζῃ;
Πῶς τοῦ ἀχράντου σώματός σου κρατήσω,
ὁ χεῖρας ἔχων πάντῃ ἐσπιλωμένας;
Πῶς ὑμνήσω σε, πῶς ἄλλοις μεσιτεύσω
μὴ ἔχων ἐκ πίστεως καὶ καλῶν ἔργων
τὴν πρὸς σὲ ἀγάπησιν καὶ παρρησίαν,
ἀλλ' ὑπόχρεως αὐτὸς ὤν, ὥσπερ οἶδας,
πολλῶν ταλάντων, πολλῶν ἀνομημάτων;
Ὁ νοῦς ἀπορεῖ, ἠσθένησεν ἡ γλῶσσα
καὶ λόγος οὐδεὶς εὑρίσκεταί μοι, Σῶτερ,
τὰ σὰ ἐξειπεῖν ἀγαθότητος ἔργα,
ἃ ἐποίησας εἰς ἐμὲ τὸν σὸν δοῦλον.
Φλέγονται δέ μου ὡς ἐκ πυρὸς τὰ ἔνδον
καὶ οὐ δύναμαι σιωπῶν ὑποφέρειν

---

69. Ψαλμ. 6,9 καὶ Λουκᾶ 13,27.
70. Ματθ. 15,3. 73. Λουκᾶ 22,30.

ὁ κτίστης πάντων καὶ ποιητὴς καὶ Δεσπότης
ὄχι μόνο μὲ βλέπεις, μοῦ μιλᾶς καὶ μὲ τρέφεις,
ἀλλὰ καὶ μ' ἔχεις ἀξιώσει πραγματικὰ
τὴ σάρκα σου στὰ χέρια νὰ ἔχω καὶ νὰ τρώγω
καὶ τὸ αἷμα τὸ πανάγιο σου νὰ πίνω,
ποὺ γιὰ μένα ὅταν σ' ἔσφαξαν ξεχύθη.
Διάκονο, λειτουργὸ καὶ ἱερομύστη
σὲ τοῦτα μ' ἔβαλες, ἐμένα ποὺ μὲ γνωρίζεις,
ὁ ποὺ τὰ πάντα ξέρεις, πρὶν τοὺς αἰῶνες κάνεις
καὶ πρὶν ἀπ' ὅσα δὲ θωροῦμε κάτι δημιουργήσεις
–τὰ ὁρατὰ πιὸ ὕστερα δημιούργησες–
τὸν ἁμαρτωλὸ κι ἄσωτο ἐμένα, τὸν τελώνη,
τὸ ληστή, τὸ φονιὰ τοῦ ἑαυτοῦ μου ποὺ ἔχω γίνει,
τὸν ψεύτη στὸ καλὸ κι ἐργάτη τῆς ἀνομίας
κι ὅλων τῶν ἐντολῶν σου παραβάτη.
Ἐσὺ πῶς ὅλ' αὐτὰ εἶναι ἀληθινὰ γνωρίζεις·
πῶς νὰ σταθῶ, Χριστέ, μπροστά σου
καὶ πῶς στὴν τράπεζά σου νὰ πλησιάσω;
Πῶς νὰ κρατήσω τ' ἄχραντό σου σῶμα
μὲ καταλερωμένα μου τὰ χέρια;
Πῶς νὰ σὲ ὑμνήσω, νὰ παρακαλέσω γι' ἄλλους,
ἀφοῦ τὴ σχέση ἀγάπης καὶ τὴν παρρησία σ' ἐσένα
ἡ πίστη μου καὶ τὰ ἔργα τὰ καλά μου δὲ μοῦ ἐπιτρέπε
ἀλλὰ ὀφειλέτης εἶμαι, ὅπως γνωρίζεις,
πολλῶν ταλάντων καὶ πολλῶν ἁμαρτημάτων;
Ἀμηχανεῖ μου ὁ νοῦς, ἡ γλώσσα ἀτόνησε
κι οὔτε ἕνα λόγο δὲν μπορῶ νὰ βρῶ, Σωτήρα,
τὰ ἔργα τῆς καλοσύνης σου νὰ ἐξιστορήσω,
ὅσα στὸ δοῦλο σου ἔκανες ἐμένα.
Φωτιὰ τὰ ἐντός μου πυρπολεῖ
καὶ δὲν μπορῶ νὰ ὑπομείνω σιωπηλὰ

---

80. Ματθ. 25,15. 85. Ἱερ. 20,9.

62. Στοιχεῖα βιογραφικὰ τοῦ Συμεών.

τὸ μέγα βάρος τῶν πολλῶν δωρεῶν σου.
Ὁ τὰ στρουθία φωναῖς λαλεῖν ποιήσας
δώρησαι κἀμοὶ λόγον, τῷ παναθλίῳ,
ἵνα τοῖς πᾶσιν ἐγγράφως καὶ ἀγράφως
διηγήσωμαι, ἃ εἰς ἐμὲ εἰργάσω
διὰ ἔλεος ἄπειρον, ὁ Θεός μου,
καὶ διὰ μόνην τὴν σὴν φιλανθρωπίαν!–
Καὶ γὰρ ὑπὲρ νοῦν φρικτά τε καὶ μεγάλα
πέλουσιν, ἅπερ παρέσχες μοι τῷ ξένῳ,
τῷ ἀμαθεῖ, τῷ πτωχῷ, τῷ ἀπαρρησιάστῳ,
τῷ ἀπὸ παντὸς ἀπερριμμένῳ ἀνθρώπου.
Γονεῖς οὐ προσεῖχόν μοι φυσικῇ τῇ ἀγάπῃ,
οἱ ἀδελφοὶ καὶ φίλοι μου πάντες ἐνέπαιζόν μοι,
ἀγαπᾶν γάρ με λέγοντες ἐψεύδοντο εἰς ἅπαν.
Οἱ συγγενεῖς, οἱ ἔξωθεν, οἱ ἄρχοντες τοῦ κόσμου
τοσοῦτον μ' ἐπεστρέφοντο καὶ ἠνείχοντο βλέπειν,
ὅσον συναπολέσαι με ταῖς αὐτῶν ἀσεβείαις.
Πολλάκις ἐπεθύμησα δόξης ἀναμαρτήτως
καὶ οὔπω ταύτην εὕρηκα ἐν τῷ παρόντι βίῳ·
ἡ δόξα γάρ, ἡ κοσμική, καθὼς ἐβεβαιώθην,
καὶ δίχα ἄλλης πράξεως ἁμαρτία τυγχάνει.
Ποσάκις ἐπεθύμησα ἀνθρώπους ἀγαπᾶν με
καὶ ἔχειν οἰκειότητος πρὸς αὐτοὺς παρρησίαν,
καὶ οὐδείς μου ἠνέσχετο τῶν ἀγαθὰ φρονούντων·
ἄλλοι δὲ μᾶλλον ἤθελον βλέπειν με καὶ γνωρίζειν,
ἐγὼ δὲ τούτους ἔφευγον ὡς τῶν κακῶν ἐργάτας.
Ταῦτα οὖν πάντα, Δέσποτα, καὶ ἄλλα τούτων πλείω,
ἃ οὐδὲ λέγειν εὐπορῶ, οὐδ' ἀπομνημονεύειν,
σὺ εἰς ἐμέ, τὸν ἄσωτον, προνοῶν ἀπειργάσω,
ἵνα ἑλκύσῃς ἐκ βυθοῦ καὶ κοσμικοῦ με σκότους
καὶ τῆς ἀπάτης, τῆς δεινῆς, τῶν τοῦ βίου ἡδέων.
Οἱ ἀγαθοί με ἔφευγον διὰ τὸ ἔξω σχῆμα,

---

88. Ἐκκλ. 12,4.

τὸ βάρος τὸ πολὺ τῶν δωρημάτων σου.
Ἐσὺ ποὺ στὰ πουλιὰ ἔδωσες νὰ λαλοῦν φωνή,
δώρησε λόγο καὶ σ' ἐμένα τὸν πανάθλιο,
ὥστε σ' ὅλους γραφτὰ κι ἄγραφα
νὰ ἐξιστορήσω τὰ ὅσα μοῦ 'κανες,
ἐσὺ ὁ Θεός μου, ἀπὸ τ' ἄπειρό σου τὸ ἔλεος
κι ἀπ' τὴ φιλανθρωπία σου μονάχα.
Γιατὶ μεγάλα καὶ φρικτά, πάνω ἀπ' τὸ νοῦ
εἶναι ὅσα προξένησες στὸν ξένο ἐμένα,
στὸν ἀμαθὴ καὶ τὸ φτωχό, τὸ δίχως θάρρος
ποὺ μ' ἔχει ἀπορρίψει κάθε ἄνθρωπος.
Τὴ φυσικὴ οἱ γονεῖς μου ἀγάπη τους δὲ μοῦ 'δειξαν,
μὲ γελοῦσαν οἱ ἀδελφοὶ κι οἱ φίλοι μου ὅλοι,
γιατί, ἐνῶ μοῦ 'λεγαν πὼς μ' ἀγαποῦν, μὲ ξεγελοῦσαν.
Οἱ συγγενεῖς, οἱ ἀπ' ἔξω, οἱ ἄρχοντες τοῦ κόσμου
τόσο πολὺ μὲ συμπαθοῦσαν καὶ νὰ μὲ θωροῦν ἀνέχονταν,
ὅσο μαζί τους ἀσεβώντας νὰ μὲ πάρουν στὴν ἀπώλειά τους.
Συχνὰ δόξα ἐπιθύμησα ἀναμάρτητη
μὰ δὲν τὴ βρῆκα ἀκόμα στὴν παροῦσα ζωή·
ἡ δόξα ἡ κοσμικὴ ὅπως βεβαιώθηκα
καὶ δίχως ἄλλη πράξη, ἁμάρτημα τυχαίνει.
Πόσες φορὲς ἐπόθησα νὰ μ' ἀγαποῦνε οἱ ἄνθρωποι
καὶ νά 'χω πρὸς αὐτοὺς τὴν παρρησία καὶ τὴν οἰκειότητα,
καὶ δὲ μ' ἀνέχτηκε κανεὶς ἀπὸ τοὺς ἀγαθούς·
ἄλλοι ποθοῦσαν πιὸ πολὺ νὰ μὲ δοῦν καὶ νὰ μὲ γνωρίσουν,
μὰ ἐγὼ ὅλους τοὺς ἀπέφευγα ὡς κακῶν ἐργάτες.
Ὅλα αὐτά, Κύριε, κι ἄλλα περισσότερα
ποὺ οὔτε νὰ πῶ μπορῶ μήτε καὶ νὰ τὰ θυμηθῶ,
ἐσὺ στὸν ἄσωτο ἔκανες ἐμένα προνοητικά,
ὥστε νὰ μ' ἀνασύρεις ἀπὸ τὸ βυθὸ καὶ τὸ κοσμικὸ σκότος
καὶ τῶν δεινῶν τοῦ βίου ἀπ' τὴν ἀπάτη τὴ δεινή.
Γιὰ τὸ ἐξωτερικό μου οἱ ἀγαθοὶ μ' ἀπέφευγαν

---

98 κ.ἑ. Μὲ ἁπλότητα καὶ εἰλικρίνεια δίνεται ἐδῶ ἡ αὐτοβιογραφία τοῦ Συμεών.

τοὺς δὲ φαύλους ἐξέφευγον οἰκείᾳ προαιρέσει·
ἠγάπων γάρ, ὡς εἴρηται, δόξαν καὶ πλοῦτον κόσμου
καὶ φαντασμὸν ἐνδύματος καὶ βλακευμάτων ἤθη.
Οὐκ οἶδα δὲ τί φθέγξομαι, οὐκ οἶδα τί σοι εἴπω·
φοβοῦμαι γὰρ καὶ τὸ λαλεῖν καὶ γράφειν τὰ τοιαῦτα,
μὴ περιπέσω τοῖς ἐμοῖς λόγοις καὶ ἁμαρτήσω,
καὶ ἔσται ἀνεξάλειπτον τὸ ψευδῶς γεγραμμένον.
Ὅταν προσεκαλεῖτό με εἰς ἔργα τις μανίας
καὶ ἁμαρτίας, ἀληθῶς, τοῦ πλάνου κόσμου τούτου,
ἔσωθεν ἡ καρδία μου συνελέγετο ὅλη
καὶ ὥσπερ κατεκρύπτετο ἑαυτὴν αἰδουμένη,
συνεχομένη ἀφανῶς πάντως χειρί σου θείᾳ.
Καὶ τὰ μὲν ἄλλα ἅπαντα ἠγάπων τὰ τοῦ βίου,
ὅσα τε ὄψιν τέρπουσι καὶ λεαίνουσι λάρυγγα
καὶ σῶμα καλλωπίζουσι, τὸ φθειρόμενον τοῦτο.
Τὰς πράξεις δὲ τὰς μυσαρὰς καὶ ἀσελγεῖς ὀρέξεις
σὺ δὴ ἐκ τῆς καρδίας μου ἀπήλειψας, Θεέ μου,
καὶ μῖσος ἐνεποίησας πρὸς ταῦτα τῇ ψυχῇ μου·
εἰ καὶ τῇ προαιρέσει μου προσεκείμην ἐν τούτοις,
καὶ ὄρεξίν τε ἄπρακτον καὶ πράξεις ἀνορέκτους
ἐποίεις μᾶλλον ἔχειν με –θαῦμα μέγιστον πάντη–
καὶ πάντως ἀπεχώρισας οἰκονομίᾳ θείᾳ
βασιλέων, ἀρχόντων τε καὶ πλουσίων τοῦ κόσμου.
Πολλῶν πολλάκις καὶ ἐμοῦ θελήσαντος εἰς ταῦτα
αὐτὸς βουλὴν οὐκ εἴασας τινὸς ἐν τούτοις στῆναι,
ἄλλους δοξάζειν λέγοντας καὶ πλουτεῖν με ἐν βίῳ
μῖσος ἐμίσουν, Δέσποτα, μῖσος ἀπὸ καρδίας,
ὡς μήτε συντυχίαν με κινεῖν ποτε πρὸς τούτοις,
οἳ καὶ μανέντες βάκλοις με σφοδρῶς ἔτυψαν μᾶλλον·
ἄλλοι δὲ λοιδορίαις με πρὸς πάντας ἐλοιδόρουν
ἐργάτην εἶναι λέγοντες πάσης παρανομίας,
θέλοντες διαστρέψαι με ἀπὸ ὁδοῦ εὐθείας·

---

135. Ἡσ. 44,22.

καὶ μὲ δική μου θέληση ἀπέφευγα τοὺς φαύλους. [τη,
Γιατὶ ἀγαποῦσα, ὡς εἶπα, τὶς δόξες τοῦ κόσμου καὶ τὰ πλού-
τὰ ροῦχα τὰ φανταχτερὰ καὶ τὶς ἄλλες βλακεῖες.
Δὲν ξέρω πῶς τὴ γλώσσα νὰ κινήσω καὶ τί νὰ σοῦ πῶ·
καὶ νὰ τὰ πῶ, φοβοῦμαι αὐτὰ καὶ νὰ τὰ γράψω
μὴν ἁμαρτήσω λάθος κάνοντας στὰ λόγια μου,
καὶ μείνει ἀνεξίτηλο ὅ,τι ψεύτικο ἐγράφη.
Ὅταν κανένας μὲ καλοῦσε σ' ἔργα τρέλας,
ἀλήθεια, κι ἁμαρτίας τοῦ κόσμου τούτου τῆς ἀπάτης
μέσα ἡ καρδιά μου ὅλη σφιγγόταν
σὰ νὰ κρυβόταν ἀπὸ τὴν ντροπὴ γιὰ τὸν ἑαυτό της·
ἀλλὰ τὸ θεῖο χέρι σου χωρὶς νὰ φαίνεται τὴ συγκρατοῦσε.
Καὶ τῆς ζωῆς τ' ἄλλα ὅλα ἀγαποῦσα,
ὅσα τὰ μάτια τέρπουν καὶ τὸ λάρυγγα γλυκαίνουν
καὶ τὸ σῶμα τοῦτο ποὺ φθείρεται ὀμορφαίνουν.
Ἀλλὰ τὶς βδελυρὲς τὶς πράξεις καὶ τὶς ἀσελγεῖς ἐπιθυμίες
ἐσὺ ἀπὸ τὴν καρδιά μου ἔσβησες, Θεέ μου,
καὶ στὴν ψυχή μου μίσος φύτεψες γι' αὐτά,
ἂν κι ἡ προαίρεσή μου στριφογύριζε σ' αὐτὰ
κι ἄπρακτη ἐπιθυμία κι ἀνεπιθύμητες πράξεις
μ' ἔκανες νά' χω –θαῦμα ἀληθινὰ μεγάλο–
κι ἀπὸ ὅλους μὲ θεία οἰκονομία σου μ' ἀπομάκρυνες
βασιλιάδες κι ἄρχοντες καὶ τοὺς πλούσιους τοῦ κόσμου.
Ἐνῶ συχνὰ πολλοὶ τὰ πόθησαν αὐτὰ κι ἐγὼ μαζί τους,
ἐσὺ δὲν ἄφησες σ' αὐτὰ νὰ πιαστεῖ ἡ θέληση.
Ἄλλους ποὺ ἐλέγαν δόξα καὶ πλούτη στὴ ζωὴ θὰ μοῦ 'διναν
τοὺς εἶχα μίσος, Δέσποτα, μίσος ἀπ' τὴν καρδιά μου,
ὥστε μήτε σὲ συνάντηση ναρθῶ μ' αὐτοὺς δὲν ξεκινοῦσα,
ὅμως μανιασμένοι πιὸ δυνατὰ μὲ τὰ ραβδιά τους μὲ χτύπησαν
κι ἄλλοι μπροστὰ σὲ ὅλους μὲ κατηγοροῦσαν
ἀνακηρύσσοντάς μ' ἐργάτη κάθε παρανομίας,
θέλοντας νὰ μὲ βγάλουν ἀπ' τὸν ἴσιο δρόμο·

150. Πράξ. 13,10.

τὰς πράξεις γὰρ ἐξέφευγον, ἵνα μὴ λοιδορῶμαι,
αὐτοί δὲ ἐλοιδόρουν με, ὅπως εἰς πράξεις ἔλθω,
εἰ ἄρα καὶ τὸν ἔπαινον τὸν τῶν ἀνθρώπων χρῄζω,
οἳ προσετίθουν λέγοντες πάντοτε λοιδορεῖν με,
ἕως ἂν εἰς τὸ φρόνημα τὸ ἐκείνων συνέλθω.
Τοῖς δὲ τὴν δόξαν λέγουσι διδόναι τὴν τοῦ κόσμου
οὕτως ἀνταποκρίνεσθαι δέδωκάς μοι, Σωτήρ μου·
Εἰ πᾶσαν δόξαν, ἔλεγον, τὴν τοῦ κόσμου ἐκράτεις
καὶ στέφος σου τῇ κορυφῇ βασιλείας ὑπῆρχε,
τοῖς δὲ ποσί σου κόκκινον ἦν ὑποδεδεμένον
καὶ τούτων πάντων αἴφνης με κύριον ἀπειργάσω,
αὐτὸς δὲ ἔστης παγανός, δοῦλός μου θέλων εἶναι,
οὐκ ἂν ταῖς πονηρίαις σου καὶ τοῖς φρονήμασί σου
ὅλως συνεκοινώνησα ἢ συνῆλθον ἐν βίῳ.
Ποῖος χάρτης χωρήσειε τὰς σὰς εὐεργεσίας
καὶ τὰ καλά σου τὰ πολλά, ἃ εἰς ἐμὲ εἰργάσω;
Εἰ γὰρ μυρίαι γλῶσσαί μοι δοθήσονται καὶ χεῖρες,
οὐκ ἂν ἰσχύσω ἐξειπεῖν ἢ περὶ πάντων γράψαι·
εἰσὶ γὰρ πάντως ἄβυσσος ἐν ἀπείρῳ τῷ πλήθει,
εἰσὶν ἀκατανόητα τῷ τῆς δόξης μεγέθει,
καὶ ἀσθενῶ τὸν λογισμόν, πονῶ μου τὴν καρδίαν,
ὅτι λαλεῖν οὐ δύναμαι περὶ σοῦ, ὁ Θεός μου.
Ὅταν γάρ, ἅπερ ἔπραξα, ἐνθυμηθῶ, ὁ τάλας,
ὅσα μοι ἐβοήθησας, ἐξ οἵων με ἐξείλου
καὶ πόσων, Σῶτερ, με κακῶν φιλανθρώπως ἐρρύσω
καὶ οὐκ ἐμνήσθης τὰ κακὰ ἅπερ διεπραξάμην,
ἀλλ' ὡς πολλὰ ποιήσαντα ἀγαθὰ καὶ μεγάλα
καὶ καθαρὸν ἀπὸ μητρὸς ἁγίας κολυμβήθρας
οὕτω καὶ προσελάβου με, οὕτως ἐτίμησάς με,
οὕτω με κατεκόσμησας στολῇ τῇ βασιλείῳ,
ὅλος τρόμῳ συνέχομαι καὶ ἐξίσταμαι χαίρων
καὶ ἄφωνος καθίσταμαι καὶ ἐκλύομαι σφόδρα,
ὅτι Θεὸς ἐδόθης μοι, ὁ ποιητὴς τοῦ κόσμου,
ἀνθρώπῳ λίαν μυσαρῷ καὶ βδελυκτῷ τοῖς πᾶσιν

γιὰ νὰ μὴ μὲ κατηγοροῦν, τὶς πράξεις ξέφευγα
κι αὐτοὶ στὶς πράξεις γιὰ νὰ προχωρήσω μὲ κατηγοροῦσαν·
κι ἂν εἶχα ἀνάγκη ἀπὸ ἀνθρώπων ἔπαινο
ἐκεῖνοι σὲ κατηγορίες κατηγορία πρόσθεταν,
ὥσπου νὰ κλίνω στὴ δική τους γνώμη.
Σ’ ὅσους ὑπόσχονται τὴ δόξα πὼς τοῦ κόσμου θὰ μοῦ δώσουν,
αὐτὰ ν’ ἀποκριθῶ, Σωτήρα, μοῦ ἔχεις δώσει:
‘Κι ἂν κάθε δόξα κοσμικὴ στὰ χέρια σου εἶχες
καὶ στὸ κεφάλι σου εἶχες βασιλιᾶ κορώνα
καὶ σανδάλια κόκκινα στὰ πόδια σου φοροῦσες
κι ἀφέντη ξάφνου σ’ ὅλα τοῦτα μ’ ἔκανες
κι ἔμενες μ’ ἄδεια χέρια θέλοντας νά ’σαι σκλάβος μου,
ποτὲ στὶς πονηριὲς καὶ στὰ φρονήματά σου
στὴ ζωή μου δὲ θὰ ἔκλινα οὔτε μέρος θά ’χα μαζί σου’.
Ποιό χαρτὶ τὶς εὐεργεσίες σου θὰ χωρέσει
καὶ τὰ πολλὰ καλὰ σ’ ἐμένα ποὺ ἔκανες;
Ἂν μύριες εἶχα γλῶσσες, μύρια χέρια,
νὰ πῶ δὲ θὰ μπορέσω γιὰ ὅλα ἢ νὰ γράψω.
Μὲ τὸ ἄπειρό τους πλῆθος εἶναι μιὰ ἄβυσσος,
τὸ μέγεθος τῆς δόξας τους εἶναι ἀκατανόητο
καὶ ἀνήμπορος ὁ λογισμός, πονᾶ ἡ καρδιά μου,
ποὺ δὲν μπορῶ γιὰ σένα, Θεέ μου, νὰ μιλήσω.
Ὅταν ὅσα ἔπραξα θυμηθῶ ὁ δύστυχος ἐγώ,
κι ὅσα ἐσὺ μὲ βοήθησες, ἀπὸ ποιά μ’ ἀποτράβηξες
κι ἀπὸ πόσα δεινά, Σωτήρα, μ’ ἔσωσες σπλαχνικά,
χωρὶς ὅσα κακὰ ἔπραξα νὰ θυμηθεῖς,
ἀλλὰ σὰ νά ’χω πράξει ἔργα ἀρετῆς μεγάλα καὶ πολλά,
καὶ νά ’μαι καθαρὸς ἔχοντας μόλις βγεῖ ἀπ’ τὴν ἅγια κολυμ-[βήθρα
ἔτσι μ’ ἀγκάλιασες κι ἔτσι μὲ τίμησες,
ἔτσι μὲ καταστόλισες μὲ τὴ βασιλικὴ στολή,
τότε μὲ συγκλονίζει τρόμος κι ἔκσταση χαρᾶς,
ἄφωνος γίνομαι καὶ παραλύω γιὰ τὰ καλά,
γιατὶ ἐσὺ ὁ Θεὸς καὶ ποιητὴς τοῦ κόσμου δόθηκες σ’ ἐμένα
σὲ ἄνθρωπο ἀκάθαρτο καὶ σ’ ὅλους ποὺ ἔγινα

ἀνθρώποις τε καὶ δαίμοσιν ὡς ἤδη γεγονότι
καὶ ὑπερβάντι πράξεσιν ἔργων ἀτοπωτάτων
κἀκείνους. Οἴμοι τῷ αἰσχρῷ καὶ ρυπαρῷ –πῶς εἴπω;–
ἡνώθης μοι, φιλάνθρωπε, ἀμέτρῳ εὐσπλαγχνίᾳ,
ὁ καθαρότητι πολύς, ἁγιωσύνῃ μείζων,
δυνάμει τε ἀσύγκριτος καὶ ἀνείκαστος δόξῃ,
καὶ συγκατῆλθες ἄνωθεν ἀφ' ὕψους ἀμετρήτου
ἕως ἐσχάτου τῶν πυλῶν ᾅδου ἁμαρτιῶν μου
καὶ σκότους τῆς πτωχείας μου καὶ οἴκου συμπτωθέντος
ἀπὸ πολλῶν ἀνομιῶν, μεγίστης ἀμελείας
ἠμελημένου παντελῶς καί γε ρερυπωμένου,
ὃς πρότερον ἀνέστησας ἐμὲ κείμενον κάτω
καὶ ἐπὶ πέτραν ἔστησας τῶν θείων ἐντολῶν σου
καὶ λούσας ἐκαθάρισας βορβόρου τῶν κακῶν μου
καὶ χιτῶνα ἐνέδυσας λευκὸν ὑπὲρ χιόνα,
τὸν οἶκόν τε ἐσάρωσας τὸν κατεσπιλωμένον
καὶ εἰσελθὼν ἐνῴκησας, ὦ Τριάς, ὁ Θεός μου,
εἶτα θρόνον με ἀπετέλεσας θεότητός σου θείας
καὶ οἶκον ἀπροσίτου σου δόξης καὶ βασιλείας
καὶ στάμνον μάννα φέρουσαν, τὸ τῆς ἀθανασίας,
καὶ λύχνον ἔνδον ἔχοντα φῶς ἄσβεστον καὶ θεῖον,
πυξίον τε ὡς ἀληθῶς τοῦ καλοῦ μαργαρίτου
καὶ γὰρ ἀγρόν, ἐν ᾧ κέκρυπται ὁ θησαυρὸς τοῦ κόσμου,
πηγήν, ἐξ ἧς οἱ πίνοντες οὐδέποτε διψῶσιν,
ἥτις καὶ βλύζει μάλιστα ὕδωρ δεκαπλασίως
καὶ τοὺς ἐν πίστει πίνοντας ἐκτελεῖ ἀθανάτους,
παράδεισον ξύλον ζωῆς μέσον ἔχοντα πάλιν
καὶ γῆν περικαλύπτουσαν τὸν ἀχώρητον πᾶσι,
σέ, ὃν ἐζήτησά ποτε ἐξ ὅλης μου καρδίας,
καὶ ἐπεθύμουν περὶ σοῦ λόγον ἀεὶ ἀκούειν
καὶ ἤθελον τὴν μνείαν σου ἔχειν ἐν τῇ ψυχῇ μου
καὶ συχνοτέρως περὶ σοῦ καὶ λαλεῖν καὶ ἀκούειν.

---

192. Ματθ. 11,23.

σὲ δαίμονες κι ἀνθρώπους μισητὸς
καὶ ποὺ κι ἐκείνους πέρασα μ' ἔργα ἀτοπότατα.
Ἀλίμονό μου, σὰν αἰσχρὸ κι ἀκάθαρτο –καὶ τί νὰ πῶ;–
ἐνώθηκες μαζί μου ἀπὸ ἄμετρη εὐσπλαχνία, φιλάνθρωπε,
ὁποὺ μὲ τὴ μέγιστη καθαρότητα καὶ τὴ μεγαλύτερη ἁγιότητα
ποὺ ἡ δύναμή σου εἶναι ἀσύγκριτη κι ἀφάνταστη ἡ δόξα σου.
Ἦρθες συγκατεβαίνοντας ἀπὸ τὸ ἀμέτρητο ὕψος σου ὧς
τὰ ἔσχατα, περνώντας τὶς πύλες τοῦ ἅδη τῶν ἁμαρτιῶν μου,
στὸ σκοτάδι τῆς φτώχειας μου στὸ γκρεμισμένο σπίτι μου
ἀπ' τὶς πολλές μου ἀνομίες καὶ μέγιστη ἀμέλεια
παραμελημένο ὁλότελα καὶ ἀραχνιασμένο.
Μ' ἀνάστησες πρωτύτερα στὴ γῆ πεσμένο
καὶ μ' ἔστησες στὴν πέτρα τῶν θείων ἐντολῶν σου,
μ' ἔπλυνες κι ἀπ' τὸ βοῦρκο μὲ καθάρισες τῶν κακῶν μου
καὶ μ' ἔντυσες χιτώνα πιὸ λευκὸ ἀπ' τὸ χιόνι
καὶ σάρωσες τὸ ἀραχνιασμένο σπίτι μου
κι ἦρθες τότε καὶ κατοίκησες σ' αὐτό, ὢ Τριάδα, ὢ Θεέ μου.
Ἔπειτα θρόνο μ' ἔκανες τῆς θεότητάς σου
καὶ σπίτι τῆς ἀπρόσιτης δόξας καὶ βασιλείας σου
καὶ στάμνα μὲ τὸ μάννα τῆς ἀθανασίας
καὶ λύχνο μὲ τὸ φῶς τὸ ἀνέσβηστο καὶ θεῖο
καὶ κουτὶ ἀληθινὰ γιὰ τὸ πολύτιμο μαργαριτάρι,
μὰ καὶ χωράφι ὅπου ὁ θησαυρὸς τοῦ κόσμου εἶν' κρυμμένος,
πηγὴ ἀπ' ὅπου ὅσοι πιοῦν δὲν ξαναδιψοῦνε
καὶ ποὺ ἀναβρύζει δέκα φορὲς περισσότερο νερό,
κι ὅποιους μὲ πίστη πιοῦν ἀθάνατους τοὺς κάνει,
παράδεισο ποὺ ἔχει στὸ κέντρο τῆς ζωῆς τὸ δέντρο
καὶ γῆ ποὺ τὸν ἀχώρητο ἀπ' τὸ πᾶν περισκεπάζει,
ἐσένα ποὺ σὲ ζήτησα μ' ὅλη μου τὴν καρδιὰ
κι ἐπιθυμοῦσα πάντοτε γιὰ σὲ ν' ἀκούω
καὶ στὴν ψυχή μου πάντοτε νά 'χω τὴ θύμησή σου
κι ὅσο γίνεται πιὸ συχνὰ γιὰ σένα νὰ μιλῶ μὰ καὶ ν' ἀκούω.

---

193. Λουκᾶ 6,48 ἑ.

Εἰ γὰρ καὶ πρώην μου ὁ νοῦς περὶ σοῦ φαντασθῆναι
καθαρῶς οὐκ ἠδύνατο,
οὐδ' ὀφθαλμοὶ θεάσασθαι ἢ ἀκοὴ ἀκοῦσαι,
οὐδ' ἀναβάσεις δέξασθαι ἡ καρδία μου θείας,
ἀλλὰ μόνῃ τῇ ἀκοῇ κατεπλήττετο ὅλη
καὶ φόβῳ συνεστέλλετο ἡ ψυχή μου καὶ τρόμῳ,
ἀλλ' ἔνδοθεν ὁρῶσά σε νῦν ἑαυτῆς ἐκπλήττεται
καὶ ἐνοπτριζομένη σε, ὅσον αὐτῇ γε δίδως,
ὅλον ἐν ὅλῳ τῷ παντί, ὅλον ἐκτὸς δὲ τούτου,
ἐντός τε πάλιν ἑαυτῆς,
ὅλον ἀκατανόητον θεότητι τῇ θείᾳ,
τὸν τοῖς πᾶσιν ἀόρατον καὶ ἀποκεκρυμμένον,
σέ, τὸν ἀπρόσιτον, καὶ προσιτὸν μόνοις οἷς ἠβουλήθης,
καθὼς αὐτὸς ἠθέλησας φιλανθρώπως φανῆναι,
τὸν Σεραφὶμ καὶ Χερουβὶμ καὶ πᾶσι τοῖς ἀγγέλοις
ἀπρόσιτον καὶ φοβερὸν αὐγῇ φύσεως θείας,
μετὰ ἀνθρώπων προσιτὸν
ὅλη ὅλως ἐξίσταται, ἐκπλήττεται δὲ πλέον
τὴν ἀγαθότητα τὴν σὴν καὶ τὴν φιλανθρωπίαν,
ὅτι καθαίρεις ρυπαρὰς ψυχὰς καὶ νοῦν φωτίζεις
καὶ περιδράσσῃ γεώδους καὶ ὑλικῆς οὐσίας,
ἀνάπτεις τε φλόγα πολλὴν ἀγαπήσεως θείας
καὶ πόθου θείου ἔρωτα οἷα πῦρ μοι ἐμβάλλεις
καὶ μέχρι τρίτου οὐρανοῦ φθάνειν παρασκευάζεις
καὶ εἰς παράδεισον ποιεῖς, Σῶτερ, ἁρπάζεσθαί με,
ἐν ᾧ ἀκούω ρήματα ἄρρητά τε καὶ ξένα,
ἃ οὐκ ἐξὸν βροτοῖς λαλεῖν ἢ λόγῳ ἐξηγεῖσθαι.
Σοὶ δὲ τιμὴ πρέπει, δόξα καὶ μεγαλωσύνη,
κράτος αἰώνιον, Χριστέ, τῷ τοῦ παντὸς Δεσπότῃ
σὺν τῷ Πατρὶ καὶ Πνεύματι τῷ φύσει Παναγίῳ
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

---

240. Ὁ Θεὸς εἶναι δυνατόν, ἀφοῦ ἐγκατασταθεῖ μέσα στὴν ἀνάξια ψυχὴ τοῦ ἀνθρώπου, νὰ τὴν ὑψώσει ὡς τὸν τρίτο οὐρανό. Ὑπαινίσσεται ἐδῶ ὅσα διη-

Γιατί, ἂν καὶ πρῶτα ὁ νοῦς μου δὲν μποροῦσε
νὰ σὲ βάλει ὁλοκάθαρα
οὔτε τὰ μάτια νὰ σὲ δοῦν ἢ νὰ σ' ἀκούσουν τ' αὐτιά,
οὔτε ἡ καρδιὰ ν' ἀντέξει τὶς θεϊκὲς ἀνυψώσεις,
ἀλλὰ μόνο μὲ τ' ἄκουσμα τὴν ἔπιανε ἔκπληξη
καὶ μὲ φόβο καὶ τρόμο ζάρωνε ἡ ψυχή μου,
τώρα στὰ μύχια βλέποντάς σε μέσα της τρομάζει
καὶ καθρεφτίζοντάς σε ὅσο τῆς ἐπιτρέπεις
ὁλόκληρο σ' ὅλο τὸ σύμπαν κι ὅλον ἔξω ἀπ' αὐτὸ
καὶ πάλι μέσα σ' αὐτὴν
ἀκατανόητο ὡς πέρα μὲ τὴ θεία θεότητά σου,
τὸν ἀόρατο σ' ὅλους καὶ κρυμμένο ἀπ' ὅλους,
ἐσένα τὸν ἀπρόσιτο καὶ μόνο σ' ὅσους θέλεις προσιτό,
ὅπως θέλησες ὁ ἴδιος νὰ τοὺς φανερωθεῖς φιλάνθρωπα,
ποὺ στὰ Σεραφὶμ καὶ Χερουβὶμ καὶ σ' ὅλους τοὺς ἀγγέλους
εἶσ' ἀπρόσιτος καὶ φοβερὸς μὲ τὴ λάμψη τῆς θείας σου φύσης
μὰ στοὺς ἀνθρώπους προσιτός,
σὲ τρέμει ὁλόκληρη κι αὐξάνει ἡ ἔκπληξή της
γιὰ τὴν ἀγαθοσύνη σου καὶ τὴ φιλανθρωπία,
ποὺ ψυχὲς ρυπαρὲς καθαίρεις καὶ νοῦ φωτίζεις
καὶ γήινη ντύνεσαι καὶ ὑλικὴ φύση
καὶ φλόγα θείας ἀγάπησης μεγάλη ἀνάβεις
κι ἔρωτα θείου πόθου καθὼς φωτιὰ μέσα μου φέρνεις
κι ἱκανὸ μ' ἔκανες ὣς τὸν τρίτο οὐρανὸ νὰ φτάσω
καὶ ν' ἀναρπάζομαι, Σωτήρα, στὸν παράδεισο,
ὅπου ρήματα ἀκούω παράδοξα κι ἄρρητα,
ποὺ θνητοὶ δὲν μποροῦν νὰ ποῦν καὶ νὰ ἐξηγήσουν.
Σὲ σένα πρέπει τιμὴ καὶ δόξα καὶ μεγαλοσύνη,
αἰώνια, Χριστέ, ἐξουσία στὸν Κύριο τοῦ παντὸς
μὲ τὸν Πατέρα σου μαζὶ καὶ τὸ Πανάγιο Πνεῦμα
τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων.
Ἀμήν.

γεῖται ὁ Παῦλος (Βʹ Κορ. 12,2). Ἔτσι μὲ τὴν προβολὴ τῆς φιλανθρωπίας τοῦ Θεοῦ ἐνθαρρύνεται ὁ μοναχός, ὁ ἄνθρωπος, στὸν ἀγώνα γιὰ τὴ σωτηρία του.

ΚΑ

Ἐπιστολὴ πρὸς μοναχὸν ἐρωτήσαντα· Πῶς χωρίζεις τὸν Υἱὸν ἀπὸ τοῦ Πατρός, ἐπινοίᾳ ἢ πράγματι; Ἐν ᾗ εὑρήσεις πλοῦτον θεολογίας ἀνατρεπούσης τὴν αὐτοῦ βλασφημίαν.

Ἔλαμψας, ἐξέφανας φῶς τὸ τῆς δόξης,
φῶς ἀπρόσιτον τῆς σῆς οὐσίας, Σῶτερ,
καὶ κατηύγασας ψυχὴν ἐσκοτισμένην,
μᾶλλον δὲ σκότος οὖσαν ἐξ ἁμαρτίας
ὡς τὸ φυσικὸν ἀπολέσασαν κάλλος,
ὡς ἐξ ᾅδου τε ἀνήγαγες κειμένην
καὶ φῶς ἰδεῖν δέδωκας θείας ἡμέρας
καὶ τοῦ ἡλίου ἀκτῖσιν ἐλλαμφθῆναι
καὶ φῶς γενέθαι ταύτην, ὢ μέγα θαῦμα!
Οὐ πιστεύουσιν οἱ δόξης τῶν ἀνθρώπων
μὴ καταφρονήσαντες, ὡς ἐνετείλω,
οὐδὲ γὰρ ἐγεύσαντο δόξης τῆς θείας,
ἣν δέδωκας σὺ καὶ δίδως νῦν, Θεέ μου,
τοῖς ἀπὸ ψυχῆς ὅλῃ τῇ διαθέσει
σὲ ζητήσασι, τὴν αἰώνιον δόξαν,
σέ, τὸν ἀληθῶς Θεὸν δεδοξασμένον,
ὃν τὸ κατιδεῖν ἀκρότης ἐστὶ δόξης.
Ὁ δὲ ἀεί σε βλέπειν ἠξιωμένος
πάντως ἔλαχεν ἀγγελικῆς ἀξίας,
εἰ καὶ δέδεται τῇ σαρκὶ κατὰ φύσιν.

---

4. Ἐφ. 5,8.

* Ὁ ὕμνος εἶναι ἡ ἀπάντηση τοῦ Συμεὼν στὸν Στέφανο Νικομηδείας, ὺ ἔκανε τὴν ἀρχὴ τοῦ πολέμου κατὰ τοῦ Συμεὼν καὶ τῶν τόσων καταδιώξεών

21 *

Ἐπιστολὴ σὲ κάποιο μοναχὸ ποὺ ρώτησε· Πῶς χωρίζεις τὸν Υἱὸ ἀπὸ τὸν Πατέρα, λογικὰ μόνο ἢ στὴν πραγματικότητα; Στὴν ἐπιστολὴ θὰ βρεῖς πλοῦτο θεολογίας ποὺ ἀνατρέπει τὴ βλασφημία αὐτοῦ.

Ἔλαμψες, φανέρωσες τὸ φῶς τῆς δόξας,
τὸ φῶς τὸ ἀπρόσιτο τῆς οὐσίας σου, Σωτήρα,
καὶ ψυχὴ καταύγασες σκοτεινιασμένη,
–τί λέω; σκοτάδι ὁπού ἦταν ἀπ' τὴν ἁμαρτία,
ἀφοῦ τὴ φυσικὴ ὀμορφιά της εἶχε χάσει–
ἀπ' τὸν ἅδη τὴν ἔσυρες ὅπου κειτόταν,
τὸ φῶς τῆς ἔδωσες νὰ δεῖ τῆς θείας ἡμέρας,
ἀπ' τὶς ἀκτίνες τοῦ ἥλιου νὰ φεγγοβολήσει
καὶ φῶς νὰ γίνει ἡ ἴδια, θαῦμα μέγα!
Δὲν πιστεύουν, τὴ δόξα τῶν ἀνθρώπων ὅσοι
δὲν καταφρόνησαν ὅπως ἔχεις ὁρίσει,
γιατὶ μήτε καὶ γεύτηκαν τὴ θεία τὴ δόξα,
ποὺ ἔδωσες σὺ καὶ δίνεις τώρα, Θεέ μου,
σ' ὅσους μ' ὅλη τους τὴν ψυχή, τὴ θέληση ὅλη
ἐσένα ἀναζητήσαν τὴν αἰώνια δόξα,
τὸ δοξασμένο ἐσένα Θεὸ στ' ἀλήθεια,
ὅπου τῆς δόξας εἶναι ἡ δόξα νὰ σὲ δεῖ κανένας.
Κι ὅποιος ἔχει ἀξιωθεῖ γιὰ πάντα νὰ σὲ βλέπει
ἡ ἀξία ἀλήθεια τοῦ ἔχει λάχει τῶν ἀγγέλων
κι ἂς εἶναι φυσικὰ δεμένος μὲ τὴ σάρκα,

του. Ὁ ὕμνος εἶναι θεολογικότατος καὶ τὸ συμπέρασμά του ἢ μᾶλλον ἡ ἀπάντηση στὸ ἐρώτημα τοῦ τίτλου βρίσκεται στὸ στίχο 456· ὁ Υἱὸς δὲν χωρίζεται ἀπὸ τὸν Πατέρα οὔτε πραγματικὰ οὔτε λογικά.

Εἰ δὲ καὶ μεῖναι παρ' αὐτῷ κατεδέξω
καὶ καταμένειν ἐν σοὶ προσηβουλήθης,
τὴν σὴν ἐξεπλήρωσας οἰκονομίαν
καὶ ὅμοιόν σου τὸν φθαρτὸν ἀπειργάσω
Θεόν, ὁ Θεός, ὁ συνυπάρχων φύσει,
ὁ προάναρχος Θεῷ τῷ συνανάρχῳ
Υἱῷ καὶ Λόγῳ, τῷ ἐκ σοῦ γεννηθέντι,
οὐκ ἐπινοίᾳ ἐκ σοῦ χωριζομένῳ,
ἀλλὰ πράματι ἀχωρίστῳ σου ὄντι.
Εἰ δὲ καὶ χωρίζεται, ἀλλ' οὐ τῇ φύσει,
τῇ ὑποστάσει δὲ μᾶλλον, εἴτ' οὖν προσώπῳ,
τὸ γὰρ πράγματι ἀσεβῶν καὶ ἀθέων,
τὸ δ' ἐπινοίᾳ ὅλως ἐσκοτισμένων.
Ἔχει γὰρ ὁ νοῦς γεννώμενον τὸν λόγον
ἀπαύστως πάντως καί πως κεχωρισμένον·
εἰ δὲ γεννᾶται καὶ προέρχεται ὄντως
καὶ κεχώρισται ἐνυποστάτῳ λόγῳ,
ἀλλὰ καὶ μένει τοῦ γεννήσαντος ἔνδον,
ὅπερ καὶ κόλπον πατρικὸν δεῖ νοῆσαι,
καὶ διέρχεται εἰς τὸν σύμπαντα κόσμον
καὶ πάντα πληροῖ τοῦ Πατρὸς ὅλως δίχα
καὶ σὺν τῷ Πατρὶ ὅλος αὐτὸς ὑπάρχει,
μετέρχεται δὲ πάντως ταῖς ἐνεργείαις
καὶ τῇ ἐλλάμψει μεταβαίνειν νοεῖται.
Ἐμπεριπατεῖν ἤκουσας γὰρ καὶ μένειν
καὶ ἀποστρέφειν τὸ πρόσωπον καὶ βλέπειν,
κατέρχεσθαί τε καὶ ἀνέρχεσθαι πάλιν,
παραγίνεσθαι καὶ ἀφίπτασθαι αὖθις
καὶ ἄλλα πολλὰ τῆς θείας ἐνεργείας
αἱ θεῖαι γραφαὶ πᾶσαι δημηγοροῦσιν,
ἃ ἐλάλησεν ἐκπορευθὲν τὸ Πνεῦμα,

---

39. Ἰω. 1,18. 41. Ἐφ. 4,10.
45. Γεν. 3,8 καὶ 18,3. 46. Ψαλμ. 9,32
47. Γεν. 11,5 καὶ 17,22.

μ' ἂν ἐσὺ καταδέχτηκες σ' αὐτὸν νὰ μείνεις
κι ἀκόμα ἂν θέλησες κι αὐτὸς σ' ἐσὲ νὰ μείνει,
τὴ θεία σου ὁλοκλήρωσες οἰκονομία
κι ὅμοιο μ' ἐσένα τὸ θνητὸ ἔχεις κάνει
θεόν, ἐσὺ ὁ Θεὸς ποὺ ὑπάρχεις κατὰ φύση,
ὁ προάναρχος μὲ τὸ Θεὸ τὸ συνάναρχό σου,
τὸν Υἱὸ καὶ Λόγο ποὺ γεννήθηκε ἀπὸ ἐσένα,
ποὺ ἀπὸ ἐσὲ δὲν τὸν ἀποχωρίζει ἡ σκέψη,
ἀλλὰ πραγματικὰ εἶν' ἀπὸ ἐσένα ἀχώριστος.
Ἂν ὅμως καὶ χωρίζεται, ὄχι στὴ φύση,
ἀλλὰ στὶς ὑποστάσεις μᾶλλον ἢ στὰ πρόσωπα·
'πραγματικὰ' οἱ ἀσεβεῖς κι ἄθεοι χωρίζουν,
'μ' ἐπίνοια' ὅσοι νοῦ ἔχουν σκοτισμένο.
Γιατὶ ὁ λόγος ἀπ' τὸ νοῦ γεννιέται ἀλήθεια
ὁλοένα κι εἶναι μ' ἕνα τρόπο χωρισμένος.
Ἀλλὰ ἂν γεννιέται, καὶ προέρχεται στ' ἀλήθεια
καὶ μ' ἐνυπόστατο εἶναι χωρισμένο λόγο,
σ' αὐτὸν ὡστόσο μένει ποὺ τὸν γέννησε
κι αὐτὸν 'πατρικὸ κόλπο' πρέπει νὰ ἐννοήσομε.
Μὰ καὶ περνᾶ μὲς ἀπὸ τὸν κόσμον ὅλο
καὶ γεμίζει τὰ πάντα ἀπ' τὸν Πατέρα χώρια,
ἐνῶ μὲ τὸν Πατέρα αὐτὸς ὑπάρχει ἀκέριος.
Βγαίνει ἀπ' αὐτὸν μὲ τὶς ἐνέργειές του ὡστόσο
κι ὡς μᾶς φωτίζει λέμε μεταβαίνει κάπου.
Ἄκουσες ὅτι περπατεῖ μὰ κι ὅτι μένει
κι ὅτι τὸ πρόσωπό του στρέφει καὶ κοιτάζει,
ὅτι ἔρχεται ἀπ' τὰ οὐράνια κι ἀνεβαίνει πάλι,
ὅτι φτάνει σ' ἐμᾶς, πετάει πάλι καὶ φεύγει
καὶ γιὰ πλῆθος θεῖες ἐνέργειες ἄλλες
ὅλες οἱ θεῖες Γραφὲς δὲν παύουν νὰ μιλᾶν,
ὅσα κήρυξε τὸ Πνεῦμα ὅταν ἐκπορεύτηκε

---

49. Τὸ πανάγιο Πνεῦμα μίλησε ὄχι στοὺς ἀπίστους... καὶ ἀρχίζει μιὰ σειρὰ μὲ τὸ ἀρνητικὸ οὔ. Ἔχομε ξανασημειώσει τὸ φαινόμενο ἀλλοῦ. Παρακάτω γίνεται μὲ τὸ δεικτικὸ 'οὗτοι' καὶ τὸ ὑποθετικὸ 'εἰ'.

τὸ πανάγιον, ἐκ τοῦ Πατρὸς ἀφράστως
καὶ ἀπετάλη δι' Υἱοῦ τοῖς ἀνθρώποις·
οὐ τοῖς ἀπίστοις οὐδὲ τοῖς φιλοδόξοις,
οὐ τοῖς ῥήτορσιν οὐδὲ τοῖς φιλοσόφοις,
οὐ τοῖς μαθοῦσι συγγραφὰς τῶν Ἑλλήνων,
οὐ τοῖς τὰς Γραφὰς ἀγνοοῦσι τὰς ἔσω,
οὐ τοῖς ἐξασκήσασι σκηνικὸν βίον,
οὐ τοῖς λαλοῦσι τορνευτῶς καὶ πλουσίως,
οὐ τοῖς λαχοῦσι μεγάλων ὀνομάτων,
οὐ τοῖς τυχοῦσι φιλεῖσθαι παρ' ἐνδόξων,
οὐ συμπράξασι τοῖς πράξασιν ἀνόμως.
οὐ τοῖς καλοῦσιν οὐδὲ τοῖς καλουμένοις,
οὐδὲ παίζουσιν οὐδὲ τοῖς παιζομένοις,
ἀλλὰ τοῖς πτωχοῖς πνεύματι καὶ τῷ βίῳ,
τοῖς τὴν καρδίαν καθαροῖς καὶ τὸ σῶμα,
τοῖς λόγον ἁπλοῦν καὶ ἁπλούστερον βίον
καὶ ἁπλουστέραν κεκτημένοις τὴν γνώμην,
τοῖς τὴν δόξαν φεύγουσιν ὡς πῦρ γεέννης
καὶ κολακευτὰς ἀπὸ ψυχῆς μισοῦσιν
(οὐ γὰρ δέχεται τὸ Πνεῦμα κολακείας,
οὐδ' ἀνέχεται ἀκούειν, ὃ μὴ ἔστι),
τοῖς πρὸς μόνην βλέπουσι ψυχῆς τὴν δόξαν
καὶ τῶν ἀδελφῶν τὴν σωτηρίαν πάντων
καὶ μηδὲ μικρᾷ καρδιακῇ κινήσει
αἴσθησιν λαμβάνουσι πρός τι τοῦ κόσμου,
ἐπαίνων οἷον ἢ δόξης ἀνθρωπίνης
ἢ πάσης ἄλλης ἡδονῆς εἴτε πάθους.
Οὗτοι γὰρ νεκροὶ καὶ ζῶντες ἀληθείᾳ,
ὅτι πέλουσιν ἀληθεῖς καὶ ὡς πλάνοι.
Οὗτοι ταπεινοὶ πνεύματι καὶ καρδίᾳ,
πραεῖς τε εἰσὶ καὶ ζηλωταὶ Κυρίῳ.
Οὗτοι ἀσεβεῖς εἰσι τοῖς ἀσεβέσι
καὶ ὀσμὴ ζωῆς τοῖς ἐκλεκτοῖς Κυρίου.

---

65. Σὲ ποιούς μιλάει τὸ Πνεῦμα; Στοὺς πτωχοὺς στὸ πνεῦμα καὶ στὰ μέ

τὸ πανάγιο μὲ τρόπο ἄφραστο ἀπ' τὸν Πατέρα
καὶ μέσω τοῦ Υἱοῦ στάλθηκε στοὺς ἀνθρώπους·
ὄχι στοὺς ἄπιστους καὶ μήτε στοὺς φιλόδοξους,
οὔτε στοὺς ρήτορες οὔτε στοὺς φιλοσόφους,
οὔτε σ' ὅσους σπούδασαν τὶς συγγραφὲς τῶν Ἑλλήνων,
οὔτε σ' ὅσους ἀγνοοῦν τὶς Γραφὲς τὶς δικές μας,
οὔτε σ' ὅσους πρωταγωνίστησαν στὰ δημόσια,
οὔτε σ' ὅσους μιλοῦνε κομψὰ καὶ μ' εὐφράδεια,
οὔτε σ' ὅσους κληρονόμησαν μεγάλο ὄνομα,
οὔτε σ' ὅσους κέρδισαν τὴν εὔνοια τῶν ἐπίσημων,
οὔτε σ' ὅσους καλοῦν καὶ σ' ὅσους προσκαλοῦνται,
οὔτε σ' ὅσους συμπράξουν μὲ τοὺς παρανόμους,
ἀλλὰ στοὺς φτωχοὺς στὸ φρόνημα καὶ στὸ βίο,
στοὺς καθαροὺς στὴν καρδιὰ μὰ καὶ στὸ σῶμα,
σ' ὅσους λόγο ἁπλὸ κι ἁπλούστερο βίο
κι ἁπλούστερη γνώμη ἔχουν ἀποκτήσει,
σ' ὅσους τὴ δόξα ἀποφεύγουν σὰν φωτιὰ τῆς γέεννας [τους
κι ὅσους τοὺς κολακεύουν τοὺς μισοῦν ἀπ' τὴν καρδιά
(γιατὶ δὲ δέχεται τὸ Πνεῦμα κολακεῖες
οὔτε ὅ,τι δὲν ὑπάρχει ἀνέχεται ν' ἀκούει),
σ' ὅσους στὴ δόξα τῆς ψυχῆς μόνο ἀποβλέπουν
κι ὅλων τὴ σωτηρία τῶν ἀδελφῶν μας,
καὶ μήτε μὲ μικρὸ ἕνα τῆς καρδιᾶς τους σκίρτημα
δὲ δίνουν προσοχὴ σὲ κάτι τι τοῦ κόσμου,
ἂς ποῦμε ἐπαίνους εἴτε δόξα ἀνθρώπων
ἢ κι ὅποιαν ἄλλη ἡδονὴ εἴτε πάθος.
Γιατὶ εἶν' αὐτοὶ νεκροὶ ἐνῶ ζοῦν στ' ἀλήθεια,
γιατὶ εἶναι ἀληθινοὶ κι ὡς πλάνοι ἀκόμα.
Αὐτοὶ εἶναι ταπεινοὶ στὸ πνεῦμα ὅσο καὶ στὴν καρδιά,
εἶναι ὅλοι πραότητα καὶ γιὰ τὸν Κύριο ζῆλο.
Εἶναι ἀσεβεῖς γιὰ ἀσεβεῖς ὅσους,
μιὰ ὀσμὴ ζωῆς γιὰ τοὺς ἐκλεκτοὺς Κυρίου.

τῆς ζωῆς· κι ἀκολουθεῖ ἄλλος κατάλογος μὲ χρήση τῆς δεικτικῆς ἀντωνυμίας 'οὗτοι'.

Οὗτοι καὶ πόρνοι τοῖς πόρνοις τῇ καρδίᾳ
καὶ ἰσάγγελοι τοῖς τὴν ψυχὴν παρθένοις.
Οὗτοι καὶ δόξης ἐν μέσῳ ταπεινοῦνται
καὶ ἐν πενίᾳ εἰσὶ δεδοξασμένοι.
Οὗτοι καὶ εὐτέλειαν ὡς βασιλείαν
καὶ βασιλείαν ὡς πτωχείαν ἡγοῦνται.
Οὗτοι τρώγοντες εἰσὶν ἐν ἐγκρατείᾳ
καὶ νηστεύοντες πᾶν εἶδος ἐμπιπλῶνται.
Οὗτοι οὐ συνέρχονται τῇ ἀδικίᾳ
οὐδὲ παριδεῖν δύνανται τεθλιμμένον
καὶ καταπονούμενον ὑπὸ πλουσίων.
Οὗτοι πρόσωπον οὐκ αἰδοῦνται ἀνθρώπων,
τὸ γὰρ πρόσωπον ὁρῶσι τοῦ Κυρίου.
Οὗτοι οὐ κλῶνται τοῖς δώροις τὴν καρδίαν
καὶ οὐ παρορῶσι νόμον δικαιοσύνης,
ἔχουσι καὶ γὰρ τὸν ἀσύλητον πλοῦτον
καὶ τὰ τοῦ κόσμου πάντα λογίζονται ὡς κόπρον.
Οὗτοι ἔχοντες διδάσκαλον τὸ Πνεῦμα
μάθησιν οὐ χρῄζουσιν ἐκ τῶν ἀνθρώπων,
ἀλλὰ τῷ φωτὶ λαμπόμενοι τῷ τούτου
βλέπουσιν τὸν Υἱόν, ὁρῶσι τὸν Πατέρα
καὶ προσκυνοῦσι Τριάδα τοῖς προσώποις,
τὸν ἕνα Θεὸν ἡνωμένον τῇ φύσει ἀφράστως.
Οὗτοι μυοῦνται ἐκ τοῦ Πατρὸς δὲ πάλιν,
ὅτι γεννᾶται ὁ Υἱὸς ἀμερίστως,
ὡς οἶδε μόνος, εἰπεῖν γὰρ οὐκ ἰσχύω·
εἰ γὰρ ἴσχυον, εἶχε πάντως ὁ λόγος
τὰ ὑπὲρ λόγον καὶ διάνοιαν φράσαι
καὶ ἄνω κάτω τὰ σύμπαντα γενέσθαι.
Εἰ γὰρ τὸ κτίσμα τὸν κτίστην καταμάθῃ
καί, οἷός ἐστιν, ὅλος κατανοήσῃ
καὶ εἰπεῖν λόγῳ καὶ γράψαι ἐξισχύσῃ,
γέγονε τοῦ κτίσαντος τὸ ἔργον κρεῖσσον.

---

96. Ματθ. 22,16. 99. Ρωμ. 9,31.

Εἶναι καὶ πόρνοι, γιὰ τοὺς πόρνους στὴν καρδιά,
κι ἴσοι μ' ἀγγέλους γιὰ τὶς παρθενικὲς ψυχές.
Αὐτοὶ καὶ στὸ κορύφωμα τῆς δόξας νιώθουν ταπεινοὶ
καὶ μὲς στὴ φτώχεια τους εἶναι ὅλοι δόξα.
Αὐτοὶ ἔχουν βασιλεία τὴ φτωχοζωή τους
κι ὡς φτώχεια τὴ βασιλεία θεωροῦν.
Ὅταν ἔχουν νὰ φᾶν αὐτοὶ ἐγκρατεύονται
κι ὅταν νηστεύουν λὲν πὼς τά 'χουν ὅλα.
Αὐτοὶ δὲν πᾶνε μὲ τῆς ἀδικίας τὸ μέρος
κι οὔτε γιὰ τὸ θλιμμένο ἀντέχουνε ν' ἀδιαφορήσουν
καὶ γι' αὐτὸν ποὺ οἱ πλούσιοι βασανίζουν.
Αὐτοὶ πρόσωπο ἀνθρώπου δὲ φοβοῦνται,
γιατὶ τὸ πρόσωπο ἀτενίζουν τοῦ Κυρίου.
Ἀπὸ δῶρα ἡ καρδιά τους μένει ἀνεπηρέαστη
καὶ τὸ νόμο δὲν παραβαίνουν τῆς δικαιοσύνης.
Τὸν ἀσύληπτο ἔχουν πλοῦτο ἀποκτήσει
καὶ κόπρια ὅλα τοῦ κόσμου λογαριάζουν.
Ἀφοῦ τὸ Πνεῦμα δάσκαλό τους ἔχουν
δὲ χρειάζονται μαθήματα ἀπὸ τοὺς ἀνθρώπους,
ἀλλὰ καθὼς τὸ φῶς ἐκείνου τοὺς φωτίζει,
τὸν Υἱὸ ἀντικρίζουν, τὸν Πατέρα βλέπουν
καὶ προσκυνοῦν Τριάδα προσώπων,
ἕνα Θεό, ἄφραστο στὴ φύση ἑνωμένο.
Καὶ διδάσκονται πάλι πὼς ἀπ' τὸν Πατέρα
ὁ Υἱὸς μὲ δίχως μερισμὸ γεννιέται,
τὸ πῶς νὰ πῶ ἐγὼ δὲν μπορῶ, ἐκεῖνος ξέρει.
Ἂν δύναμη εἶχα πάντως θὰ μποροῦσε ὁ λόγος
ὅσα πάνω ἀπὸ λόγο εἶναι νὰ πεῖ κι ἀπὸ τὴ σκέψη
κι ἄνω κάτω τὰ σύμπαντα νὰ γίνουν.
Γιατί, ἂν τὸ κτίσμα τὸν κτίστη ἐννοήσει
καὶ πῶς εἶναι ἂν καταλάβει ὡς πέρα
κι ἂν μπορέσει μὲ λόγο νὰ τὸ πεῖ καὶ νὰ τὸ γράψει,
ἔγινε ἀπ' τὸν κτίστη του τὸ κτίσμα ἀνώτερο.

---

105. Ἰω. 14,9.

Παῦσον, ἄνθρωπε, φρίξον, βροτέ, τῇ φύσει
καὶ ἐννόησον, ὅτι μὴ ὢν παρήχθης
καὶ τῆς μητρῴας νηδύος παρακύψας
εἶδες τὸν κόσμον τὸν πρὸ σοῦ παραχθέντα!
Καὶ εἰ δυνηθῇς οὐρανοῦ ὕψος γνῶναι
ἢ τὴν οὐσίαν ὑποδεῖξαι ὁποία,
τοῦ ἡλίου τε, σελήνης καὶ ἀστέρων,
ποῦ κεκόλληνται καὶ πῶς περιπατοῦσιν
ἄψυχα ὄντα καὶ ἀναισθήτως κινούμενα,
ἢ τῆς γῆς αὐτῆς, ἐξ ἧς αὐτὸς ἐλήφθης,
ὅρους καὶ μέτρα, πλάτη τε καὶ μεγέθη,
καὶ ἐπὶ τίνος ἐποχεῖται, εἰ εἶδες,
πάλιν δ' ἐκεῖνο τί ἐστιν ἢ ποῦ τὴν βάσιν ἔχει,
ταῦτα εἰ ἔγνως καὶ καθ' ἓν εὗρες τέλος,
καὶ τῆς θαλάσσης εἰ μετρήσῃς τὴν ψάμμον,
εἴτε σοῦ αὐτοῦ διαγνῶναι τὴν φύσιν
καὶ τῆς σοφίας τὸ ἔργον ἑρμηνεῦσαι,
τότε καὶ αὐτὸν τὸν ποιητὴν νοήσεις,
πῶς ἐν Τριάδι ἡ Μονὰς ἀσυγχύτως
καὶ ἐν Μονάδι Τριὰς ἀδιαιρέτως.
Ζήτησον Πνεῦμα, ἔξω γενοῦ τοῦ κόσμου!
Μὴ δῴης ὕπνον ὀφθαλμοῖς τὸ παράπαν,
μήτε φροντίσῃς τῆς ζωῆς τῆς παρούσης!
Κλαῦσον, πένθησον, ὃν ἀπώλεσας χρόνον!
Ἴσως ὁ Θεὸς παρακληθῇ καὶ δώσει,
ὥσπερ τὸ πρὶν δέδωκεν ἰδεῖν τὸν κόσμον
καὶ τὸν ἥλιον καὶ τὸ φῶς τῆς ἡμέρας,
οὕτω καὶ τὰ νῦν λάμψαι καταξιώσει
καὶ ὑποδεῖξαι τὸν νοερόν σοι κόσμον
καὶ φωτὶ ἐλλάμψαι σε τῷ τρισηλίῳ,
ὃ εἰ θεάσῃ, τότε γνώσεις ἃ λέγω·
τότε μαθήσῃ τοῦ Πνεύματος τὴν χάριν,
ὅτι καὶ ἀπὸν πάρεστι τῇ δυνάμει
καὶ παρὸν οὐχ ὁρᾶται τῇ θείᾳ φύσει,
ἀλλὰ καὶ πάντῃ καὶ οὐδαμοῦ ὑπάρχει.

῎Ανθρωπε, πάψε· θνητὴ φύση, φρίξε
καὶ σκέψου ὅτι ἔγινες χωρὶς νὰ ὑπάρχεις
κι ἀπ' τὴ νηδὺ τῆς μάνας σου προβαίνοντας
εἶδες τὸν κόσμο ποὺ ἔγινε πρὶν ἀπὸ ἐσένα.
Κι ἂν μπορέσεις τὸ ὕψος τοῦ οὐρανοῦ νὰ μάθεις
ἢ νὰ μᾶς δείξεις ποιά εἶναι ἡ οὐσία
τοῦ ἥλιου, τοῦ φεγγαριοῦ κι ὅλων τῶν ἄστρων,
ποὺ ἔχουν στερεωθεῖ καὶ πῶς πορεύονται,
ἄψυχα ἀφοῦ εἶναι κι ἀσυναίσθητα κινοῦνται
ἢ καὶ ἡ οὐσία τῆς γῆς ποὺ ἀπ' αὐτὴν πλάστηκες·
τὰ ὅρια καὶ τὰ μέτρα της, τὰ πλάτη, ὁ ὄγκος
κι ἂν ξέρεις καὶ σὲ τί πάνω στηρίζεται
καὶ πάλι αὐτὸ τί νά 'ναι καὶ ποιά ἡ βάση του·
ἐτοῦτα ἂν ξέρεις κι ηὗρες τὸ σκοπό τους
κι ἂν μετρήσεις τὴν ἄμμο τῆς θαλάσσης
ἢ κι ἂν γνωρίσεις τὴν ἴδια τὴ δική σου φύση
καὶ τὸ ἔργο τοῦτο τῆς σοφίας ἐξηγήσεις,
τότε θὰ ἐννοήσεις καὶ τὸν ἴδιο τὸν ποιητή.
Πῶς στὴν Τριάδα ἀσύγχυτα ἡ Μονάδα
κι ἀδιαίρετη ἡ Μονάδα στὴν Τριάδα ὑπάρχει.
Τὸ Πνεῦμα ζήτησε καὶ βγὲς ἔξω ἀπ' τὸν κόσμο.
Στιγμὴ στὰ μάτια σου μὴ δώσεις ὕπνο
καὶ μήτε νὰ φροντίσεις γιὰ τὴν παρούσα ζωή.
Κλάψε καὶ πένθησε γιὰ τὸ χαμένο χρόνο.
῎Ισως ὁ Θεὸς σὲ λυπηθεῖ καὶ δώσει,
ὅπως σοῦ ἔδωσε στὴν ἀρχὴ νὰ δεῖς τὸν κόσμο,
τὸν ἥλιο καὶ τὸ φῶς τῆς μέρας,
ἔτσι καὶ τώρα ἄξιο σὲ κάνει ν' ἀναλάμψεις
καὶ τὸ νοητὸ κόσμο νὰ σοῦ φανερώσει
καὶ νὰ σὲ καταλάμψει μὲ τὴ λάμψη τὴν τρισήλια,
ποὺ μόνον ἂν τὴ δεῖς, θὰ νιώσεις τί σοῦ λέγω.
Τότε θὰ νιώσεις καὶ τοῦ Πνεύματος τὴ χάρη,
ὅτι κι ἂν λείπει μᾶς τυλίγει μὲ τὴ δύναμή του,
μὰ καὶ παρὸν δὲ βλέπομε τὴ θεία του φύση,
ἀλλὰ εἶναι καὶ παντοῦ καὶ πουθενά.

Εἰ γὰρ ζητήσεις αἰσθητῶς ἰδεῖν τοῦτο,
ποῦ ἂν εὑρήσεις; Οὐδαμοῦ, πάντως εἴποις.
Εἰ δὲ νοερῶς ἀναβλέψαι ἰσχύσεις,
μᾶλλον δ' ἐκεῖνο τὸν νοῦν σου καταλάμψει
καὶ διανοίξει κόρας τῆς σῆς καρδίας·
τότε πανταχοῦ εἶναι οὐκ ἀπαρνήσῃ,
ἀλλὰ δι' αὐτοῦ ἅπαντα διδαχθήσῃ,
εἰ καὶ ἀμαθὴς καὶ ἄγροικος τυγχάνεις.
Εἰ δὲ οὐκ ἔγνως ὀφθαλμὸν ἀνοιγέντα
τῆς διανοίας τῆς σῆς καὶ φῶς ἰδόντα,
εἰ οὐκ ᾐσθήθης γλυκύτητος τῆς θείας,
εἰ οὐκ ἐλλάμφθης τῷ Πνεύματι τῷ θείῳ,
εἰ οὐκ ἔκλαυσας δάκρυα ἀνωδύνως,
εἰ ἐκπλυθέντα τὸν νοῦν οὐκ ἐθεάσω,
εἰ καθαρθεῖσαν οὐκ ἔγνως σὴν καρδίαν
καὶ ἐκλάμψασαν φαιδρὰς ἀντανακλάσεις
καὶ ἀνελπίστως εὗρες Χριστὸν ἐντός σου
καὶ ἐξεπλάγης κάλλος ἰδὼν τὸ θεῖον
καὶ ἐπελάθου φύσεως ἀνθρωπίνης
ὅλον σεαυτὸν βλέπων ἠλλοιωμένον,
πῶς περὶ Θεοῦ λαλεῖν, εἰπέ, οὐ φρίττεις;
Πῶς δὲ καὶ τολμᾷς σὰρξ αὐτὸς ὅλος πέλων
καὶ μήπω πνεῦμα γεγονὼς ὡς ὁ Παῦλος
περὶ Πνεύματος φιλοσοφεῖν ἢ λέγειν,
ὃ ἐν τοιούτοις μὴ κατοικεῖν ἀκούεις
διὰ τὸ εἶναι σάρκας αὐτοὺς ὡς λόγος;
Ἀλλ' ἔγραψα ταῦθ' ἵνα γνῷς πῶς πιστεύω,
καὶ εἰ θελήσεις, πεισθῇς μοι καὶ στυγνάσῃς.
Εἰ γὰρ ἀληθῶς τὸν θησαυρὸν οὐκ ἔχεις,
ὅνπερ ὁ κόσμος οὐ δύναται χωρῆσαι,
εἰ οὔπω ἔλαβες δόξαν τῶν ἁλιέων,
ἣν οἱ λαβόντες Θεὸν ἔλαβον ὄντως,

159. Ἰω. 14,26. 167. Ματθ. 5,8.
175. Ρωμ. 7,3.

Ἂν μὲ τὰ μάτια νὰ τὸ δεῖς ζητήσεις,
ποῦ θὰ τὸ βρεῖς; Πουθενά, θὰ πεῖς μ' ἕνα λόγο.
Κι ἂν ν' ἀνυψώσεις νοερὰ τὰ μάτια σου μπορέσεις,
τὸ νοῦ σου ἀκόμα πιὸ πολὺ θὰ καταλάμψει
καὶ τὶς κόρες θ' ἀνοίξει τῆς καρδιᾶς σου.
Τότε δὲ θ' ἀρνηθεῖς πὼς βρίσκεται παντοῦ
ἀλλὰ καὶ μὲ τὴ δύναμή του θὰ τὰ μάθεις ὅλα
κι ἂς εἶσαι ἀνήξερος κι ἀπαίδευτος.
Κι ἂν δὲν ἔνιωσες τοῦ νοῦ τὸ μάτι
ποὺ ἄνοιξε καὶ γρίκησε τὸ φῶς,
ἂν δὲν αἰσθάνθηκες τὴ θεία γλυκύτητα,
ἂν δὲν καταφωτίστηκες ἀπὸ τὸ θεῖο Πνεῦμα,
ἂν μὲ δάκρυα δὲν ἔκλαψες ἀνώδυνα,
ἂν τὸ νοῦ σου δὲν εἶδες νά 'χει ξεπλυθεῖ,
ἂν δὲν ἔνιωσες καθαρμένη τὴν καρδιά σου
καὶ ν' ἀκτινοβολεῖ χαρούμενες ἀνταύγειες
κι ἀνέλπιστα ἂν δὲ βρῆκες τὸ Χριστὸν ἐντός σου
κι ἂν βλέποντας τὸ θεῖο κάλλος δὲν τά 'χασες
καὶ τὴν ἀνθρώπινη φύση δὲν ξέχασες,
βλέποντας ὅλον ἀλλαγμένο τὸν ἑαυτό σου,
πῶς δὲν φρίττεις νὰ μιλᾶς, πές μου, περὶ Θεοῦ;
Καὶ πῶς τολμᾶς, ἐνῶ εἶσαι σάρκα ὁλόκληρος
καὶ δὲν ἔχεις ἀκόμα γίνει Πνεῦμα, ὅπως ὁ Παῦλος,
περὶ Πνεύματος νὰ φιλοσοφεῖς καὶ νὰ μιλᾶς,
ποὺ ἀκοῦς ὅτι δὲν κατοικεῖ σ' αὐτούς,
ἐπειδὴ εἶναι σάρκα ὅπως ἡ Γραφὴ μᾶς λέει;
Σοῦ γράφω τοῦτα γιὰ νὰ μάθεις τί πιστεύω
καὶ νὰ πειστεῖς σ' ἐμένα, ἂν θέλεις, καὶ νὰ λυπηθεῖς.
Γιατὶ ἂν ἀληθινὰ τὸ θησαυρὸ δὲν ἔχεις,
ποὺ ὁ κόσμος δὲν μπορεῖ νὰ τὸν χωρέσει,
ἂν τὴ δόξα τῶν ψαράδων δὲν ἔλαβες ἀκόμα,
ποὺ ὅσοι τὴν ἔλαβαν τὸ Θεὸ ἔλαβαν στ' ἀλήθεια,

---

178. Ρωμ. 8,9. 181. Μάρκ. 10,21.
182. Ιω. 14,17.

καταλείψας κόσμον καὶ τὰ ἐν κόσμῳ,
ὀξυποδήσεις, δράμεις πρὸ τοῦ κλεισθῆναι
πύλας βίου σοι καὶ τοῦ τῆδε θεάτρου,
καὶ διαλυθῇ ἡ πανήγυρις, οἴμοι,
καὶ συσκοτάσει ἥλιος καὶ τὰ ἄστρα
καὶ γῆ παρέλθει καὶ ἀνοιχθῇ ὁ ᾅδης
καὶ τὸ πᾶν γενήσεται σκότος καὶ χάος·
καὶ τότε γνώσει, φίλη ψυχή, καὶ μάθεις,
ὅτι οἱ μὴ ἔχοντες Πνεῦμα τὸ θεῖον
ἐν διανοίᾳ λαμπάδος δίκην λάμπον
καὶ ἐν καρδίᾳ ἐνοικοῦν ἀνεκφράστως
τῷ αἰωνίῳ παραπέμπονται σκότει.
Καὶ γὰρ τὸ Πνεῦμα ὁ Κύριος ὑπάρχει,
Πνεῦμα δ' ὁ Θεός, ὁ Πατὴρ τοῦ Κυρίου,
ἓν πάντως Πνεῦμα, οὐδὲ γὰρ διαιρεῖται.
Τοῦτο ὁ ἔχων ὄντως ἔχει τὰ τρία,
ἀλλ' ἀσυγχύτως, εἰ καὶ ἀδιαιρέτως·
ἔστι γὰρ Πατήρ· καὶ πῶς Υἱὸς ὑπάρξει;
Ἔστι γὰρ ἀγέννητος τὸ κατ' οὐσίαν,
ἔστι τε Υἱός· καὶ πῶς γένηται Πνεῦμα;
Πνεῦμα τὸ Πνεῦμα· καὶ πῶς Πατὴρ φανεῖται;
Πατὴρ ὁ Πατήρ, ὅτι ἀεὶ γεννήτωρ·
πῶς δὲ γίνεται ἡ ἀεὶ γεννησία;
Ὅτι τοῦ Πατρὸς οὐ χωρίζεται ὅλως
καὶ ὅλος προέρχεται ἀνερμηνεύτως,
πάντοτε μένει ἐν τῷ πατρικῷ κόλπῳ
καὶ προέρχεται πάντοτε ἀνεκφράστως.
Υἱὸς ἐν Πατρὶ ἀεννάως ὁρᾶται
γεγεννημένος, ἀλλὰ συνηνωμένος·

---

185. Α' Ἰω. 2,15. 186. Ματθ. 25,10.
189. Ματθ. 24,29 (Ἰωὴλ 2,10). 190. Ματθ. 24,35.

189. Ἐδῶ καὶ παρακάτω στίχοι 235–237 καὶ 266–267 ὁ Συμεὼν δανείζεται ἐκφράσεις ἀπὸ τὸν Ἰωάννη τὸ Δαμασκηνό. (Ἔκδοσις ἀκριβὴς ὀρθοδόξου πίστεως).

τὸν κόσμο καὶ ὅσα εἶναι τοῦ κόσμου θὰ ἐγκαταλείψεις,
μὲ πόδια φτερωτὰ θὰ τρέξεις πρὶν νὰ κλείσουν
γιὰ σένα οἱ πύλες τῆς ζωῆς καὶ πέσει ἡ αὐλαία
καὶ διαλυθεῖ τὸ πανηγύρι, ἀλίμονο,
καὶ σκοτεινιάσει ὁ ἥλιος καὶ τ᾽ ἀστέρια
καὶ πιὰ παρέλθει ἡ γῆ καὶ ἀνοίξει ὁ ἅδης
καὶ σκότος νὰ γινεῖ καὶ χάος ὁ κόσμος ὅλος
καὶ τότε, ἀγαπητὴ ψυχή, θὰ μάθεις,
ὅτι ὅσοι Πνεῦμα θεῖο δὲν ἔχουν
λαμπάδα μὲς τὴ σκέψη τους νὰ λάμπει
κι ἀνέκφραστα μὲς στὴν καρδιά τους νὰ ἐνοικεῖ,
στὸ αἰώνιο ἐξαποστέλλονται σκοτάδι.
Γιατὶ τὸ Πνεῦμα εἶναι ὁ Κύριος,
Πνεῦμα εἶναι ὁ Θεός, ὁ Πατέρας τοῦ Κυρίου,
ἕνα βέβαια Πνεῦμα, κι οὔτε διαιρεῖται.
Τοῦτο ὅποιος ἔχει καὶ τὰ τρία πρόσωπα ἔχει,
ἀσύγχυτα ὅμως, ἂν καὶ ἀδιαίρετα·
εἶναι Πατέρας, πῶς θὰ γίνει Υἱός;
᾽Αφοῦ εἶναι κατὰ τὴν οὐσία του ἀγέννητος.
Εἶναι ὁ Υἱὸς καὶ πῶς θὰ γίνει Πνεῦμα.
Πνεῦμα εἶναι τὸ Πνεῦμα· πῶς νὰ γίνει Πατέρας;
Εἶναι ὁ Πατέρας Πατέρας γιατὶ αἰώνια γεννάει·
καὶ πῶς νὰ γίνεται ἡ ἀειγεννησία;
᾽Επειδὴ ἀπ᾽ τὸν Πατέρα δὲ χωρίζεται καθόλου
κι ὁλότελα ἀνερμήνευτα ἀπ᾽ αὐτὸν προέρχεται.
Αἰώνια μένει στοὺς κόλπους τοῦ Πατέρα
καὶ αἰώνια προέρχεται ἀπ᾽ αὐτὸν ἀνέκφραστα.
῾Ο Υἱὸς φαίνεται ἀέναα μέσα στὸν Πατέρα
νὰ ἔχει γεννηθεῖ μαζί του ἑνωμένος·

---

200. Ἡ θεότητα εἶναι μία οὐσία σὲ τρία πρόσωπα. Δὲν διαιρεῖται, ἀλλὰ καὶ δὲ συγχέεται. Μὲ ἁπλότητα διδάσκει ὅσα ἀφοροῦν τὴ σχέση τῶν τριῶν προσώπων καὶ κυρίως τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

καὶ ἐν Υἱῷ γὰρ ὁ Πατὴρ καθορᾶται
ἀδιαστάτως, ἀτόμως, ἀχωρίστως.
Υἱὸς ὁ Υἱός, ὅτι ἀεὶ γεννᾶται
καὶ πρὸ αἰώνων ἐστὶ γεγεννημένος,
προερχόμενος οὐ τέμνεται τῆς ῥίζης,
ἀλλὰ καὶ χωρὶς ἀχώριστος τυγχάνει
καὶ ἡνωμένος ὅλος Πατρὶ τῷ ζῶντι
αὐτός τε ζωὴ πᾶσι τὸ ζῆν παρέχων.
Ὅσα ὁ Πατήρ, καὶ ὁ Υἱὸς τοσαῦτα·
ὅσα ὁ Υἱός, καὶ ὁ Πατὴρ ὡσαύτως.
Βλέπω τὸν Υἱόν, καὶ βλέπω τὸν Πατέρα,
ὁρᾶται Πατὴρ Υἱῷ ἀπαραλλάκτως,
πλὴν ὁ μὲν γεννᾷ, ὁ δὲ ἀεὶ γεννᾶται.
–Τίς χωρὶς Πατρός ἐστιν, ὅπερ καὶ ἔστι;
τίς ἐστιν; εἰπέ, φράσον πᾶσιν ἀνθρώποις.–
Θεὸς ἄναρχος καὶ ποιητὴς τῶν πάντων,
εἴ τι γέγονε καὶ γενήσεσθαι μέλλει.
Θεὸς τῷ Πατρὶ ἴσος καὶ κατ' οὐσίαν
καὶ κατὰ φύσιν καὶ κατὰ ἐξουσίαν
καὶ κατὰ μορφὴν ὄντως καὶ κατ' ἰδέαν
καὶ κατὰ χρόνον Πατρὸς οὐδέπω δίχα.
Πῶς προέρχεται; Ὡς ἐκ νοὸς ὁ λόγος.
Πῶς χωρίζεται; Ὡς φωνὴ ἐκ τοῦ λόγου.
Πῶς σωματοῦται; Ὡς γραφόμενος λόγος.–
Ἐκ τῶν ὑψηλῶν εἰς τὰ ταπεινὰ κατήχθην
καὶ πρὸς ἐμαυτὸν λυπηθεὶς ἐγενόμην
καὶ τὸ γένος ἔκλαυσα τὸ τῶν ἀνθρώπων,
ὅτι ζητοῦσι παραδείγματα ξένα
ἐπινοίας τε καὶ πράγματα, καὶ λέξεις
παρεισάγουσιν ἀπὸ τῶν ἀνθρωπίνων
ἐξεικονίζειν δοκοῦντες τὴν θείαν φύσιν·
φύσιν, ἣν οὐδεὶς ἀγγέλων ἢ ἀνθρώπων

222. Ἰω. 17,10.

καὶ μέσα στὸν Υἱὸ ὁ Πατέρας φαίνεται
ἀδιάστατα, ἀδιαίρετα κι ἀχώριστα.
Ὁ Υἱὸς εἶναι Υἱὸς γιατὶ γεννιέται αἰώνια
καὶ εἶναι γεννημένος πρὶν ἀπ' τοὺς αἰῶνες
κι ἐνῶ ἀπ' αὐτὸν βλασταίνει δὲν κόβεται ἀπ' τὴ ρίζα,
ἀλλὰ κι ἀπὸ αὐτὸν μακριὰ εἶναι ἀχώριστός του
κι ἑνωμένος ὁλότελα μὲ τὸν Πατέρα τὸ ζώντα,
εἶναι ὁ ἴδιος ζωὴ καὶ τὴ ζωὴ παρέχει σ' ὅλους.
Ὅσα ὁ Πατέρας ἔχει τὰ ἔχει κι ὁ Υἱὸς
κι ὅσα ἔχει ὁ Υἱὸς ἐπίσης κι ὁ Πατέρας.
Βλέπω τὸν Υἱὸ καὶ βλέπω τὸν Πατέρα
καὶ μὲ τὸν Υἱὸ εἶναι ὁ Πατέρας ἀπαράλλαχτος,
μόνο ποὺ ὁ ἕνας γεννᾶ κι ὁ ἄλλος γεννιέται αἰώνια.
Τί εἶναι χώρια ἀπ' τὸν Πατέρα τὸ ποὺ ὑπάρχει;
Πές μου τί εἶναι; Πέστο σ' ὅλους τοὺς ἀνθρώπους.
Εἶναι ὁ Θεὸς ὁ ἄναρχος καὶ ποιητὴς τῶν ὅλων,
ὅ,τι ἔχει γίνει κι εἶναι γιὰ νὰ γίνει.
Εἶναι Θεὸς ἴσος κατὰ τὴν οὐσία μὲ τὸν Πατέρα,
ἴσος στὴ φύση καὶ στὴν ἐξουσία
καὶ στὴ μορφὴ στ' ἀλήθεια καὶ στὴν ἔννοια·
μὰ ποτὲ καὶ στὸ χρόνο ἀπ' τὸν Πατέρα χώρια.
Πῶς ἀπ' αὐτὸν προέρχεται; Ὅπως ἀπ' τὸ νοῦ ὁ λόγος.
Καὶ πῶς χωρίζεται; Ὅπως ἡ φωνὴ ἀπ' τὸ λόγο.
Πῶς παίρνει σῶμα; Ὅμοια μὲ τὸ λόγο ποὺ γράφεται.
Ἀπὸ τὰ οὐράνια κατέβηκα στὰ χαμηλὰ
καὶ σὲ λύπη βυθίστηκα στὴ μοναξιά μου
κι ἔκλαψα γιὰ τὸ γένος τῶν ἀνθρώπων,
γιατὶ γυρεύουν παραδείματα ἄσχετα
νὰ βροῦν, σκέψεις καὶ πράγματα καὶ λέξεις
χρησιμοποιοῦν ἀπὸ τ' ἀνθρώπινα,
κι ἔτσι νομίζουν πὼς τὴ θεία φύση ἀπεικονίζουν,
τὴ φύση ποὺ ἄνθρωπος κανένας ἢ ἄγγελος

224. Ἰω. 14,9.

ἢ κατιδεῖν ἴσχυσεν ἢ ὀνομάσαι.
Τί γὰρ καὶ καλέσειε τὸν κτίστην πάντων;
Ὀνόματα γὰρ καὶ πράγματα καὶ λέξεις,
πάντα τοῦ Θεοῦ γεγόνασι προστάξει·
ἔθηκε γὰρ ὀνόματα τοῖς ἔργοις,
ἑκάστῳ τε πράγματι κλῆσιν ἰδίαν,
οὐ πᾶσι δ' αὐτός, ἀλλ' ἔδωκε καὶ ἔργοις
τοῖς ἔργοις πάλιν ὀνόματα τιθέναι,
καὶ ἄλλος ἄλλο καὶ λαλεῖ καὶ καλεῖται,
ὄνομα δ' αὐτοῦ ἡμῖν οὔπω ἐγνώσθη,
εἰ μὴ ὁ ὢν ἄφραστος Θεός, ὡς εἶπεν.
Εἰ οὖν ἄφραστος, εἰ ὄνομα οὐκ ἔχει,
εἰ ἀόρατος, εἰ ἀποκεκρυμμένος,
εἰ ἀπρόσιτος, εἰ μόνος ὑπὲρ λόγον,
ὑπὲρ ἔννοιαν οὐ μόνον τὴν βροτείαν,
ἀλλὰ καὶ αὐτὴν τὴν τῶν ἀΰλων νόων
–ἔθετο καὶ γὰρ ἀποκρυβὴν τὸ σκότος
καὶ πάντα τἄλλα ἔνθεν εἰσὶ τοῦ σκότους,
μόνος, δ' ἐκεῖνος ὡς φῶς ἔξω τοῦ σκότους–,
πῶς πεὶ αὐτὸν ἐπίνοιαν εἰσάγεις
εἴτε πράγματι χωρισθέντα κατεῖδες;
Πόθεν δὲ καὶ πῶς πεπάρακας τὸ σκότος
καὶ μόνος πάντων ἐχωρίσθης κτισμάτων;
Εἰ δὲ ταῦτα σὰ οὔκ εἰσιν, ἀλλ' ἑτέρου,
θαυμάζω τίνος καὶ μαθεῖν ἐρωτῶ σε·
ἀγέλου ἢ τινος τῶν ἀΰλων;
Καὶ οὐκ ἂν ἔγνως, ὅτι καὶ τὰ πρόσωπα
καὶ τοὺς πόδας ἔχουσι κεκαλυμμένους
πτέρυξι θείαις εὐλαβῶς καὶ κοσμίως
–εἴ τινας ταύτας πτέρυγας νοήσεις–
τὸ ἀπρόσιτον μὴ στέγοντες τῆς δόξης;
–Οὐ γὰρ τὴν φύσιν, ἀλλὰ τῆς δόξης ὁρῶσι δόξαν.
Ἀνθρώπου δὲ ποίου εἰπεῖν τολμήσεις;

---

253. Γεν. 2,19–20. 256. Ἐξ. 3,14.

δὲν μπόρεσε εἴτε νὰ τὴ δεῖ ἢ ὄνομα νὰ τῆς δώσει.
Τί βέβαια τὸ δημιουργὸ τῶν ὅλων νὰ καλέσει;
Τὰ ὀνόματα, τὰ πράγματα κι οἱ λέξεις
ὅλα μὲ τοῦ Θεοῦ τὸ πρόσταγμα ἔχουν γίνει.
Γιατὶ ἔβαλε στὰ ἔργα του ὅλα ὀνόματα
καὶ κάθε πράγμα πῶς νὰ τὸ φωνάζομε ὅρισε.
Κι ὄχι αὐτὸς σὲ ὅλα, μὰ ἐπέτρεψε καὶ στὰ ἔργα
στ' ἄλλα ἔργα του πάλι ὀνόματα νὰ βάζουν
κι ἀλλιῶς τὸ ἕνα ὀνομάζει τὸ ἄλλο κι ὀνομάζεται.
Μὰ ἀκόμα εἶναι ἄγνωστό μας τοῦ ἴδιου τὄνομα,
ἐκτὸς ἂν τὸν καλέσομε ὅπως εἶπε 'ὁ ἄφραστος Θεός'.
Κι ἐκεῖνος ἄφραστος, ἂν ὄνομα δὲν ἔχει,
ἂν εἶναι ἀόρατος κι εἶναι κρυμμένος,
ἂν εἶναι ἀπρόσιτος κι ἂν μόνος πάνω ἀπὸ τὸ λόγο
κι ὄχι πάνω ἀπ' ἀνθρώπινη ἔννοια μόνο,
μὰ κι ἀπ' τῶν ἴδιων τῶν ἀσώματων πνευμάτων
–γιατὶ τόπο γιὰ νὰ κρυφτεῖ ἔκανε τὸ σκότος
κι ὅλα τ' ἄλλα εἶναι ἀπὸ δῶ ἀπ' τὸ σκότος
καὶ αὐτὸς μόνο ὡς φῶς εἶναι πέρ' ἀπ' τὸ σκότος–
πῶς λοιπὸν χρησιμοποιεῖς ἔννοιες τοῦ νοῦ σου
καὶ πῶς γνωρίζεις πῶς στ' ἀλήθεια ἀποχωρίστηκε;
Πῶς κι ἀπὸ ποῦ διαπέρασες τὸ σκότος
κι ἐσὺ μόνος ξεχώρισες ἀπὸ τὰ πλάσματα ὅλα;
Κι ἂν αὐτὴ δὲν εἶναι σκέψη δική σου μὰ κάποιου ἄλλου,
ποιός νά 'ναι αὐτός, θαυμάζω, καὶ νὰ μάθω σὲ ρωτῶ·
εἶναι κάποιου ἀγγέλου ἢ κάποιου ἀπ' τ' ἄυλα ὄντα;
Καὶ δὲ θὰ ἤξερες πὼς καὶ τὸ πρόσωπό τους
ἔχουνε σκεπασμένο καὶ τὰ πόδια τους
μὲ τὰ θεϊκὰ φτερά τους ἀπὸ σεβασμὸ κι εὐλάβεια
–ἂν τέτοιου εἴδους φτερὰ μπορεῖς νὰ φανταστεῖς–
τὴν ἀβάσταχτη δόξα μὴ ἀντέχοντας;
Ὄχι βέβαια τὴ φύση, ἀλλὰ τῆς δόξας βλέπουνε τὴ δόξα.
Ἢ ποιόν ἄνθρωπο θὰ τολμήσεις νὰ πεῖς;

262. Ψαλμ. 17,12.

Τοῦ Ἰωάννου ἢ Παύλου τοῦ μεγάλου;
Ἀλλ' ὁ μὲν βοᾷ καὶ τοῖς πᾶσι κηρύττει,
ὅτι ἱμάντα μόνον ἢ σφαιρωτῆρα
ὑποδημάτων οὐκ ἐξισχύει λῦσαι·
ὁ δὲ εἰς τρίτον οὐρανὸν ὡς ἀνῆλθε
καὶ μετὰ ταῦτα εἰς παράδεισον ἤρθη,
μή τι σοὶ μόνῳ εἶπέ τι κατ' ἰδίαν,
ὅπερ ἔκρυβες καὶ νῦν βούλει κηρύξαι;
Καὶ γὰρ ἐκεῖνον ἡμεῖς περὶ τοιούτου
οὐδὲν εἰπόντα ἠκούσαμεν ἐγγράφως,
ἀλλὰ κἀκεῖνος φωνῇ μεγάλῃ λέγει·
Λόγους ἤκουσα, οὓς εἰπεῖν οὐκ ἰσχύω,
φωτὶ δὲ ὁ Θεὸς ἐνοικεῖ ἀπροσίτῳ.–
Ἰωάννης οὖν οὐ λύει σφαιρωτῆρα,
οὐδὲ ἱκανὸς ἱμάντα λῦσαι μόνον,
Παῦλος ρήματα οὐκ ἴσχυσεν ἐκφράσαι,
ἅπερ ἤκουσεν, ἄρρητα λέγων ταῦτα,
καὶ τίς, ὁ οὕτω τὸν Θεὸν ἐρευνήσας,
μείνας ἄφλεκτος φωτὶ τῷ ἀπροσίτῳ
καὶ γενόμενος τῆς οἰκίας ἐν μέσῳ
αὐτὴν ἐθεάσατο τὴν τοῦ Δεσπότου φύσιν,
ἵνα πλέον τι Ἰωάννου καὶ Παύλου
εἰπεῖν τολμήσει, ὁ ἄθλιος ἐκεῖνος;
Τίς γὰρ οὐ φρίξει καὶ τίς οὐ μὴ πενθήσει
τύφλωσιν καὶ σκότωσιν τῶν νῦν λεγόντων
καὶ νεουργούντων αἵρεσιν ὄντως ξένην,
ἀμφικρημνοῦσαν εἰς ἓν βάραθρον πάντας
τοὺς ἐρωτῶντας καὶ τοὺς ἐρωτωμένους;
Εἴτε γὰρ ἐπινοίᾳ χωρίσουσι τὸν Λόγον,
εἴτε πράγματι σφάλλουσι κακοφρόνως
πίπτοντες εἰς αἵρεσιν ἀμφοτέρωθεν·
τὸ γὰρ πράγματι τομὴν ποιεῖ τοῦ Λόγου,

---

304. 'αἵρεσιν'· ἡ αἵρεση εἶναι πρῶτα ἐκλογή, προτίμηση, κι ὕστερα αἵρεση

Μήπως τὸν Ἰωάννη ἢ τὸ μεγάλο Παῦλο;
Μὰ ὁ ἕνας φωνάζει καὶ κηρύττει σ' ὅλους πὼς
οὔτε τὸ κορδόνι καὶ τὸ κούμπωμα
τῶν παπουτσιῶν του δὲν μπορεῖ νὰ λύσει·
κι ὁ ἄλλος πὼς στὸν τρίτο ἀνέβηκε οὐρανὸ
κι ἔπειτα ὑψώθη στὸν παράδεισο.
Μήπως σ' ἐσένα μόνο μεταξύ σας εἶπε κάτι
ποὺ ἔκρυβες πρὶν καὶ θέλεις τώρα νὰ κηρύξεις;
Γιατὶ ἐκεῖνον ἐμεῖς γιὰ κάτι τέτοιο
δὲν ἀκούσαμε νὰ πεῖ οὔτε εἴδαμε γραμμένο,
ἀλλὰ κι ἐκεῖνος μὲ φωνὴ μεγάλη κράζει:
Ἄκουσα λόγους ποὺ νὰ ἐκφράσω ἀδυνατῶ,
ὁ Θεὸς κατοικεῖ σὲ φῶς ἀπρόσιτο.
Τὸ κούμπωμα λοιπὸν δὲ λύνει ὁ Ἰωάννης
ἀλλ' οὔτε τὸ κορδόνι κὰν νὰ λύσει εἶν' ἱκανός·
ὁ Παῦλος πάλι δὲν μπορεῖ νὰ πεῖ τὰ λόγια
ποὺ ἄκουσε ὡστόσο, λέγοντάς τα ἄρρητα.
Ποιός εἶναι αὐτὸς ποὺ ἔτσι τὸ Θεὸν ἐρεύνησε
κι ἔμεινε ἀπὸ τὸ φῶς τὸ ἀπρόσιτο ἄφλεκτος
κι ἀφοῦ στὴ μέση τοῦ σπιτοῦ ἐστάθηκε
τὴν ἴδια τὴ δεσποτικὴ τὴ φύση ἀντίκρισε,
ὥστε ἀπ' τὸν Ἰωάννη καὶ τὸν Παῦλο πιὸ πολὺ
κάτι νὰ πεῖ ἐκεῖνος ὁ ἄθλιος νὰ τολμήσει;
Ποιός δὲ θὰ φρίξει καὶ δὲ θὰ πενθήσει
τὴν τύφλωση ὅσων λένε τώρα καὶ τὸ σκοτισμὸ
καὶ μιὰ αἵρεση παράδοξη στ' ἀλήθεια πρωτοδείχνουν,
ποὺ ὅλους σὲ βάραθρο ἀμφίγκρεμο τοὺς ρίχνουν
κι ὅσους ρωτοῦν κι ἐκείνους ποὺ ρωτιοῦνται;
Ἂν χωρίσουν τὸ Λόγο 'μὲ τὴ σκέψη',
εἴτε 'πραγματικὰ' κακοδοξίας σφάλμα κάνουν
καὶ πέφτουν σ' αἵρεση ἀπ' τὴ μιὰ ἢ ἀπ' τὴν ἄλλη·
τομὴ κάνει τοῦ Λόγου τὸ 'πραγματικά',

θρησκευτική, ἀλλὰ κι αὐτὴ ἡ σημασία δηλώνει μιὰ ἐκλογὴ καὶ μιὰ προτίμηση ἑνὸς σημείου ποὺ ἀντίκειται στὸ κοινὰ παραδεκτό.

τὸ δ᾽ ἐπινοίᾳ σύγχυσιν ὡς μὴ χωρίζεσθαι ὅλω
Φρίξον, ἄνθρωπε, κατάμαθε σαυτόν γε,
εἰπὲ περὶ σοῦ, εἰπέ, εἴ τι καὶ βούλει!
Ἴσως ὡς Δαυὶδ καὶ σὺ ἀναβοήσεις·
Ἐθαυμαστώθη, λέγων, ἡ σὴ σοφία
καὶ ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ὦ Θεέ μου!
Ναί, κατάλιπε τὴν φιλοπραγμοσύνην
καὶ τὸ βλάσφημον τῶν λέξεων ἀπόθου!
Καὶ πρῶτον εἰπὲ τό, πῶς ἡμεῖς σωθῶμεν,
ἔπειτα λέξον καί, πῶς αὐτὸς ἐσώθης,
ἵνα μὴ λόγῳ φανῇς ἡμᾶς διδάσκων,
ἀλλὰ καὶ ἔργῳ ποιῶν προθυμοτέρους!
Εἰ μὴ σεαυτὸν μέλλεις καταδικάζειν
καὶ κατακρίνειν, ὡς μὴ πράξας ἃ λέγεις,
καὶ διὰ τοῦτο ὑπερβαίνεις τοὺς λόγοὺς
ὡς ἀρχήν ποτε μὴ βαλὼν ἐν τοιούτοις,
θὲς τὴν πέτραν πρότερον τῶν θεμελίων,
εἰς ἀέρα γὰρ οὐ συνίσταται κτίσις!
Τὰς ἐντολὰς ποίησον Χριστοῦ, τῆς πέτρας,
τοῦ δομήτορος τῆς θείας Ἐκκλησίας,
τοῦ νέου λαοῦ τῶν λογικῶν προβάτων!
Πρᾶξον καὶ λέξον κτίζων ἐπὶ τῆς πέτρας,
μᾶλλον δὲ καὶ αὐτὸς ὑπὸ τῆς πέτρας κτίζου!
Οὗτος καὶ ποιμήν, οὗτος καὶ ἀρχιτέκτων,
οὗτος καὶ θεμέλιος ἔστω σοι βίου.
Τί τῆς ὀροφῆς χρεία πρὸ θεμελίων;
Οἰκοδομὴ πρῶτον καὶ τότε στέγος,
πρᾶξις ἐν γνώσει καὶ οὕτως θεωρία!
Τί πρὸ τοῦ τρύγους τὸν οἶνον θέλεις πίνειν;
Οὗτος εἰς ἀσκὸν παλαιὸν οὐ χωρεῖται.
Τί πρὸ τοῦ σπόρου τὰ δράγματα συλλέγειν
καὶ ἄλλοις οἴει μεταδιδόναι μάτην;

---

315. Ψαλμ. 138,6. 327. Λουκᾶ 6,48.
334. Ἰω. 10,11 καὶ Α΄ Κορ. 3,10.

ἐνῷ τὸ 'μὲ τὴ σκέψη' σύγχυση μὲ χωρισμὸ ἀσαφῆ.
Ἄνθρωπε, φρίξε καὶ τὸν ἑαυτό σου γνώρισε.
Πές μου γιὰ σένα, πές μου ἂν θέλεις κάτι.
Ἴσως κι ἐσὺ σὰν τὸ Δαβὶδ φωνάξεις:
«Θαυμάζει τὴ σοφία σου ἡ ψυχή μου
καὶ τὴ γνώση, Θεέ μου, ποὺ γιὰ ἐμένα ἔχεις».
Τὴν περιέργεια τὴν πολλὴ παράτησε
καὶ παραμέρισε τὶς βλάσφημες ἐκφράσεις.
Καὶ πρῶτα πρῶτα τὸ πῶς θὰ σωθοῦμε πές μας
κι ἔπειτα πὲς καὶ πῶς ἐσώθης ὁ ἴδιος,
ὥστε νὰ μὴ διδάσκεις μὲ τὰ λόγια μόνο
ἀλλὰ καὶ μ' ἔργο νὰ μᾶς κάνεις προθυμότερους.
Ἂν δὲ θέλεις νὰ ὁδηγηθεῖς στὴν καταδίκη
καὶ νὰ κατακριθεῖς ποὺ ὅσα λὲς δὲν ἔπραξες
–καὶ γιὰ τοῦτο τὰ λόγια σου ἀναιρεῖς,
ἐπειδὴ ποτὲ σ' αὐτὰ δὲν ἔχεις βάλει ἀρχὴ–
τῶν θεμελίων τὴν πέτρα βάλε πρῶτα,
γιατὶ στὸν ἀέρα δὲ στέκεται οἰκοδόμημα.
Πράξε τὶς ἐντολὲς τοῦ Χριστοῦ, ποὺ εἶναι ἡ πέτρα,
καὶ τῆς θεϊκῆς τῆς ἐκκλησίας ὁ οἰκοδόμος,
τοῦ καινούργιου λαοῦ τῶν λογικῶν προβάτων!
Τὰ ἔργα καὶ τὰ λόγια σου στὴν πέτρα νὰ τὰ χτίσεις
ἢ πιὸ καλὰ κι ἐσένα ἡ πέτρα νὰ σὲ χτίζει.
Αὐτὸς εἶναι ὁ ποιμένας κι ὁ ἴδιος ἀρχιτέκτων,
αὐτὸς καὶ θεμελιόπετρα τοῦ βίου σου ἂς εἶναι.
Πῶς θὰ σταθεῖ ἡ ὀροφὴ πρὶν ἀπὸ τὰ θεμέλια;
Οἱ τοῖχοι ἂς χτιστοῦν πρῶτα κι ἔπειτα ἡ στέγη,
πράξη μαζὶ καὶ γνώση, κι ἔπειτα θεωρία.
Πρὶν ἀπ' τὸν τρύγο θέλεις τὸ κρασὶ νὰ πίνεις;
Μὰ νέο κρασὶ σὲ ἀσκὶ παλιὸ δὲν μπαίνει.
Πῶς τὰ δεμάτια θὰ μαζέψεις πρὶν ἀπ' τὴ σπορὰ
καὶ σ' ἄλλους πῶς νομίζεις μάταια θὰ τὰ μεταδώσεις;

337. Α΄ Κορ. 3,9
340. Ματθ. 9,17.

Εἰ βούλει, δεῦρο, τῆς ὁδοῦ μὴ ἐκπέσῃς,
ἀλλὰ δίδαξον περὶ βάθος κριμάτων,
τῶν περὶ ἡμᾶς, πῶς εὐδρομοῦσιν ἄλλοι
ἴσως πονηροὶ καὶ μὴ Θεὸν εἰδότες,
πῶς ἄλλοι δυστυχοῦσι Θεὸν εἰδότες
καὶ ὑπὸ Θεοῦ γινωσκόμενοι μόνου,
ἄλλοι πένονται ἴσως εὐχαριστοῦντες,
ἄλλοι δὲ πτωχοὶ φέρουσιν εὐχαρίστως,
πλουτοῦσι δ' ἄλλοι κακῶς ἀγνωμονοῦντες,
ἁρπάζοντες δ' ἕτεροι καὶ ἀδικοῦντες
οἴονται Θεὸν θεραπεύειν ἐκ τούτων,
καὶ ἄλλα πολλά, ἃ ὁρᾷς καθ' ἑκάστην,
ὅτι βροτοὶ ποιοῦσι καὶ πανθάνουσι πάλιν,
καὶ Θεὸς ἀνέχεται, ὁ πάντων κτίστης·
μή τι ἄδικος λογισθῇ τοῖς ἀνόμοις
ἢ τοῖς κατ' ἐμὲ οὖσιν ὀλιγοψύχοις;
Εἰπέ, δίδαξον περὶ κρίσεως θείας,
περὶ τῆς ὥρας ἐκείνης καὶ ἡμέρας,
ἐν ᾗ γυμνοὶ ἅπαντες παρασταθῶμεν
τῷ τοῦ Θεοῦ μου βήματι καὶ σωτῆρος
καὶ τῶν ἐνταῦθα πράξεών τε καὶ λόγων,
διαλογισμῶν, ἐνθυμήσεων ἅμα
τοὺς μισθοὺς ληψόμεθα τοὺς κατ' ἀξίαν·
λέγε, τίς ἐκεῖ πεπαρρησιασμένος
καὶ τίς ὑπάρξει πάλιν κατῃσχυμμένος;
Ἔχεις τὸ λέγειν ἄπειρα περὶ τούτων·
μετὰ δὲ ταῦτα σκόπησον καὶ τὴν κτίσιν,
ἄβυσσον ἄλλην εὑρήσεις γὰρ ἐν ταύτῃ!
Ἴδε οὐρανόν, ἥλιον καὶ τὰ ἄστρα,
βλέψον εἰς τὴν γῆν, τὴν μητέρα καὶ τάφον
ἡμῶν ἁπάντων προστάξει γεγονυῖαν!
Ἐνταῦθα δ' ἐλθὼν εἰπὲ περὶ θανάτου,
φιλοσόφησον πολλὰ καὶ ἀναγκαῖα,

---

344. Ρωμ. 11,33.

Ἂν θέλεις, ἔλα ἐδῶ, τὸ δρόμο σου μὴ χάσεις.
Μίλησε γιὰ τὸ βάθος τῶν κριμάτων του
γύρω ἀπὸ μᾶς· πῶς ἄλλοι εὐδοκιμοῦνε
γεμάτοι ἴσως κακία, καὶ ποὺ Θεὸ δὲν ξέρουν,
πῶς ἄλλοι δυστυχοῦν ἂν καὶ τὸ Θεὸ γνωρίζουν·
καὶ ποὺ ὁ Θεὸς μονάχα τοὺς γνωρίζει·
ἄλλοι κακοπερνοῦν εὐχαριστώντας ὅμως,
μὲ τὴν πτωχεία τους ἄλλοι εἶναι εὐχαριστημένοι,
ἄλλοι πλουτοῦν μὰ ἀχαριστία δείχνουν,
κι ἄλλοι πάλι ποὺ κλέβουν κι ἀδικοῦνε
πιστεύουν πὼς μ' αὐτὰ τὸ Θεὸ λατρεύουν
κι ἄλλα πολλὰ ποὺ κάθε μέρα βλέπομε
ποὺ οἱ ἄνθρωποι προκαλοῦν καὶ πάλι πάσχουν,
κι ὁ Θεὸς τ' ἀνέχεται, ὁ τῶν ὅλων κτίστης.
Ἄδικο τάχα θὰ τὸν θεωρήσουν οἱ ἄνομοι
ἢ ὅσοι ὅπως ἐμένα τὸ μυαλό τους εἶναι λίγο.
Μίλησε, δίδαξέ μας γιὰ τὴ θεία τὴν κρίση,
γιὰ τὴν ὥρα ἐκείνη, ἐκείνη τὴν ἡμέρα,
ὅπου γυμνοὶ ὅλοι θὰ σταθοῦμε ἀράδα
κοντὰ στὸ θρόνο τοῦ Θεοῦ μου καὶ σωτήρα,
καὶ γιὰ ὅσα πράξαμε κι εἴπαμε ἐδῶ στὴ γῆ,
γιὰ ὅσα διαλογιστήκαμε καὶ φανταστήκαμε
καὶ τοὺς μισθοὺς θὰ λάβομε ποὺ μᾶς ἀξίζουν.
Λέγε, ποιός θὰ εἶναι ἐκεῖ ποὺ θὰ σταθεῖ μὲ θάρρος
καὶ πάλι ποιός θὰ σκύψει ντροπιασμένος;
Πάνω σ' αὐτὸ ἄπειρα μπορεῖς νὰ πεῖς.
Ἔπειτα κοίταξε τὸν κόσμο γύρω,
μιὰν ἄλλην ἄβυσσο σ' αὐτὸν θὰ συναντήσεις.
Κοίτα τὸν οὐρανό, τὸν ἥλιο, τ' ἄστρα,
στὴ γῆ τὸ βλέμμα στρέψε, μάνα μὰ καὶ τάφος
γιὰ ὅλους ἐμᾶς ὁποὺ ἔγινε μὲ πρόσταγμά του.
Καὶ στὸ σημεῖο αὐτὸ μίλησε γιὰ τὸ θάνατο,
κάνε τὶς σκέψεις τὶς πολλὲς μὰ καὶ ἀπαραίτητες,

---

348. Γαλ. 4,9.

χρήσιμα φίλοις ἅμα καὶ συγγενέσιν,
τοῖς πλουσίοις ὡσαύτως καὶ τοῖς ἐνδόξοις!
καὶ μετὰ πάντων σοὶ τῷ ἐξηγουμένῳ
μέχρι τελευτῆς ἀρκέσει σοι τοῦ λέγειν
περὶ τοιούτων...
καὶ ὠφελήσει σε μετὰ θάνατον ταῦτα.
Ἔπειτα ἴδε τὸν περίγειον κόσμον,
τὰ μέσον τούτου παντοίων ζῴων γένη,
τῶν πτηνῶν τε τὰς ποικίλας ὁράσεις,
ἅμα καὶ φωνὰς τῶν εὐτελῶν στρουθίων,
θαλάσσης πλάτη καὶ μεγέθη καὶ ὅρους
θαύμασον, ἐκπλάγηθι, φράσον συντόνως!
Ὢ βάθος πλούτου καὶ γνώσεως τῆς θείας,
ὢ σοφίας σου, Θεέ μου πανοικτίρμον!
Δεῦρο καὶ συστάληθι ἀπὸ τῶν ἔξω,
σύναξον τὸν νοῦν, σεαυτὸν κατανόει,
μᾶλλον δὲ τὰ σὰ καὶ σαυτὸν φιλοσόφει,
καὶ ὅσα βλέπεις, εὕροις ἐν ὁρωμένοις
ἕκαστον διδάσκαλον τῆς ἀρετῆς σοι
ἢ τῆς κακίας ἐξεικονίζον πάθος,
ἵν' ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων
τὴν ἀκατανόητον Θεοῦ σοφίαν
καὶ τὸν νοητὸν πόλεμον καταμάθοις,
ὃν προεξεικόνισεν ὁ πλάστης πάντων,
καὶ ὡς μὲν ὄφις φρόνησιν πάντως κτήσῃ,
τὸν δὲ ἰὸν ἐμέσῃς τὸν τῆς κακίας!
Ὡς δ' ἵππος δράμῃς ἐν ὁδῷ τῇ δικαίᾳ,
οὐ χρεμετίσῃς πάντως δὲ πρὸς τὸ θῆλυ!
Κάττα γενήσῃ μῦν νοητὸν τηροῦσα,
οὐχ ἁρπάζουσα ὅλως τὰ τοῦ πλησίον,
οὐδὲ κλέπτουσα μοίρας τῶν ἀδελφῶν σου,
ἀλλὰ καὶ μυΐ μύας διώξῃς πάντας
τοὺς ἐναντίους ἀπὸ τῆς σῆς οἰκίας!

---

376. 'Χρήσιμα'· μὲ τὴ λέξη αὐτὴ ὁ Συμεὼν ἀπορρίπτει ὡς ἄχρηστο καὶ μά-

χρήσιμες γιὰ τοὺς φίλους καὶ τοὺς συγγενεῖς,
ἐξίσου γιὰ τοὺς πλούσιους καὶ γιὰ τοὺς ἐπίσημους.
Κι ἔτσι σ' ὅλους μιλώντας κι ἐξηγώντας
θά 'χεις μέχρι τὸ θάνατό σου νὰ μιλᾶς
γι' αὐτὰ ὅλα ...
καὶ μετὰ θάνατον αὐτὰ θὰ σὲ ὠφελήσουν.
Γύρω τὴ γῆ μας κοίτα καὶ τὸν κόσμο της,
ποὺ ζοῦν σ' αὐτὸν μυριάδες γένη ζώων,
τῶν φτερωτῶν τ' ἄπειρα εἴδη,
τὶς χαρωπὲς φωνὲς τῶν ταπεινῶν στρουθιῶν,
τῆς θάλασσας τὰ πλάτη καὶ τὰ βάθη καὶ τὰ σύνορα
καὶ φώναξε μὲ θαυμασμὸ καὶ μὲ κατάπληξη:
῏Ω βάθος πλούτου, ὢ γνώση θεϊκή,
πόση ἡ σοφία σου, Θεέ μου, πανεύσπλαχνε.
Ἔλα τώρα μαζέψου πιὰ ἀπὸ τὰ ἔξω,
συγκέντρωσε τὸ νοῦ σου, στὸν ἑαυτό σου σκύψε,
μελέτησε ὅ,τι σ' ἀφορᾶ, ποιός εἶσαι,
κι ἀπ' ὅσα βλέπεις κι ἀπὸ τὰ φαινόμενα
καθένα θὰ σοῦ γίνει δάσκαλος τῆς ἀρετῆς
–ἢ θὰ σοῦ δώσει τῆς κακίας εἰκόνα καὶ παράδειγμα–
κι ἔτσι ἀπ' τὸ μέγεθος καὶ ἀπὸ τὸ κάλλος τῶν κτισμάτων
τοῦ Θεοῦ μας τὴ σοφία τὴν ἀκατανόητη
καὶ ἐπίσης καὶ τὸ νοητὸ τὸν πόλεμο ν' ἀντιληφθεῖς
ποὺ προδιέγραψε ὁ δημιουργὸς τῶν ὅλων,
καὶ ν' ἀποχτήσεις φρόνηση καθὼς τὸ φίδι,
τὸ δηλητήριο ὅμως τῆς κακίας νὰ φτύσεις·
καὶ νὰ καλπάσεις ὅπως τ' ἄλογο στὸν ἴσιο δρόμο,
χωρὶς νὰ χρεμετίσεις πρὸς τὸ θηλυκὸ καθόλου.
Θὰ γίνεις γάτα ποὺ τὸ νοητὸ φυλάει ποντίκι.
Ὅσο εἶναι τοῦ πλησίον καθόλου δὲ θ' ἁρπάξεις
οὔτε τὸ μερτικὸ θὰ κλέβεις τοῦ ἀδελφοῦ σου, [σου
ἀλλὰ μὲ τὸ ποντίκι ὅλους τοὺς ποντικοὺς τοὺς ἐχθρικούς
ἀπὸ τὸ σπίτι σου μακριὰ θὰ κυνηγήσεις.

ταιο τὸ ἐρώτημα τοῦ Στεφάνου, ἐπειδὴ ὁ Συμεὼν δὲν χωρίζει τὸν Υἱὸ ἀπὸ τὸν Πατέρα 'οὔτε ἐπινοίᾳ οὔτε πράγματι', οὔτε λογικὰ οὔτε πραγματικά.

Λύκος οὐ γενήσῃ δέ, λύκους δὲ φύγῃς,
μᾶλλον δὲ κύων γενήσῃ τοῦ δεσπότου
καὶ πνεύσῃς ὅλον θυμόν σου κατ' ἐκείνων
καὶ ἀνιχνεύσῃς ὁδοὺς τοῦ σοῦ δεσπότου·
ἕως ἂν εὕροις, ἕως ἂν καταλάβοις
θύραν τὴν θείαν, μὴ στραφῇς εἰς τοὐπίσω,
καὶ γένῃ θήρα τῶν νοητῶν θηρίων!
Μίμησαι πτῶκα, εἰ μὴ δύνασαι κύνα,
καὶ πέτραν Χριστὸν καταφυγήν σου κτῆσαι
καὶ κρύβηθι, ἔνθα φόβος οὐκ ἔστιν,
ἢ ὡς ἔλαφος ἀνάβηθι εἰς ὄρη,
τῶν κυνηγετῶν ἀπόδραθι τὰς χεῖρας
ἢ πετάσθητι, ὥσπερ καλὸν στρουθίον,
καὶ ὑπέρβηθι τὰς παγίδας ἁπάσας!
Πτέρυγας νόει τὴν ἁγίαν ἀγάπην,
ἧς ἄνευ οὐδαμοῦ διαβήσῃ·
μίμησαι πῶλον βαστάζοντα τὸν κτίστην,
γενοῦ δὲ καὶ βοῦς ἕλκων ἄροτρον θεῖον
καὶ γλυκεῖαν αὔλακα τέμνων τοῦ λόγου!
Πάντα μίμησαι δίχα τῶν ἐναντίων!
Κακὸν ἀλώπηξ, ὑποκρίσει βιοῦσα,
ἕτερον οὖσα καὶ ἄλλο δεικνυμένη,
προσποιήσει γὰρ θνήσκει, ἵν' ἁρπάσῃ τι·
δεινὸν ἡ ἄρκτος· εἴ που ξίφει γὰρ λάβῃ,
οὐ παύεται ξέουσα τὸ τραῦμα ταύτης,
ἕως ἂν αὕτη ἐκ τούτου ἀποθάνῃ·
κακὸν ὁ χοῖρος ἀκορέστως ἐσθίων·
κακὸν ἡ ἀσπίς· βύει καὶ γὰρ τὰ ὦτα·
κακὰ τὰ κακά, ἃ εἰ ἐρευνᾶν θέλεις
καὶ εἰ ἐκφυγεῖν, φίλη ψυχή, σπουδάσεις,
εὑρήσεις ὄντως τὴν ἀληθῆ σοφίαν.
Ὁδῷ βαδίζων ἔλθεις γὰρ πρὸς τὰ κρείττω
καὶ μετὰ πάντων σεαυτὸν καταμάθεις

---

414. Ἰω. 10,7 καὶ Μάρκ. 13,16.

Λύκος δὲ θὰ γενεῖς, τοὺς λύκους ἴσα–ἴσα θ' ἀποφύγεις·
σκυλὶ θὰ γίνεις, γιὰ νὰ πῶ καλύτερα, τοῦ ἀφεντικοῦ σου
καὶ σ' αὐτοὺς ὅλο σου θὰ ξεσπάσεις τὸ θυμὸ
κι ὅλους τοὺς δρόμους τοῦ Κυρίου σου θὰ ἰχνηλατήσεις,
ὥσπου νὰ βρεῖς κι ὥσπου νὰ ἀνακαλύψεις
τὴν πύλη τὴ θεϊκή, νὰ μὴ γυρίσεις πίσω
καὶ γίνεις θήραμα τῶν νοητῶν θηρίων.
Μιμήσου τὸ λαγό, τὸ σκύλο ἂν δὲν μπορεῖς,
καὶ κάνε καταφύγιο σου τὴν πέτρα, τὸ Χριστό,
καὶ κρύψου ἐκεῖ ὅπου φόβος δὲν ὑπάρχει.
Ἢ σὰν τὸ ἐλάφι στὰ βουνὰ σκαρφάλωσε
καὶ ξέφυγε ἀπ' τῶν κυνηγῶν τὰ χέρια·
ἢ σὰν καλὸ φτερούγισε σπουργίτι
καὶ πάνω ἀπ' ὅλες τὶς παγίδες πέταξε!
Φτερά σου κάνε τὴν ἁγία ἀγάπη,
ποὺ δὲν πᾶς πουθενὰ χωρὶς αὐτήν.
Τὸ πουλάρι μιμήσου τὸν Κύριο ποὺ σημαίνει,
γίνου καὶ βόδι ποὺ τὸ θεϊκὸ τ' ἀλέτρι σέρνει
καὶ τὸ γλυκὸ τοῦ λόγου αὐλάκι ἀνοίγει.
Μιμήσου τα ὅλα αὐτὰ μὰ ὄχι τ' ἀντίθετα.
Κακὸ εἶναι ἡ ἀλεποὺ μὲ τὸ διπρόσωπό της·
ἄλλο στ' ἀλήθεια νὰ εἶναι, ἄλλο νὰ δείχνει·
κάνει τὴν πεθαμένη γιὰ ν' ἁρπάξει κάτι.
Δεινὸ ἡ ἀρκούδα· ἂν πληγωθεῖ μὲ ξίφος,
δὲν παύει τὴν πληγὴ νὰ ξύνει μὲ τὰ νύχια,
ὥσπου ἀπ' αὐτὸ νὰ βρεῖ τὸ θάνατό της·
Εἶναι ὁ χοῖρος κακό, ποὺ τρώει καὶ δὲν χορταίνει·
κακὸ τὸ φίδι ἡ ἀσπίδα, ποὺ τ' αὐτιὰ βουλώνει.
Κακὰ εἶναι ὅλ' αὐτά, ποὺ ἂν θὲς νὰ τὰ ἐρωτήσεις
κι ἂν σπουδάσεις, ψυχή μου ἀγαπητή, νὰ τ' ἀποφύγεις,
θὰ βρεῖς στ' ἀλήθεια τὴν ἀληθινὴ σοφία.
Θὰ πᾶς σιγὰ–σιγὰ πρὸς τὰ καλύτερα
καὶ μ' ὅλα τ' ἄλλα τὸν ἑαυτό σου θὰ γνωρίσεις·

417. Ψαλμ. 103,18 καὶ Α΄ Κορ. 10,4.

καὶ ἐρωτῶντι τότε μοι πάντως φράσεις·
Λόγον, ὃν λαλεῖς, κἀγὼ αὐτὸν λαμβάνω!
Ἔστι καὶ ἐν σοί, μεταβαίνει καὶ πρός με·
ἢ καταλιμπάνει σε κενὸν τοῦ Λόγου;
Ἐρεῖς· Οἶδα, ὅτι καὶ πρός με ἦλθε
καὶ ὅλος ἐστὶ μετά σου, ὥσπερ πρώην.
Πῶς οὖν ἀπὸ σοῦ χωρισθεὶς πρός με ἦλθε
καὶ ὅλος μένει ἐν σοὶ μὴ χωρισθείς σου;
Εἰπέ μοι τοῦτο καὶ τὸν Θεὸν νῦν ἔα,
μὴ σύμπασα τρομάσῃ κτίσις καὶ πέσῃ
καὶ συνθραύσῃ σου τὴν σάρκα τὴν παχεῖαν
καὶ συντρίψῃ σου τὴν ψυχὴν τὴν σαρκώδη
καὶ τὸν νοῦν πυρίκαυστον τὸν σὸν ποιήσῃ,
τὸν εἰς μηδὲν χρήσιμον κενεμβατοῦντα!
Καὶ γὰρ οὐδὲ πράγματι οὐδ' ἐπινοίᾳ
τὸ ἀμέριστον μερίζεται τοῦ λόγου·
ὁ γὰρ ἐν οἴκῳ ἔνδοθεν κεκλεισμένος,
ἔξω δὲ τὸν νοῦν περιπολοῦντα ἔχων
οὐ κατελείφθη ἄνους ἐν τῇ οἰκίᾳ,
ἀλλὰ μετ' αὐτοῦ καὶ ἔξω πάντως ἔστι.
Τὸν οὖν χωρισμὸν τοῦτον τί ὀνομάσεις;
Πρᾶγμα δὴ λέξεις ἢ ἐπίνοιαν εἴπεις;
Εἰ ἐπίνοιαν, πῶς ὅλος ἔστιν ἔξω,
εἰ δὲ πράγματι, πῶς ἔνδον τῆς οἰκίας;
Καίτοι τί τοῦτό ἐστι τὸ παράδειγμα
πρὸς τὸν ὑπὲρ νοῦν καὶ διάνοιαν Λόγον;
Ἐκ γὰρ τοῦ Πατρὸς ἀποσταλεὶς ὁ Λόγος κατῆλθε
καὶ ἐν γαστρὶ ἐνῴκησεν ὅλος τῇ τῆς Παρθένου
καὶ ὅλος ἦν ἐν τῷ Πατρὶ καὶ ὅλος ἐν κοιλίᾳ
καὶ ὅλος ἐν τῷ σύμπαντι ἀχώρητος ὑπάρχων,
μὴ συσταλείς, μὴ σμικρυνθεὶς πάντως εἰσῆλθεν ὅλω
καὶ μείνας ἀναλλοίωτος μορφὴν ἔλαβε δούλου
καὶ γεννηθεὶς ἐγένετο ἄνθρωπος κατὰ πάντα,

468. Ἰω. 10,36.

κι ἂν σὲ ρωτήσω τότε, βέβαια θ' ἀπαντήσεις:
Τὸ Λόγο ποὺ μοῦ λὲς κι ἐγὼ τὸν παίρνω.
Εἶναι σ' ἐσένα, μὰ ἔρχεται καὶ σ' ἐμένα,
ἢ μὴ σ' ἐγκαταλείπει ἄδειο ἀπὸ τὸ λόγο;
Θὰ πεῖς: Ξέρω πὼς ἦρθε καὶ σ' ἐμένα
κι ὅλος εἶναι μαζί σου, ὅπως καὶ πρῶτα.
Λοιπὸν πῶς χώρισε ἀπὸ σὲ κι ἦρθε σ' ἐμένα
καὶ μένει ὅλος σ' ἐσὲ μὲ ἐσὲ ἑνωμένος;
Ἀπάντησε σ' αὐτό, καὶ τὸ Θεὸ ἄφησέ τον τώρα,
μήπως τρομάξει ἡ κτίση ὁλάκερη καὶ πέσει
καὶ τὴ σκληρὴ τὴ σάρκα σου συνθλίψει
καὶ συντρίψει τὴ σάρκινη ψυχή σου
κι ἀφήσει καὶ τὸ νοῦ σου ἀποκαΐδια,
τὸ νοῦ ποὺ στ' ἄχρηστα ὅλα ἀεροβατεῖ.
Γιατὶ μήτε πραγματικὰ οὔτε μὲ τὴ σκέψη
ὁ ἀμέριστος Λόγος μερίζεται.
Αὐτὸς ποὺ μὲς στὸ σπίτι του κλεισμένος
ἔξω τὸ νοῦ του νὰ περνοδιαβαίνει ἀφήνει
δὲ μένει δίχως νοῦ μέσα στὸ σπίτι,
ἀλλὰ μαζί του βέβαια εἶναι ὅπως κι ἔξω.
Τὸ χωρισμὸν αὐτὸν πῶς θὰ τὸν ὀνομάσεις;
Θὰ τὸν χαρακτηρίσεις πράγμα ἢ ἐπίνοια θὰ τὸν πεῖς;
Ἐπίνοια ἂν τὸν πεῖς, πῶς ἔξω εἶναι ὅλος,
κι ἂν πραγματικό, πῶς εἶναι μὲς στὸ σπίτι;
Μὰ ποιά ἰσχὺ ἔχει τοῦτο τὸ παράδειγμα
γιὰ τὸν πὲρ' ἀπ' τὸ νοῦ κι ἀπὸ τὴ σκέψη Λόγο;
Σταλμένος ἀπὸ τὸν Πατέρα του ὁ Λόγος ἦρθε
καὶ στὰ σπλάχνα κατοίκησε ὅλος τῆς Παρθένου.
Ἦταν μὲ τὸν Πατέρα του ὅλος καὶ τὴν Παρθένο
ἂν κι ἦταν μὲς στὸ σύμπαν ὅλος ἀχώρητος·
δὲν πιέστηκε, δὲ μίκρυνε, μὰ ὁλόκληρος εἰσῆλθε,
ἐπῆρε δουλικὴ μορφὴ χωρὶς ποσῶς ν' ἀλλάξει·
γεννήθηκε κι ἄνθρωπος ἔγινε σὲ ὅλα,

473. Φιλ. 2,7.

ὅλος τὴν μήτραν διελθὼν καὶ γεγονὼς ἐν κόσμῳ,
ὅλος πάλιν ἀναληφθείς, ὅθεν οὐκ ἐχωρίσθη.
Ταῦτα οὖν κατ᾽ ἐπίνοιαν ἢ πρᾶγμα γεγονέναι
ὅλως εἰπεῖν τολμήσειας, τὰ ἀπόρρητα πᾶσιν
ἀγγέλοις, ἀρχαγγέλοις τε καὶ πάσῃ κτιστῇ φύσει;
Νοεῖται καὶ γὰρ ἀληθῶς, οὐ φράζεται δὲ ὅλως,
οὐδὲ καταλαμβάνεται νοΐ πάντως τελείως.
Πῶς οὖν Θεὸς καὶ ἄνθρωπος, ἄνθρωπος Θεὸς πάλιν
καὶ τοῦ Πατρός ἐστιν Υἱός, ὅλος αὐτοῦ ἀχωρίστως,
καὶ τῆς Παρθένου γέγονε καὶ προῆλθεν ἐν κόσμῳ
καὶ ἔμεινεν ἀχώρητος, ὡς εἴρηται, τοῖς πᾶσιν;
ἐπινοίᾳ ἢ πράγματι; εἰπέ. Πάντως ἄρτι σιγήσεις·
κἂν γὰρ εἰπεῖν θελήσειας, ὁ νοῦς σου λόγον οὐ δώσει
καὶ μείνει ἡ πολύλαλος ἀργήσασά σου γλῶσσα.
Εἰ δὲ θελήσειας εἰπεῖν πρᾶγμα τὴν θείαν φύσιν,
πάντως εἴπῃς καὶ ποταπόν, ἐγὼ γὰρ οὐ γινώσκω.
Δόξα σοι, Πάτερ καὶ Υἱὲ καὶ τὸ ἅγιον Πνεῦμα,
θεότης ἀπερίγραπτε, ἀμέριστε τῇ φύσει,
σὲ προσκυνοῦμεν ἅπαντες ἐν Πνεύματι ἁγίῳ,
οἱ τὸ Πνεῦμά σου ἔχοντες ὡς παρὰ σοῦ λαβόντες
καὶ ὁρῶντες τὴν δόξαν σου οὐ πολυπραγμονοῦμεν,
ἀλλ᾽ ἐν αὐτῷ σε βλέπομεν ἀγέννητον Πατέρα
καὶ γεννητὸν τὸν ἀπὸ σοῦ προερχόμενον Λόγον,
ἄτμητον οὖν, ἀσύγχυτον προσκυνοῦμεν Τριάδα,
ἐν μιᾷ τῇ θεότητι καὶ ἀρχῇ καὶ δυνάμει.

Ἀμήν.

ὅλος τὴ μήτρα πέρασε κι ἦρθε στὸν κόσμο
κι ὅλος πάλι ἀναλήφθη ἐκεῖ ὁπού πάντοτε βρισκόταν.
Αὐτὰ λοιπὸν ὅτι ἔγιναν στὴ σκέψη ἢ στ' ἀλήθεια
θά 'χεις τὴν τόλμη σὺ νὰ πεῖς ποὺ ἀπόρρητα εἶν' σ' ὅλους,
ἀγγέλους, ἀρχαγγέλους, σ' ὅλη τὴν κτιστὴ φύση;
Βέβαια τὸν στοχαζόμαστε μ' ἄρρητος μένει ὡστόσο,
οὔτε καὶ τέλεια ὁ νοῦς μπορεῖ νὰ τὸν κατανοήσει.
Πῶς ὁ Θεὸς ἔγινε ἄνθρωπος κι ὁ ἄνθρωπος Θεὸς πάλι
καὶ εἶναι τοῦ Πατέρα Υἱὸς ἀχώριστος μ' Ἐκεῖνον,
καὶ τῆς Παρθένου ἔγινε Υἱὸς κι ἦρθε μέσα στὸν κόσμο
κι ἔμεινε ὡστόσο ὡς εἴπαμε ἀχώρητος μὲς σὲ ὅλα;
Μ' ἐπίνοια ἢ πραγματικά; Τώρα θὰ σιωπήσεις·
γιατί, κι ἂν θὲς ἐσὺ νὰ πεῖς, τὰ λόγια ὁ νοῦς σου ἀρνιέται
καὶ θὰ σοῦ μείνει ἄνεργη κι ἡ φλύαρή σου γλώσσα.
Ὡστόσο ἂν ἤθελες νὰ πεῖς πράγμα τὴ θεία φύση,
πρέπει καὶ τί πράγμα εἶναι νὰ πεῖς ποὺ ἐγὼ δὲν τὸ γνωρίζω.
Δόξα Πατέρα καὶ Υἱὲ σ' ἐσένα κι ἅγιο Πνεῦμα,
θεότητα ἀπερίγραπτη, ἀχώριστη στὴ φύση,
μὲ χάρη τοῦ ἁγίου Πνεύματος ὅλοι σὲ προσκυνοῦμε,
ὅσοι τὸ Πνεῦμα σου ἔχομε ποὺ πήραμε ἀπὸ ἐσένα
καὶ βλέποντας τὴ δόξα σου πιὰ δὲν πολυρωτοῦμε,
ἀλλὰ μαζὶ σὲ βλέπομε ἀγέννητο Πατέρα
καὶ γεννητὸ τὸ Λόγο σου ποὺ προέρχεται ἀπὸ ἐσένα,
ἀχώριστη καὶ ἀσύγχυτη Τριάδα προσκυνοῦμε,
σὲ μιὰ μόνο θεότητα καὶ δύναμη κι ἀρχή.
Ἀμήν.

476. Μάρκ. 16,19.

ΚΒ

Εὐχαριστία σὺν θεολογίᾳ καὶ περὶ ὧν ἡ θεία χάρις τοῦ Πνεύματος διὰ τῶν ἐνεργειῶν ὠνόμασται.

Τί τὸ καινὸν μυστήριον, Δέσποτα τῶν ἁπάντων,
ὃ εἰς ἐμέ, τὸν ἄσωτον ἐπεδείξω καὶ πόρνον;
Τί τὸ κατανοούμενον μέγα θαῦμα ἐντός μου
καὶ μὴ περινοούμενον, ἀλλὰ κεκαλυμμένον;
Ὡς ἄστρον γὰρ ὁρᾶταί μοι ἀνατέλλον μακρόθεν
καὶ πάλιν ὥσπερ ἥλιος μέγας ἀποτελεῖται,
μὴ ἔχων μέτρον ἢ σταθμὸν ἢ ὅρον τῷ μεγέθει,
καὶ αἴγλη γίνεται μικρὰ καὶ φλὸξ πάλιν ὁρᾶται
μέσον ἐν τῇ καρδίᾳ μου καὶ τοῖς ἐμοῖς ἐγκάτοις,
περιστρεφόμενον συχνῶς καὶ περιφλέγον πάντα
τὰ ἔνδοθεν τῶν σπλάγχνων μου καὶ φῶς ταῦτα ποιοῦντα
καὶ οὑτωσὶ φθεγγόμενον καὶ φιλικῶς διδάσκον
ἀπορουμένῳ παντελῶς καὶ μαθεῖν ἐκζητοῦντι.–
Ἐγὼ τὸ ἄστρον τὸ γλυκύ, ὅπερ ποτὲ ἀκούεις
ἀνατελεῖν ἐξ Ἰακώβ, ὑπάρχω, μὴ διστάσῃς,
καὶ ἥλιός σοι δείκνυμαι μακρόθεν ἀνατέλλων,
ὁ τοῖς δικαίοις ἅπασι φῶς ἀπρόσιτον εἶναι
ἐν τῇ μελλούσῃ βιοτῇ καὶ ζωῇ αἰωνίᾳ.
Ἐγὼ καὶ αἴγλη δείκνυμαι καὶ φῶς σοι καθορῶμαι,
ἀκαταφλέκτως φλέγων σου τὰ πάθη τῆς καρδίας
καὶ δροσισμῷ γλυκύτητος καὶ χάριτός μου θείας

---

5. Ἀριθμ. 24,17. 14. Ἀριθμ. 24,17. 17. Ψαλμ. 96,11.

* Ὁ ὕμνος ἐκτυλίσσεται μὲ διαλογικὴ μορφὴ ἀνάμεσα στὸ Συμεὼν καὶ τὸ Θεό, καὶ προχωρεῖ ἔτσι:
Ὁ Συμεών· Τί τὸ καινὸν μυστήριον... Ὁ Θεός· Ἐγὼ τὸ ἄκρον τὸ γλυκύ...

22 *

Εὐχαριστία καὶ θεολογία καὶ σὲ ποιά ἡ θεία χάρη τοῦ Πνεύματος παίρνει τὰ ὀνόματα τῶν ἐνεργειῶν του.

Ποιό εἶναι τὸ νέο μυστήριο, Δέσποτα ἐσὺ τῶν ὅλων
ὅπου ἀποκάλυψες σ' ἐμὲ τὸν ἄσωτο καὶ πόρνο;
Ποιό εἶναι τὸ ποὺ αἰσθάνομαι μέσα μου μέγα θαῦμα,
ἀλλὰ ποὺ ὁ νοῦς δὲν τὸ ἐννοεῖ μὰ σκεπασμένο μένει;
Μοῦ δίνει ἐντύπωση ἀστεριοῦ ποὺ ἀπὸ μακριὰ ἀνατέλλει
κι ἀγάλια πάλι γίνεται πελώριος ἕνας ἥλιος,
ποὺ τῆς μεγαλοσύνης του μέτρο δὲν ἔχει ἢ ζύγι
καὶ λάμψη γίνεται μικρὴ καὶ φλόγα πάλι νάτη
μέσα στὴ μέση τῆς καρδιᾶς στὰ σωθικά μου μέσα.
Στριφογυρίζει ἀδιάκοπα καὶ περικαίει τὰ πάντα
ὅσα μέσα στὰ σπλάχνα μου καὶ φῶς ὅλα τὰ δείχνει
καὶ ὅπως σαστίζω ὁλότελα καὶ τοῦ ζητῶ νὰ μάθω
μὲ τέτοια λόγια μοῦ μιλᾶ καὶ φιλικὰ μοῦ λέει:
"Ἐγὼ εἶμαι τ' ἄστρο τὸ γλυκὺ ποὺ ἀκοῦς πῶς θ' ἀνατείλει
ἀπ' τὴ φυλὴ τοῦ Ἰακὼβ μιὰ μέρα, μὴ ἀμφιβάλλεις,
κι ἥλιος δείχνω στὰ μάτια σου ποὺ ἀπὸ μακριὰ ἀνατέλλει,
ποὺ εἶναι τὸ φῶς τὸ ἀπρόσιτο γιὰ τοὺς δικαίους ὅλους
μέσα στὴ μέλλουσα ζωὴ στοὺς αἰῶνες τῶν αἰώνων.
Ἐγὼ καὶ λάμψη φαίνομαι καὶ καθὼς φῶς μὲ βλέπεις
ποὺ φλέγω σου ἀκατάφλεκτα τὰ πάθη τῆς καρδιᾶς σου
καὶ μὲ δροσιὰ γλυκύτητας καὶ τῆς θείας μου τῆς χάρης

Ὁ Συμεών· Ἐλέησον λυπούμενον... Ὁ Θεός· Ὦ τόλμη, ὢ παράνοια... ὥς τὸ τέλος. Μπορεῖ νὰ διαιρεθεῖ σὲ δύο μέρη: α) τὰ πρῶτα ἐρωτήματα τοῦ Συμεὼν καὶ ἡ ἀπάντηση τοῦ Θεοῦ καὶ β) τὰ δεύτερα ἐρωτήματα τοῦ Συμεὼν καὶ ἡ δεύτερη ἀπάντηση τοῦ Θεοῦ.

ἀποπλύνων τὸν ῥῦπόν σου καὶ εἰς ἅπαν σβεννύων
ἄνθρακας τοὺς τοῦ σώματος, ἡδονῶν ἁμαρτίας,
καὶ πάντα ἐργαζόμενος ἐμῇ φιλανθρωπίᾳ,
ἃ καὶ πάλαι πεποίηκα ἐν πᾶσι τοῖς ἁγίοις.–
Ἐλέησον λυπούμενον, οἴκτειρον τεθλιμμένον,
μὴ ὀργισθῇς λαλῆσαί μοι καὶ πάλιν βουλομένῳ!
Πῶς ἄστρον ἐκ τοῦ Ἰακώβ, ὁ ἀχώρητος πάντῃ,
ὑπάρχεις τε καὶ γίνῃ σὺ μέχρι τοῦ νῦν τοῖς πᾶσι;
Πῶς δὲ καὶ ὥσπερ ἥλιος δείκνυσαι ἀνατέλλων,
ὁ μηδαμοῦ καὶ πανταχοῦ καὶ ὑπὲρ πᾶσαν κτίσιν
ὤν τε καὶ κηρυττόμενος ἀόρατος τοῖς πᾶσι;
Πῶς δὲ καὶ αἴγλη γίνῃ σὺ καὶ φλόξ μοι καθορᾶσαι
καὶ φλέγεις ὕλην, ἄϋλος ὑπάρχων κατ' οὐσίαν;
Πῶς δροσίζεις καὶ πλύνεις μου τοῦ σώματος τὸν ῥῦπον,
ὅλος πῦρ ὢν ἀπρόσιτον καὶ ἄστεκτον ἀγγέλοις;
Πῶς περιπλέκεσαι φθαρτῇ οὐσίᾳ σώματός μου
καὶ ἀναμίγνυσαι ψυχῇ ἀμίκτως ἀνθρωπίνῃ;
Πῶς δι' αὐτῆς ἐν τῷ παντὶ σώματι ἀσυγχύτως
γινόμενος, ὁ ἀναφής, ὅλον θεοποιεῖς με;
εἶπον, καί· Μὴ ἐκπέμψῃς με στυγνὸν καὶ τεθλιμμένον!–
Ὢ τόλμη, ὢ παράνοια, ὢ ἀφροσύνης λόγοι!
Πῶς οὕτω ταῦτα ἐρωτᾶν οὐ φρίττεις ἀποτόμως;
Πῶς δὲ καὶ οὐκ αἰσθάνῃ, ἃ γινώσκεις,
ἀλλὰ τολμᾷς μετὰ Θεοῦ λαλεῖν ὡς ἐκπειράζ
καὶ ἃ οἶδας, ὡς μὴ εἰδὼς προσποιῇ ἐρωτᾶν
καὶ γράφειν θέλεις ἅπασιν ἐνδεικτικῶς σὴν γνῶσιν;
Ἀλλ' ὅμως σοῦ ἀνέχομαι φιλάνθρωπος ὑπάρχων
καὶ πάλιν ἐκδιδάσκω σε, λέγων σοι ταῦτα οὕτως·
Ἐγὼ τῇ φύσει ἄφραστος, ἀχώρητος ὑπάρχω,
ἀνενδεής, ἀπρόσιτος, ἀόρατος τοῖς πᾶσιν,
ἀναφής, ἀψηλάφητος, ἄτρεπτος τὴν οὐσίαν,
μόνος ἐν μόνῳ τῷ παντὶ καὶ μόνος μετὰ πάντων
τῶν ἐπιγινωσκόντων με ἐν τῷ τοῦ βίου σκότει·

22. Ἠσ. 4,4.

σοῦ ἀποπλύνω τὴ βρομιὰ κι ὁλότελα σοῦ σβήνω
τὰ κάρβουνα στὸ σῶμα σου, ἡδονὲς τῆς ἁμαρτίας,
καὶ ἀπ' τὴ φιλανθρωπία μου τὰ πάντα ἐγὼ σοῦ κάνω,
ὅσα ἔχω κάνει ἀπὸ παλιὰ σὲ ὅλους τοὺς ἁγίους'.
–Λυποῦμαι καὶ σπλαχνίσου με, θλίβομαι ἐλέησέ με·
μὴν ὀργιστεῖς καὶ μίλα μου ποὺ τόσο πάλι θέλω!
Πῶς ἄστρο ἀπὸ τὸν Ἰακώβ, ποὺ δὲ χωρεῖς στὰ πάντα,
καὶ εἶσαι ἐσὺ καὶ γίνεσαι γιὰ τὸν καθένα ὡς τώρα;
Καὶ πῶς καθὼς τὸν ἥλιο ἐσὺ φαίνεσαι ποὺ ἀνατέλλεις
πουθενὰ ποὺ εἶσαι καὶ παντοῦ, πάνω ἀπ' τὴν φύση ὅλη
κι εἶσαι καὶ σὲ κηρύττομε ἀθέατον στοὺς πάντες;
Καὶ πῶς γίνεσαι λάμψη ἐσὺ καὶ σὲ θεωρῶ σὰν φλόγα
καὶ πῶς τὴν ὕλη πυρπολεῖς μ' ἄυλην ἐσὺ οὐσία;
Πῶς μὲ δροσίζεις, τὴ βρομιὰ πῶς πλύνεις μου ἀπ' τὸ σῶμα,
ἀφοῦ φῶς εἶσαι ἀπρόσιτη ποὺ οἱ ἄγγελοι δὲν ἀντέχουν;
Πῶς ἀγκαλιάζεις τὴ φθαρτὴ τοῦ σώματός μου οὐσία
καὶ μίγνυσαι ἀνανάμικτα μὲ τὴν ψυχὴ τοῦ ἀνθρώπου;
Μὲ τὴν ψυχὴν ἀσύγχυτα πῶς μὲς στὸ κάθε σῶμα
μπαίνεις ἐσὺ ὁ ἀνέγγιχτος κι ὅλον Θεὸ μὲ κάνεις;
Πές μου καὶ μὴ ἀποδιώξεις με σκυφτὸ κι ἀπελπισμένο.
–Ὢ τόλμη σου καὶ τρέλα σου, κι ὢ λόγια ἀνοησίας!
Πῶς τέτοια τώρα ποὺ ρωτᾶς δὲ σὲ κυριεύει φρίκη;
Καὶ πῶς δὲ νιώθεις πὼς ρωτᾶς ἐκεῖνα ποὺ γνωρίζεις,
μὰ ν' ἀπευθύνεσαι τολμᾶς στὸ Θεὸ πειράζοντάς τον
καὶ μὲ ρωτᾶς προσποιητὰ γι' ἄγνωστα ὅσα γνωρίζεις
καὶ θὲς σ' ὅλους μ' ἐπίδειξη νὰ γράψεις ὅσα ξέρεις;
Μιὰ κι ἔτσι ἐγὼ σ' ἀνέχομαι φιλάνθρωπος ὡς εἶμαι
καὶ σὲ διδάσκω ἀπ' τὴν ἀρχὴ κι ἔτσι σοῦ ξαναλέω:
Ἐμένα ἡ φύση μου ἄρρητη, δὲ μὲ χωράει κανένα,
ὁ τέλειος κι ὁ ἀπλησίαστος κι ἀόρατος σὲ ὅλους,
ἄγγιχτος, ἀψηλάφητος, ἄτρεπτος στὴν οὐσία,
ἕνας ἐγὼ μὲς στὸ ἕνα πᾶν κι ἕνας μαζὶ μὲ ὅλους,
ὅσοι μ' ἀναγνωρίζουνε μὲς στῆς ζωῆς τὸ σκότος,

28. Ἀριθμ. 24,17.

ἔξω δὲ κόσμου τοῦ παντός, ἔξω τῶν ὁρωμένων,
ἔξω φωτὸς τοῦ αἰσθητοῦ, ἡλίου τε καὶ σκότους,
τόπου τε τῶν κολάσεων καὶ φρικτῆς καταδίκης,
ἐν ᾧ περιπεπτώκασιν ὑπερήφανοι δοῦλοι
κακῶς τραχηλιάσαντες κατ' ἐμοῦ, τοῦ Δεσπότου.
Ἐγὼ ἀμετακίνητος –ποῦ γὰρ καὶ οὐχ ὑπάρχω,
ἵνα τῇ μεταστάσει μου τὸν τόπον καταλάβω;
Ἐγὼ καὶ ἀεικίνητός εἰμι ἀπεριγράπτως–
ποῦ γὰρ ἐλθὼν ζητήσεις με, ἵνα ἐκεῖ με εὕρῃς;
Ὁ οὐρανὸς τῷ λόγῳ μου ὡς οὐδὲν παρεισήχθη,
ἥλιος, ἄστρα καὶ ἡ γῆ ὡς πάρεργον μικρόν μοι
γεγένηνται καὶ τὰ λοιπά, ὅσα ὁρᾷς, ὡσαύτως.
Οἱ ἄγγελοι μακρόθεν μοι πρὸ τούτων παραχθέντες
δόξης τὴν δόξαν βλέπουσιν, οὐχὶ δ' αὐτὴν τὴν φύσιν·
μόνον γὰρ ἐνενόησα παραγαγεῖν δυνάμεις
καὶ εὐθὺς παρειστήκησαν ὑμνοῦσαί μου τὸ κράτος.
Σὺ κάτω δὲ καθήμενος αὐτοῦ, ἐν ἐξορίᾳ,
ὅπου πάντες πεπτώκασιν οἱ πρῶτοι παραβάται,
ὅ τε Ἀδὰμ καὶ σὺν αὐτῷ Εὔα, ἡ σὴ προμήτωρ,
καὶ ὁ κακὸς διάβολος, ὁ τούτους ἀπατήσας,
ὅπου τὸ σκότος τὸ βαθύ, ὅπου λάκκος ὁ μέγας,
ὅπου ὄφεις οἱ δάκνοντες ὑμῶν ἀεὶ τὰς πτέρνας,
ὅπου τὸ θρῆνος, τὸ οὐαί, τὸ ἄπαυστόν τε πένθος,
ὅπου στένωσις ἅπασα, μέριμνά τε καὶ λύπη,
θάνατος ἅμα καὶ φθορὰ πάντας ὑμᾶς κατέχει,
πῶς κάθῃ, πῶς ἀμεριμνεῖς, πῶς ἀμελεῖς, εἰπέ μοι;
Πῶς οὐ φροντίζεις τῶν κακῶν, ὧν ἔπραξας ἐν κόσμῳ,
καὶ μόνην τὴν μετάνοιαν περὶ πολλοῦ ποιεῖσαι
καὶ σπουδάζεις ἀληθινὴν ἐπιδείξασθαι ταύτην
καὶ ἐρωτᾷς περὶ αὐτῆς ἐν πολλῇ παρακλήσει
καὶ ἀκριβῶς ἀνερευνᾷς, πῶς αὐτὴν κατορθώσῃς,
ὅπως ἰσχύσῃς δι' αὐτῆς ἐμῇ φιλανθρωπίᾳ
λαβεῖν μεγάλην ἄφησιν τῶν σῶν ἀνομημάτων;

ἔξω ἀπ’ τὸν κόσμο ὅλο μαζὶ κι ἀπὸ ὅσα φαίνονται ἔξω,
ἔξω ἀπ’ τὸ φῶς πού ’ναι αἰσθητό, τὸν ἥλιο καὶ τὸ σκότος,
τὸν τόπο τῶν κολάσεων, τῆς φρικτῆς καταδίκης,
ὅπου κατακρημνίστηκαν οἱ δοῦλοι οἱ φαντασμένοι,
ποὺ ὕψωσαν κεφαλὴ κακῶς ἐνάντια στὸν Δεσπότη.
Εἶμαι ὁ ἀμετακίνητος· γιατὶ ποῦ δὲν ὑπάρχω,
ὥστε μετακινούμενος στὸν τόπο αὐτὸν νὰ πάω;
Μὰ εἶμαι κι ὁ ἀεικίνητος ποὺ τόπος δὲ μὲ ὁρίζει
–γιατὶ ποῦ ἀναζητώντας με θὰ ρθεῖς ἐκεῖ νὰ μ’ εὕρεις;
Μ’ ἕνα μου λόγο ὁ οὐρανὸς σὰν νά ’ταν τίποτα ἔγινε,
ὁ ἥλιος, τ’ ἀστέρια καὶ ἡ γῆ καὶ τὰ ὑπόλοιπα ὅλα,
ὅσα θωρεῖς σὰν πάρεργο μικρό μου ἔχουνε γίνει.
Μακριὰ ἀπὸ ἐμένα οἱ ἄγγελοι πρὶν ἀπὸ αὐτὰ ποὺ ἐγίναν
τῆς δόξας βλέπουν μοναχὰ τὴ δόξα ὄχι τὴ φύση.
Μόνο ποὺ σκέφτηκα νὰ βγοῦν στὸ φῶς οἱ ἄνω δυνάμεις
κι ἀμέσως μὲ τριγύρισαν τὴ δύναμή μου ὑμνώντας.
Μὰ καθισμένος κάτω ἐσὺ στῆς ἐξορίας τὸν τόπο,
ὅπου ὅλοι γκρεμιστήκανε οἱ πρῶτοι οἱ παραβάτες
καὶ ὁ ’Αδάμ, μαζὶ μ’ αὐτὸν καὶ ἡ Εὔα ἡ προγιαγιά σου,
κι ὁ δολερὸς ὁ διάβολος, ὁ ἐξαπατητής τους,
ὅπου τὸ σκότος τὸ βαθύ, κι ὁ λάκκος ὁ μεγάλος,
τὰ φίδια ποὺ τὶς φτέρνες μας ἀδιάκοπα δαγκάνουν,
ὁ θρῆνος ὅπου καὶ τὸ οὐαί, τὸ δίχως τέλος πένθος,
ἡ κάθε ἐκεῖ κατάθλιψη κι ἡ μέριμνα καὶ ἡ λύπη,
θάνατος καὶ φθορὰ μαζὶ στὰ χέρια τους σᾶς ἔχουν.
Πῶς κάθεσαι ἀμέριμνος, πές μου, καὶ δὲ σὲ νοιάζει;
Πῶς δὲ σὲ νοιάζουν τὰ κακὰ στὸν κόσμο ποὺ ἔχεις πράξει
καὶ μόνο δὲ σ’ ἀπασχολεῖ ἡ μετάνοια πάνω ἀπ’ ὅλα
καὶ δὲ σπουδάζεις ἄδολη νὰ μᾶς τὴ φανερώσεις
καὶ δὲ ρωτᾶς παντοῦ γι’ αὐτὴν θερμὰ παρακαλώντας,
γυρεύοντας λεπτομερῶς πῶς θὰ τὴν κατορθώσεις,
πῶς ἡ εὐσπλαχνία μου μ’ αὐτὴν ἄξιο θὲ νὰ σὲ κάνει
νὰ λάβεις τὴ συχώρεση γιὰ τ’ ἀνομήματά σου;

---

74. Γεν. 3,13.

Ἀλλὰ ταύτην καταλιπὼν ζητεῖς τὰ ὑπὲρ φύσιν,
ἐρευνᾷς τὰ ἐν οὐρανοῖς, μᾶλλον δὲ οὐδὲ ταῦτα,
ἀλλὰ ἐμοῦ τοῦ οὐρανόν, ὡς εἴρηται, καὶ πάντα
παραγαγόντος ὡς οὐδέν, ἐξερευνᾷς τὴν φύσιν
καὶ βούλει τὰ περὶ ἐμοῦ, ὡς οὐδεὶς οἶδεν ἄλλος,
μανθάνειν· ὢ τοῦ θαύματος, ὢ πρόθεσις ἀνθρώπου!
Εἰ γὰρ καὶ ἐμεμψάμην σε, ἀλλ' ἐπαινέσω πάλιν,
ὅτι καὶ σὺ ἔργον ἐμὸν καὶ ποίημα ὑπάρχεις.
Πῶς ἀπὸ γῆς, ἀπὸ πηλοῦ, ἀπὸ χοὸς ἐπλάσθης
καὶ ἐν αὐτῇ κρατούμενος καὶ μετ' αὐτῆς διάγων
πάντα οὐδὲν λογίζῃ, ἀλλ' ὡς σκιὰν ἡγεῖσαι
καὶ παρατρέχεις ἅπαντα καὶ ἐμὲ ζητεῖς μόνον;
Περὶ ἐμοῦ θέλεις λαλεῖν, δι' ἐμὲ διηγεῖσθαι
καὶ βλέπειν με, εἰ δυνατόν, διὰ παντὸς τοῦ βίου
καὶ μήτε ὕπνου γεύεσθαι, βρώσεως, πόσεώς τε
ἢ ἐνδύματος σώματος τὸ καθόλου φροντίζειν.
Ἀλλ' ὥσπερ δένδρα καθ' ὁδὸν ἱστάμενα καὶ ξύλα
οὕτω λογίζῃ ἅπαντα τὰ ἔνδοξα τοῦ κόσμου,
καὶ παρατρέχεις ὡς οὐδὲν ἐν τῇ ὁδῷ τοῦ βίου,
μηδὲ περιστρεφόμενος ὄμματι διανοίας
μηδὲ ψυχῆς τοὺς ὀφθαλμοὺς ἐῶν πρὸς ταῦτα βλέψαι,
ἀλλὰ ἐμὲ φαντάζεσαι καὶ μέμνησαί μου μόνου
καὶ ἀγαπᾷς με ὡς οὐδεὶς τῶν μετὰ σοῦ συνόντων.
Τίς γάρ μου τῷ ὀνόματι γάννυται τὴν καρδίαν
καὶ διεγείρεται εὐθὺς πρὸς ἀγάπην ἢ πόθον;
Τίς ἀκούσας τὴν μνείαν μου πολλάκις λαλουμένην
ἐδάκρυσεν ἀπὸ ψυχῆς ἐνθυμηθείς με μόνον;
Τίς δὲ τοὺς θείους λόγους μου ἢ τὶς τὰς ἐντολάς μου
μετὰ σπουδῆς ἐζήτησε μαθεῖν τε καὶ φυλάξαι;
Τίς ἐλογίσθη με ὡς σὺ Θεὸν ἐπάνω πάντων
καὶ ἐπεθύμησεν εὐθὺς ἐμοὶ μόνῳ δουλεύειν
καὶ διὰ τοῦτο γονεῖς καὶ ἀδελφοὺς καὶ οἶκον,

Γεν. 2,7. 103. Ματθ. 6,28.
Ἰω. 21,15.

Αὐτὴν ὅμως παρατώντας την γυρεύεις τὰ ὑπὲρ φύση,
ψάχνεις τὰ οὐράνια καὶ ζητᾶς κι ὄχι νὰ πεῖς καὶ τοῦτα,
μὰ ἐμένα ποὺ τὸν οὐρανό, ὅπως εἶπα, καὶ τὰ πάντα
σὰν νὰ ἦταν τίποτα ἔπλασα τὴ φύση μου γυρεύεις
κι ἔχεις ἐπιθυμία γιὰ ἐμέ, ὅπως κανένας ἄλλος,
νὰ μάθεις· πράγμα θαυμαστόν, ὢ πρόθεση τοῦ ἀνθρώπου.
Ἂν καὶ σὲ κατηγόρησα, θὰ σ' ἐπαινέσω πάλι,
γιατὶ κι ἐσὺ εἶσαι πλάσμα μου καὶ ποίημα τῶν χεριῶν μου.
Πῶς ἀπ' τὴ γῆ καὶ τὸν πηλὸ κι ἀπὸ τὸ χῶμα ἐπλάστης
κι ἐνῶ σὲ κράταε μέσα της καὶ ζούσατε ἀντάμα,
ὅλα τὰ θεωρεῖς μηδὲν καὶ τὰ νομίζεις ἴσκιο
καὶ ὅλα αὐτὰ τὰ προσπερνᾶς κι ἐμὲ ζητᾶς μονάχα;
Γιὰ μένα θέλεις νὰ μιλᾶς, νὰ συζητᾶς γιὰ μένα
καὶ νὰ μὲ βλέπεις ἂν μπορεῖς γιὰ ὅλη τὴ ζωή σου,
μήτε ὕπνο, μήτε φαγητό, μήτε νερὸ νὰ ξέρεις
μήτε καὶ γιὰ φορέματα νὰ νοιάζεσαι καθόλου.
Μὰ σὰν δέντρα ποὺ στέκονται καὶ ξύλα μὲς στὸ δρόμο,
τοῦ κόσμου τούτου τὰ ἔνδοξα ἔτσι τὰ λογαριάζεις
καὶ σὰ μηδὲν τὰ προσπερνᾶς στὸ δρόμο τῆς ζωῆς σου·
μήτε καὶ στρέφεις πρὸς αὐτὸν τὰ βλέμματα τοῦ νοῦ σου,
μήτε τὰ μάτια τῆς ψυχῆς ἀφήνεις νὰ τὰ δοῦνε,
ἀλλὰ μόνο φαντάζεσαι κι ἔχεις στὸ νοῦ σου ἐμένα
καὶ μ' ἀγαπᾶς ὅπως κανεὶς ἀπ' ὅσους ζοῦν μαζί σου.
Ποιός νιώθει σκίρτημα καρδιᾶς καὶ μόνο στ' ὄνομά μου
κι εὐθὺς φλογίζει τὴν ψυχὴ ἡ ἀγάπη καὶ ὁ πόθος;
Ποιός τ' ὄνομά μου ἀκούγοντας συχνὰ νὰ τὸ ἀναφέρουν
ἔκλαψε μέσ' ἀπ' τὴν ψυχὴ στὴ θύμησή μου μόνο;
Καὶ ποιός τὰ θεῖα λόγια μου καὶ ποιός τὶς ἐντολές μου
μὲ προθυμία ζήτησε νὰ μάθει καὶ νὰ πράξει;
Ποιός ὅπως σὺ μὲ τίμησες ὡς Θεὸν ἐπάνω ἀπ' ὅλους
καὶ νὰ δουλεύει πόθησε μεμιὰ σ' ἐμένα μόνο
κι εἶναι γιὰ τοῦτο ποὺ γονιούς, σπίτια μαζὶ κι ἀδέλφια,

115-116. Βλ. Ψαλμ. 118,73 καὶ 100.
119. Μάρκ. 10,29.

γῆν τε ὁμοῦ καὶ συγγενεῖς καὶ γείτονας καὶ φίλους
οὕτω παρελογίσατο καὶ οὕτω μοι προσῆλθεν,
ὡς μηδὲ θεασάμενος ποτέ τινα ἐκ τούτων,
μηδὲ γνωρίσας ἐπὶ γῆς ἄνθρωπον ἐν τῷ κόσμῳ,
ἀλλ' ὥσπερ ξένην ἐπιβὰς χώραν τινὰ καὶ πόλιν
ἑτερογλώσσους ἔχουσαν πάντας τε καὶ βαρβάρους,
οὕτως ἐν τοῖς συνήθεσι γνωρίμοις τε καὶ φίλοις,
ἰδίοις τε καὶ ἄρχουσι καὶ πλουσίοις τοῦ κόσμου
διάγειν καὶ διακεῖσθαι μέσον τούτων τυγχάνων;
'Αλλὰ ψιλὰ λεγόμενα ταῦτα καὶ μικρὰ ἀναισθήτοις,
μεγάλα δὲ καὶ ὑψηλὰ ἐμοὶ ἐπόπτῃ τούτων.
Τίς τῶν μεγάλων ἐπὶ γῆς, ἐξουσιῶν καὶ θρόνων
ἢ τῶν λεγόντων δι' ἐμοῦ ἄρχειν καὶ βασιλεύειν
ἢ τῶν ἐκπροσωπούντων μου τοὺς θείους ἀποστόλους
τοῦτο ἢ ἐνενόησεν ἢ ἴσχυσε φυλάξαι,
ἵν' ἐν καιρῷ τηρήσεως ἐντολῆς μου καὶ νόμου
ὡς ἕνα βλέπει ἅπαντας, συγγενεῖς τε καὶ ξένους,
πλουσίους, πένητας ὁμοῦ, ἐνδόξους καὶ ἀδόξους,
τοὺς δέ γε δυνατοὺς ἅρα μετὰ εὐτελεστέρων;
Τίς ὁ δικάσας ἀπαθῶς, λεῖα βλέπων ἐν τούτοις;
Ταῦτα ψυχὴν εἰ εὕροιμι φυλάξασαν ἐν κόσμῳ,
ἐν τῇ παρούσῃ μάλιστα γενεᾷ καὶ ἡμέρᾳ,
ἴσα τῶν ἀποστόλων μου καὶ προφητῶν δοξάσω,
καὶ συγκαθήσει μετ' ἐμοῦ ἐν τῇ ἐμῇ ἐλεύσει,
κρινεῖ γὰρ ὡς ἐπὶ τῆς γῆς δικαίως ἂν καὶ τότε
καὶ δόξαν ἀπενέγκηται κριτοῦ νεκρῶν καὶ ζώντων.
Ταῦτα καλὸν τὸ ἐκζητεῖν καὶ τὰ λοιπὰ σὺν τούτοις
καὶ τηρεῖν, ὅση δύναμις, καὶ ἀκριβῶς φυλάττειν·
καὶ τὴν ἐμὴν μὴ ἐκζητεῖν φύσιν, υἱὲ ἀνθρώπου,
μηδὲ τὰς ἐνεργείας μου, Πνεύματος τοῦ ἁγίου,
ὅπως δείκνυται ἥλιος, ὅπως ὁρᾶται ἄστρον
μακρόθεν που φαινόμενον καὶ ὑπερβαῖνον ὄρη,
ἐν δὲ τῷ ἀποκρύπτεσθαι ἀπὸ τῶν ὀφθαλμῶν σου,

135. Α' Κορ. 7,19. 143. Ματθ. 19,28.

χωράφια μὰ καὶ συγγενεῖς καὶ γείτονες καὶ φίλους
τὰ περιφρόνησε βαθιὰ κι ἔτσι ἔτρεξε σ' ἐμένα,
σὰ νὰ μὴν εἶχε δεῖ ποτὲ τίποτα ἀπ' ὅλα τοῦτα,
οὔτε ἄνθρωπο πάνω στὴ γῆ νά 'χε ποτὲ γνωρίσει.
'Αλλὰ καθὼς νά 'χε βρεθεῖ σὲ ξένη γῆ καὶ πόλη
μ' ἀλλόγλωσσους καὶ βάρβαρους ὅλους της τοὺς κατοίκους
ἔτσι σὲ οἰκείους ἀνάμεσα καὶ γνώριμους καὶ φίλους,
ἰδιῶτες κι ἄρχοντες μαζὶ καὶ τοὺς πλουσίους τοῦ κόσμου,
ἔτσι κι ἐσὺ νὰ ζεῖς μ' αὐτοὺς κι ἀνάμεσά τους νά 'σαι;
Αὐτὰ εἶναι γράμματα ψιλὰ γιὰ ὅσους ἀδιάφοροι εἶναι,
ἀλλὰ μεγάλα καὶ ὑψηλὰ γιὰ ἐμὲ τὸ θεωρό τους.
Ποιός ἀπὸ τοὺς τρανοὺς τῆς γῆς θρόνους καὶ ἐξουσίες
ἢ ἀπ' ὅσους λὲν χάρη σ' ἐμὲ πὼς βασιλεύουν κι ἄρχουν
ἢ πὼς πῆραν τὴ θέση αὐτοὶ τῶν θείων μου ἀποστόλων·
ποιός τό 'βαλε στὸ νοῦ του αὐτὸ κρατώντας το ὣς τὸ τέλος,
ὅσον καιρὸ τὴν ἐντολὴ φύλαγε καὶ τὸ νόμο,
νὰ βλέπει ὡς ἕνα, ἀχώριστα, καὶ συγγενεῖς καὶ ξένους, [εἶναι,
πλούσιους μὰ καὶ φτωχοὺς μαζί, λαμπροὶ κι ἄγνωστοι ὅσοι
καὶ μέσα στοὺς ἀδύνατους τοὺς δυνατοὺς νὰ βάζει;
Ποιός δίκασε μ' ἀπάθεια βλέποντας μὲ συμπόνια;
Στὸν κόσμο ἂν βρῶ κάποια ψυχὴ αὐτὰ νά 'χει φυλάξει,
καὶ μάλιστα σ' αὐτὴν ἐδῶ τὴ γενεὰ κι ἡμέρα,
θὰ λάβει ὅσην οἱ ἀπόστολοι κι οἱ προφῆτες μου δόξα
καὶ θὰ καθήσει δίπλα μου ὅταν ἐδῶ ξανάρθω,
γιατὶ καὶ τότε ὅπως στὴ γῆ δίκαια θὰ δικάσει
καὶ κριτὴς ζώντων καὶ νεκρῶν τὴ δόξα θ' ἀποκτήσει.
Αὐτὰ καλὸ εἶναι νὰ ζητᾶς, μαζὶ μ' αὐτὰ καὶ τ' ἄλλα
νὰ τὰ τηρεῖς ὅσο μπορεῖς, νὰ τὰ φυλᾶς μ' ἀκρίβεια·
καὶ τὴ δική μου, ἀνθρώπου γιέ, τὴ φύση νὰ μὴν ψάχνεις,
μήτε καὶ τὶς ἐνέργειες τοῦ ἁγίου Πνεύματός μου,
πὼς σὰν τὸν ἥλιο φαίνεται καὶ σὰν ἀστέρι δείχνει
στὰ μάκρη ἐκεῖ τοῦ ὁρίζοντα νὰ περπατᾶ στὰ ὄρη.
Καὶ σὰν ἀπὸ τὰ μάτια σου κρυφτεῖ καὶ σὰν τὸ χάσεις,

---

145. Πράξ. 10,42. 152. Πράξ. 1,9.

θλῖψιν ἀπαραμύθητον προξενοῦν σοι καὶ λύπην,
καὶ ἐν τῷ σὲ λογίζεσθαι μηκέτι σοὶ ὀφθῆναι
ἔνδοθεν εὑρισκόμενον ἐν τῇ σῇ που καρδίᾳ
καὶ ἔκπληξίν σοι καὶ χαρὰν νέμον ἀπροσδοκήτως·
μηδ' ὅτι φλόξ σοι δείκνυται, αἴγλη καὶ πῦρ ὁρᾶται,
θαυμάζῃς ἢ ἐξερευνᾷς, οὐ γὰρ καλόν σοι τοῦτο!
Φῶς οὖν με εἶναι πίστευε ἀσχημάτιστον πάντῃ,
ἁπλοῦν ὅλον, ἀσύνθετον, ἀμέριστον τῇ φύσει,
ἀνεξερεύνητον ὁμοῦ, προσιτὸν ἀπροσίτως·
βλέπομαι γὰρ ὡς ἀληθῶς, δείκνυμαι φιλανθρώπως
κατὰ τὸ ἐνδεχόμενον ἑκάστου τῶν ἀνθρώπων
μετασχηματιζόμενος· οὐκ ἐγὼ τοῦτο πάσχω,
ἀλλ' οἱ ὁρῶντες με βλέπειν καταξιοῦνται.
Ἄλλως γὰρ οὐκ ἰσχύουσιν οὐδὲ πλέον χωροῦσιν
καὶ διὰ τοῦτο οἱ αὐτοὶ ποτὲ μὲν καθορῶσιν
ἥλιον, ὅταν ἔχωσι τὸν νοῦν κεκαθαρμένον,
ποτὲ δὲ ἄστρον, ὅταν ὑπὸ τὸν γνόφον ἄρα
καὶ τὴν νύκτα τοῦ σώματος εὑρεθήσονται τούτου.
Πῦρ δὲ καὶ αἴγλην ποιεῖ με τὸ ζέον τῆς ἀγάπης.
Ὅταν γὰρ ἀναφθῇ ἐν σοὶ ἄνθραξ ὁ τῆς φιλίας,
τότε κἀγὼ τὸ πρόθυμον ὁρῶν σου τῆς καρδίας
εὑρίσκομαι ἑνούμενος αὐτῷ καὶ φῶς παρέχων
καὶ ὥσπερ πῦρ δεικνύμενος, ὁ τὸ πῦρ λόγῳ κτίσας.
Αἱ ψυχικαὶ γὰρ ἀρεταὶ ὑπόκεινται ὡς ὕλη·
ἐν αἷς περιδρασσόμενον φῶς τοῦ Πνεύματος θεῖον
κατὰ τὸ ὑποκείμενον τῆς ὕλης καὶ καλεῖται·
ἴδιον γὰρ οὐ κέκτηται ὄνομα ἐν ἀνθρώποις.
Ὅταν οὖν κατανύσσηται ἄνθρωπος καὶ δακρύῃ,
τότε καὶ τοῦτο λέγεται ὕδωρ, καὶ γὰρ καθαίρει,
τοῖς δάκρυσιν ἑνούμενον πάντα ῥύπον ἐκπλύνει.
Ὅτε δὲ σβέσῃ τὸν θυμὸν τῆς καρδίας τὸ πένθος
τῇ συνεργίᾳ τῇ αὐτοῦ, ὠνόμασται πρᾳότης·
πάλιν δὲ ἀναπτόμενος κατὰ τῆς ἀσεβείας
τοῦτο γίνεται δι' αὐτοῦ, ὅπερ ζῆλος καλεῖται,

θλίψη ἀπαρηγόρητη σοῦ προξενεῖ καὶ λύπη·
κι ὅτανἀναλογίζεσαι πῶς δὲν τὸ ξαναβλέπεις,
τὸ βρίσκεις ξάφνου μέσα σου κρυμμένο στὴν καρδιά σου
καὶ ἀπροσδόκητη χαρὰ καὶ ξάφνιασμα σοῦ κάνει.
Καὶ ποὺ τὸ βλέπεις σὰν φωτιά, σὰ λάμψη καὶ σὰ φλόγα
νὰ μὴ θαυμάζεις ἢ ἐρευνᾶς, δὲν εἶναι γιὰ καλό σου.
Πῶς εἶμαι νὰ πιστεύεις φῶς δίχως μορφὴ καμία
ὡς πέρα ἁπλὸ κι ἀσύνθετο κι ἀχώριστο στὴ φύση
κι ἀνεξερεύνητο μαζὶ καὶ προσιτὸ ἀπροσίτως.
Μὲ βλέπεις κι εἶναι ἀληθινό, φαίνομαι ἀπὸ εὐσπλαχνία
σύμφωνα μὲ τὴ δύναμη τοῦ καθενὸς ἀνθρώπου
στὴν ὄψη παραλλάζοντας· ἂν καὶ δὲν εἶναι πάθος
δικό μου μὰ ἔτσι οἱ ἄνθρωποι εἶναι ἄξιοι νὰ μὲ βλέπουν.
ἀλλιώτικα εἶναι ἀδύναμοι, πιότερο δὲ χωρᾶνε
κι εἶναι γι' αὐτὸ ποὺ οἱ ἄνθρωποι τώρα μὲ βλέπουν οἱ ἴδιοι
σὰν ἥλιον ὅταν ἔχουν νοῦ ποὺ λάμπει καθαρμένος
κι ἄλλοτε ἀστέρι, ὅταν βρεθοῦν στὸ ζόφο τυλιγμένοι
καὶ βυθισμένοι στὴ νυχτιὰ τοῦ σώματός μας τούτου.
Λάμψη μὲ κάνει καὶ φωτιὰ ἡ φλογερή μου ἀγάπη.
Ὅταν ἀνάψει μέσα σου ἡ σπίθα τῆς φιλίας,
τότε τὴν προθυμία κι ἐγὼ βλέποντας τῆς καρδιᾶς σου
ἑνώνομαι κι ἐγὼ μ' αὐτὴν παρέχοντας τὸ φῶς μου
καὶ φαίνομαι καθὼς φωτιὰ ὁ κτίστης της μὲ λόγο.
Στέκουν σὰν δέντρα τῆς ψυχῆς οἱ ἀρετὲς κι ἐπάνω
τὸ φῶς τοῦ θείου Πνεύματος τὶς σφιχτοπεριπλέκει
καὶ μὲ τὸ δέντρο ἀνάλογα παίρνει καὶ τ' ὄνομά του,
γιατὶ δικό του ὄνομα δὲν ἔχει στοὺς ἀνθρώπους.
Σὰν ἔρθει σὲ κατάνυξη ὁ ἄνθρωπος καὶ δακρύζει
νερὸ τὸ φῶς μου λέγεται τότε, γιατὶ καθαίρει,
σὰν μὲ τὰ δάκρυα ἑνωθεῖ ξεπλένει κάθε ρύπο.
Μὰ τῆς καρδιᾶς σου τὸ θυμὸ τὸ πένθος σὰν τὸν σβήσει
μὲ τὴ βοήθεια τοῦ φωτὸς πραότης τ' ὄνομά του
καὶ πάλι ξαναγάβοντας ἐνάντια στὴν ἀσέβεια,
τὸ ἄναμμα γίνεται μ' αὐτὸ ποὺ τὸ καλεῖτε ζῆλο

εἰρήνη δ' αὖθις καὶ χαρὰ λέγεται καὶ χρηστότης,
ὅτι καὶ τὰ ἀμφότερα δωρεῖται τῷ πενθοῦντι
καὶ ὡς πηγὴν βλύζειν ποιεῖ τὴν χαρὰν ἐν καρδίᾳ.
Ἐξ ἧς πᾶσα συμπάθεια καὶ ἐλεημοσύνη
ἐκχεῖται ἔξω ῥέουσα ἀπὸ ψυχῆς τοῖς πᾶσι,
μάλιστα τοῖς μετανοεῖν θέλουσι καὶ σωθῆναι·
καὶ γὰρ τοὺς πάντας ἐλεεῖ, τούτοις δὲ καὶ συντρέχει
καὶ συνεργεῖ καὶ συγκροτεῖ καὶ συμπάσχει ἐν πᾶσιν,
ἑνούμενος κατὰ ψυχὴν αὐτῶν τῇ προαιρέσει
καὶ τεκμαιρόμενος νοΐ κάλλος τῆς μετανοίας
γνησιεστέραν κέκτηται πρὸς αὐτοὺς τὴν ἀγάπην.
Ταπείνωσις δὲ λέγεται, ὡς τὰ τοῦ κόσμου πάντα,
ἀλλὰ καὶ τὴν ψυχὴν αὐτὴν καὶ τὸ ἴδιον σῶμα
καὶ πρᾶξιν πᾶσαν ὡς οὐδὲν ἡγεῖσθαι γινομένην
ἄνθρωπον τὸν γευσάμενον τῆς γλυκύτητος τούτου
καὶ κατιδόντα τοῦ φωτὸς τὸ ἀμήχανον κάλλος.
Ταῦτα εἰδὼς μηκέτι μου περὶ τοιούτων λέγειν
ἢ ἑρμηνεύειν σοι λεπτομερῶς δεηθῇς ὅλως!
Φύσει γὰρ ἄφθεγκτά εἰσιν, ἀνεκλάλητα πάντῃ,
ἀνθρώποις τε ἀπόρρητα, ἄγνωστα καὶ ἀγγέλοις
καὶ κτιστῇ πάσῃ ἄλλῃ τινὶ οὐσίᾳ ὅλως ἀκατανόητα.
Γνῶθι δὲ μόνον τὰ σαυτοῦ ἢ σαυτὸν μᾶλλον πλέον
καὶ τότε γνώσεις, ὡς ἐγὼ ἀκατάληπτος πάντῃ
μόνοις συνών, μόνους φιλῶν τοὺς ἐμὲ ἀγαπῶντας
καὶ τῶν ἐμῶν ἀεὶ θερμῶς ἐντολῶν μεμνημένους
καὶ μηδαμῶς προκρίνοντας αὐτῶν τι τῶν ῥεόντων·
οἷς ὁμιλῶν συνέσομαι νῦν καὶ εἰς τοὺς αἰῶνας.
Ἀμήν.

---

187. Γαλ. 5,22.
210. Παρμ. 8,17.

κι εἰρήνη πάλι καὶ χαρὰ λέγεται καὶ χρηστότης,
γιατὶ σ' ἐκεῖνον ποὺ πενθεῖ χαρίζει καὶ τὰ δύο
καὶ κάνει ὡς πηγὴ ἡ χαρὰ στὴν καρδιὰ ν' ἀναβρύζει.
Κάθε συμπόνια ἀπ' αὐτήν, καὶ κάθε ἐλεημοσύνη
ξεχύνεται ἀπὸ τὴν ψυχὴ κι ἁπλώνεται πρὸς ὅλους
πιὸ πολὺ σ' ὅσους μετανοοῦν καὶ θέλουν νὰ σωθοῦνε,
γιατὶ τοὺς πάντες ἐλεεῖ μ' αὐτοὺς καὶ τοὺς βοηθάει,
τοὺς καταρτίζει, συνεργεῖ καὶ συγκοπιάζει σ' ὅλα
κι ἑνώνεται μὲς στὴν ψυχὴ μὲ τὴν προαίρεσή τους
καὶ στὴν ψυχή τους βλέποντας τῆς μετανοίας τὸ κάλλος
ἀκόμα γνησιότερη δείχνει σ' αὐτοὺς ἀγάπη.
Λέγεται καὶ ταπείνωση γιατὶ τὸν κόσμον ὅλο
μὰ καὶ τὴν ἴδια τὴ ζωὴ καὶ αὐτὸ τὸ ἴδιο τὸ σῶμα
καὶ κάθε πράξη τὴ θεωρεῖ σὰ νὰ μὴν ἔχει γίνει
ὁ ἄνθρωπος ὁποὺ γεύτηκε τὴ θεία γλυκύτητά του
καὶ τὴν ἀμήχανη ὀμορφιὰ κοίταζε τοῦ φωτός μου.
Σὰν ξέρεις ὅλα τοῦτα πιά, γιὰ τοῦτα νὰ σοῦ λέγω
ἢ νὰ ἐξηγῶ λεπτομερῶς μὴ μὲ παρακαλέσεις.
Εἶναι ἄρρητα ἀπ' τὴ φύση τους κι ἀνέκφραστα εἶν' ἀπ' ὅλα
κρυφὰ ἀπὸ κάθε ἄνθρωπον, ἄγνωστα στοὺς ἀγγέλους
κι ὁλότελα ἀκατάληπτα γιὰ ὅποια κτιστὴ ἄλλη οὐσία.
Μάθε μόνο ὅ,τι σ' ἀφορᾶ ἢ 'σαυτὸν γνῶθι' μᾶλλον
τότε μαθαίνεις πὼς ἐγὼ εἶμαι ἀκατανόητος
καὶ πάω μ' ὅσους μ' ἀγαποῦν κι αὐτοὺς μόνο ἀγαπάω
κι ὅσους θυμοῦνται ἀδιάκοπα θερμὰ τὶς ἐντολές μου
καὶ δὲν προκρίνουν ἀπ' αὐτὲς τίποτα ἀπ' ὅσα ρέουν,
μ' αὐτοὺς θὲ νά 'μαι ἀδιάκοπα τώρα καὶ στοὺς αἰῶνες.
'Αμήν.

---

208. Καὶ λίγος Σωκράτης μὲ τὸ 'γνῶθι σαὐτὸν' συμπληρωμένο μ' ἕνα 'πλέον' στὸ στόμα τοῦ Θεοῦ νὰ συντελεῖ στὴ βεβαιότητα γιὰ τὸ ἀδύνατο τῆς γνώσης τοῦ Θεοῦ.

ΚΓ

Περὶ τῆς ἀκαταλήπτου καὶ ἀπεριγράπτου θεότητος ἀκριβὴς θεολογία, καὶ ὅτι ἀπερίγραπτος οὖσα ἡ θεία φύσις οὔτε ἐντὸς οὔτε ἐκτός ἐστι τοῦ παντός, ἀλλὰ καὶ ἐντὸς καὶ ἐκτός ἐστιν ὡς τῶν ὅλων αἰτία· καὶ ὅτι μόνον κατὰ νοῦν τῷ ἀνθρώπῳ ληπτὸν ἀλήπτως τὸ θεῖον, ὡς τοῖς ὀφθαλμοῖς αἱ τοῦ ἡλίου ἀκτῖνες.

Ὦ Τριάς, ἡ κτίστης πάντων,
ὦ Θεέ μου μόνε μόνῳ,
ἀπερίγραπτε τῇ φύσει,
ἀκατάληπτε τῇ δόξῃ,
ἀνερμήνευτε τοῖς ἔργοις,
ἀναλλοίωτε οὐσίᾳ!
Ὦ ζωή, Θεέ, τῶν πάντων,
ὦ καλῶν ἁπάντων ἄνω,
ὦ ἀρχὴ ἀνάρχου Λόγου,
ὑπεράναρχε Θεέ μου,
ὃς οὐ γέγονας οὐδέπω.
ἀλλὰ ἦς ἀρχὴν μὴ ἔχων!
Πῶς εὑρήσω τὸν ἐντός με
περιφέροντά σε ὅλον;
Τίς μοι δώσει κατασχεῖν σε,
ὃν ἐντός μου περιφέρω;
Πῶς καὶ ἔξω τῶν κτισμάτων,
πῶς καὶ ἔσω τούτων πάλιν
καὶ οὐδ' ἔσω ἦς οὐδ' ἔξω;–
Ὡς μὲν ἄληπτος οὐκ ἔσω,

13–19. Μετὰ τὴν προσφώνηση ὁ ποιητὴς διατυπώνει στοὺς στίχους αὐτοὺς τὸ τριπλό του ἐρώτημα ποὺ δημιουργεῖται ἀπὸ μιὰ ἀντιφατικὴ κατάσταση.

23

Λεπτομερὴς θεολογία σχετικὰ μὲ τὴν ἀκατάληπτη καὶ ἀπερίγραπτη θεότητα. Καὶ ἐπειδὴ ἡ θεία φύση δὲν περιγράφεται, δὲν εἶναι οὔτε μέσα οὔτε ἔξω ἀπὸ τὸ σύμπαν, ἀλλὰ εἶναι καὶ μέσα σ' αὐτὸ καὶ ἔξω ἀπὸ αὐτὸ ὡς αἰτία τῶν ὅλων. Καὶ ὅτι ἡ θεότητα νοερὰ μόνο εἶναι καταληπτὴ ἀπὸ τὸν ἄνθρωπο κατὰ τρόπο ἀσύλληπτο ὅπως ἀπὸ τὰ μάτια οἱ ἀκτίνες τοῦ ἥλιου.

Τριάδα ἐσύ, τῶν ὅλων κτίστη,
Θεέ μου μόνε μὲ τὸ μόνο,
μὲ τὴ δίχως ὅρια φύση
τὴν ἀκατανόητη δόξα
τὰ ἔργα ποὺ δὲν ἐξηγοῦνται
τὴν ἀνάλλαχτή σου οὐσία!
Ὢ ζωή, Θεέ, τῶν ὅλων,
τῶν καλῶν τῶν οὐρανίων.
Ὢ ἀρχὴ τοῦ ἀνάρχου λόγου,
ὑπεράναρχε Θεέ μου,
ποὺ ποτὲ δὲν ἔχεις γίνει,
ἤσουνα κι ἀρχὴ δὲν ἔχεις.
Πῶς νὰ βρῶ μέσα μου ἐσένα
ποὺ μὲ περιέχεις ὅλον;
Ποιός μοῦ δίνει νὰ κρατήσω
ἐσὲ ποὺ ἐντός μου περιφέρω;
Πῶς κι ἀπὸ τὰ κτίσματα ἔξω
καὶ σὲ τοῦτα πάλι μέσα
κι οὔτε μέσα εἶσαι κι οὔτε ἔξω;
–Μέσα πῶς; Ἀφοῦ διαφεύγω,

20–79. Εἶναι ἡ ἀπάντηση τοῦ Θεοῦ στὸ τριπλὸ ἐρώτημα ποὺ κι αὐτὴ εἶνα αἰνιγματικὴ γιὰ τὸν ποιητή.

ὡς ληπτὸς δ' οὐκ ἔξω πέλω
ἀπερίγραπτος δ' ὑπάρχων
οὔτε ἔσω οὔτε ἔξω.
Τίνος γὰρ ὁ κτίστης ἔσω,
ποίου δέ, εἰπέ μοι, ἔξω;
Πάντα ἔνδον περιφέρω
ὡς συνέχων πᾶσαν κτίσιν·
πάντων ἔξω δὲ τυγχάνω,
πάντων ὢν κεχωρισμένος.
Ὁ γὰρ κτίστης τῶν κτισμάτων
πῶς οὐκ ἔσται πάντων ἔξω;
Ὁ πρὸ πάντων δὲ ὑπάρχων
καὶ πληρῶν τὸ πᾶν ὡς πλήρης,
πῶς οὐκ ἔσομαι καὶ κτίσας
ἐν τοῖς κτίσμασί μου πᾶσι;
Πανταχοῦ καὶ γὰρ ὑπῆρχον
ἐν τῷ πᾶν ὡς ὑπερπλήρης
καὶ πληρῶ τὰ πάντα κτίσας.
Νόει ἅπερ σοὶ φθέγγομαι!
Οὐ μετέστην τόπου κτίσας,
οὐδ' ἡνώθην τοῖς κτισθεῖσιν·
ἀπερίγραπτον δὲ ὄντα
ποῦ ποτέ με φήσεις εἶναι;
(Οὐ σωματικῶς σοι λέγω,
ἀλλὰ νοητῶς μοι νόει).
Ζητῶν δὲ πνευματικῶς με
ἀπερίγραπτον εὑρήσεις,
οὐδαμοῦ δ' αὖ κατὰ τοῦτο,
οὐδὲ ἔσω οὐδὲ ἔξω,
εἰ καὶ πανταχοῦ κ' ἐν πᾶσιν
ἀπαθῶς καὶ ἀσυγχύτως·
κατὰ τοῦτο δ' ἔξω πάντων,
ὅτι καὶ πρὸ πάντων ἤμην.

---

53. Κολ. 1,17.

κι ἔξω πῶς, ἀφοῦ εἶμαι ἐντός σου,
μ' ἀπεριόριστος σὰν εἶμαι
οὔτε μέσα εἶμαι κι οὔτε ἔξω–.
Σὲ ποιό μέσα εἶναι ὁ κτίστης
κι ἀπὸ ποιό εἶναι ἀπέξω, πές μου.
Ἔχω μέσα μου τὰ πάντα
ἀφοῦ συνέχω ὅλη τὴν κτίση,
κι εἶμαι ἀπ' ἔξω ἀπὸ τὰ πάντα
ἀπ' τὰ πάντα ἀφοῦ εἶμαι χώρια.
Ὁ δημιουργὸς τῶν ὄντων
πῶς δὲ θά 'ναι ἔξω ἀπ' ὅλα;
Κι ὅπου ὑπάρχω πρὶν ἀπ' ὅλα
καὶ τὸ πᾶν γεμίζω ὡς πλήρης,
πῶς δὲ θὰ εἶμαι ἂν καὶ κτίστης
μὲς στὰ κτίσματά μου ὅλα;
Καὶ ὑπερπλήρης βέβαια ὑπῆρχα
σ' ὅποιο μέρος μὲς στὸ σύμπαν
κι ὅλων κτίστης, τὰ γεμίζω.
Μάθε ἐκεῖνο ποὺ σοῦ λέγω!
Δὲν ἐπῆγα ἀλλοῦ νὰ κτίσω,
οὔτ' ἕνα ἤμουν μὲ τὴν κτίση·
κι ἀφοῦ δίχως ὅρια εἶμαι,
ποῦ θὰ πεῖς πὼς κάποτε ἤμουν;
(Δὲ μιλῶ σ' ἐσὲ γιὰ σῶμα
μὰ γιὰ πνεῦμα, ἐννόησέ με).
Κι ὅταν μὲ ζητᾶς σὰν πνεῦμα,
ἀπεριόριστο θὰ μ' εὕρεις
καὶ γιὰ τοῦτο νὰ μὴν εἶμαι
πουθενὰ εἴτε ἔξω ἢ μέσα
ἂν κι εἶμαι παντοῦ καὶ σ' ὅλα
δίχως σύγχυση καὶ πάθος·
καὶ γιὰ τοῦτο κι ἔξω ἀπ' ὅλα,
ἀφοῦ ἤμουν καὶ πρὶν ἀπ' ὅλα

Ἀλλ᾽ ἀφήσωμεν τὴν κτίσιν
ὅλην ταύτην ἥνπερ βλέπεις,
ὅτι λόγου οὐ μετέχει
καὶ δικαίως πρὸς τὸν λόγον
οἰκειότητα οὐκ ἔχει,
νοῦ παντὸς ἐστερημένη!
Δῶμεν οὖν οἰκεῖον ζῷον
πρὸς τὸν λόγον τῆς σοφίας,
ἵν᾽ ὡς νοῦς πρὸς τὴν σοφίαν
καὶ ὡς λόγος πρὸς τὸν λόγον
συγγενῶς τε καὶ οἰκείως ἔχον μᾶλλον
σχῇ καλῶς καὶ κοινωνίαν
τὸ κτισθὲν μετὰ τοῦ κτίστου,
ὡς τοῦ κτίστου κατ᾽ εἰκόνα
καὶ ὁμοίωσιν ὑπάρχον!
Ποῖον τοῦτο λέγω ζῷον;
Ἄνθρωπόν σοι πάντως εἶπον
λογικὸν ἐν τοῖς ἀλόγοις
ὡς διπλοῦν ἐξ ἑκατέρων
αἰσθητῶν καὶ νοουμένων.
Οὗτος μέσον τῶν κτισμάτων
τὸν Θεὸν γινώσκει μόνος,
τούτῳ μόνῳ ὁ Θεὸς δὲ
κατὰ νοῦν ληπτὸς ἀλήπτως,
καθορᾶται ἀοράτως
καὶ κρατεῖται ἀκρατήτως.–
Πῶς ληπτῶς καὶ πῶς ἀλήπτως,
πῶς δὲ καὶ μικτῶς ἀμίκτως;

---

67. Γεν. 1,26.

Μ' ἂς ἀφήσομε τὴν κτίση
ὅλη αὐτὴν ποὺ εἶναι μπροστά σου,
ἀφοῦ λόγο αὐτὴ δὲν ἔχει
κι ἔτσι δίκαια μὲ τὸ λόγο
ἡ οἰκειότητα τῆς λείπει
ἀφοῦ ἴχνος νοῦ δὲν ἔχει!
Λοιπὸν πάρε ὂν οἰκεῖο
μὲ τὸ λόγο τῆς σοφίας,
ὥστε ὡς νοῦς πρὸς τὴ σοφία
καὶ σὰν λόγος πρὸς τὸ λόγο
μὲ οἰκειότητα στενότερη μιὰ καὶ συγγένεια
λάβει ὀρθὰ καὶ κοινωνία
μὲ τόν κτίστη του τὸ κτίσμα,
ἐπειδὴ τοῦ κτίστη εἰκόνα
ὡς καὶ ὁμοίωσή του εἶναι.
Ποιό εἶναι τὸ ὂν αὐτὸ ποὺ λέγω;
Γιὰ τὸν ἄνθρωπο εἶν' ὁ λόγος·
λογικὸς σὲ ἄλογα μέσα
διπλὸς πού 'ναι ἀπὸ τὰ δύο
τὰ αἰσθητὰ κι ὅσα νοοῦμε.
Αὐτὸς ἀπ' τὰ κτίσματα ὅλα
τὸ Θεὸ μόνο γνωρίζει
κι ὁ Θεὸς ἀπ' αὐτὸν μονάχα
ἀκατανόητα νοεῖται
κι ἄφαντα ναί, φαίνεταί του
καὶ ἀκράτητα κρατιέται.
–Πῶς νοητὰ κι ἀκατανόητα,
πῶς ἀμέτοχα μετέχει;

80–81. Ξεκινώντας ἀπὸ τὴν τριπλὴ καταληκτικὴ ἀντίφαση τοῦ Θεοῦ διατυπώνει τὴ δεύτερη ἐρώτησή του ποὺ αὐτὴ εἶναι διπλή, ἀποτελούμενη ἀπὸ τὴν πρώτη ἀντίφαση· 'ληπτῶς–ἀλήπτως' μὲ πρόσθεση μιᾶς τέταρτης· 'μικτῆς ἀμίκτως'.

Πῶς; εἰπέ μοι, φράσον ταῦτα!–
Πῶς τὰ ἄφραστά σοι φράσω,
πῶς τὰ ἄρρητά σοι εἴπω;
Ὅμως πρόσεχε καὶ λέξω·
λάμπει ἥλιος ἀκτῖνας
(αἰσθητὸν τοῦτόν σοι λέγω,
τὸν γὰρ ἄλλον οὔπω εἶδες),
τὰς γοῦν τούτου βλέπεις ἀκτῖνας
καὶ ληπταί εἰσι τοῖς ὀφθαλμοῖς σου.
Τὸ δὲ φῶς τῶν ὀφθαλμῶν σου
συνημμένον ἦν τοῖς ὀφθαλμοῖς σου·
ἄρτι λέξον ἐρωτῶντι·
Τὸ οὖν φῶς σου ταῖς ἀκτῖσι
πῶς ὑπάρχει συνημμένον,
ἐν ἀμίκτῳ μίξει ἔστιν
ἢ συγκέχυνται ἀλλήλοις;
Οἶδα· ἄμικτα καὶ λέξεις
καὶ μικτὰ ὁμολογήσεις
καὶ ληπτὸν τὸ φῶς μοι εἴπεις,
ὀφθαλμῶν ἀνεῳγμένων
καὶ καλῶς κεκαθαρμένων.
Τὸ δ' αὐτό, εἰ σὺ καμμύσῃς,
ἄληπτον εὐθὺς ὑπάρχει,
τοῖς τυφλοῖς οὐ παραμένει,
σύνεστι δὲ τοῖς ὁρῶσιν.
Ὅτε δὲ δύνει, καὶ τούτους
ὡς τυφλοὺς καταλιμπάνει–
ἐν νυκτὶ καὶ γὰρ ἀνθρώπων
ὀφθαλμοὶ οὐ καθορῶσιν–,
ἡ ψυχὴ οὖν διὰ τούτων
παρακύπτουσα φῶς βλέπει,

82. Ἡ δεύτερη ἀπάντηση τοῦ Θεοῦ ξεκινᾶ ἀπὸ τὴν παράκληση 'φράσου ταῦτα'. Ἡ ἀπάντηση εἶναι δύσκολη γιὰ τὴν νοητικὴ ἱκανότητα τοῦ ἀνθρώπου,

Πές μου πῶς κι ἐξήγησέ μου.
–Πῶς τ' ἀνέκφραστα νὰ ἐκφράσω
Πῶς τ' ἀνείπωτα νὰ εἰπῶ σου;
Πρόσεχε ὅμως καὶ θ' ἀκούσεις.
Λάμπουν οἱ ἀχτίνες τοῦ ἥλιου
(γιὰ τὸν αἰσθητὸ σοῦ λέγω,
κι ἄλλο δὲν εἶδες ἀκόμα),
τὶς ἀκτίνες λοιπὸν βλέπεις
καὶ τὶς δέχονται τὰ μάτια
καὶ εἶναι τὸ φῶς τῶν ματιῶν σου
μὲ τὰ μάτια σου δεμένο·
τώρα σὲ ρωτῶ καὶ πές μου·
Πῶς λοιπὸν τὸ φῶς σου, πές μου,
δένεται μὲ τὶς ἀκτίνες;
Σὲ μιὰ μίξη ποὺ ἄμικτη εἶναι
ἢ συγχέονται μεταξύ τους;
Ξέρω· θὰ πεῖς δίχως μίξη,
μὰ θὰ πεῖς καὶ πὼς μὲ μίξη.
Καὶ θὰ πεῖς τὸ φῶς πὼς βλέπουν
σὰν τὰ μάτια εἶν' ἀνοιγμένα
καθαρὰ καὶ σκουπισμένα.
Τὸ ἴδιο φῶς, ἂν σὺ τὸ κλείσεις,
γίνεται ἄληπτον ἀμέσως,
στοὺς τυφλοὺς δὲν παραμένει,
συντροφεύει ὅσους βλέπουν.
Μὰ καὶ τούτους ὅταν δύσει
τοὺς ἀφήνει σὰν τυφλοὺς
–μὲς στὴ νύχτα τῶν ἀνθρώπων
τὰ μάτια βέβαια δὲ βλέπουν–·
λοιπὸν ἡ ψυχὴ ἀπὸ τοῦτα
σκύβοντας βλέπει τὸ φῶς

γιατὶ ἀναφέρεται σὲ ἄφραστα καὶ ἄρρητα. Ἡ ἐξήγηση μπορεῖ νὰ βρεθεῖ μόνο μὲ ἀναλογία πρὸς τὸν φυσικὸ ἥλιο: βλέπομε τὴν ἀκτίνα (ληπτὸς) καὶ ὄχι τὸν ἥλιο ποὺ ἀκτινοβολεῖ (ἄληπτος).

τοῦ φωτὸς δὲ μὴ παρόντος
ὡς ἐν σκότει πάντως ἔστιν,
ἀνατέλλοντος δὲ τούτου
τότε βλέπεις φῶς ἐν πρώτοις,
ἐν φωτὶ δὲ καὶ τὰ πάντα,
τὸ δὲ φῶς ἔχων οὐκ ἔχεις·
ἔχεις γάρ, ὅτι καὶ βλέπεις,
κατασχεῖν δὲ μὴ ἰσχύων
ἢ λαβεῖν αὐτὸ χερσί σου.
Ἔχειν ὅλως οὐ δοκεῖς τι,
ἐφαπλοῖς τὰς σὰς παλάμας,
λάμπει ἥλιος ἐν ταύταις
καὶ κρατεῖν αὐτὸν νομίζεις·
τοῦτο λέγω, ὅτι ἔχεις.
Σφίγγεις αἴφνης πάλιν ταύτας
καὶ ἀκράτητος ὑπάρχει·
οὕτω πάλιν οὐδὲν ἔχεις.
Τὰ ἁπλᾶ ἁπλῶς κρατοῦνται,
κρατητῶς οὐ σφίγγονται δέ,
εἰ καὶ σῶμα γὰρ τῇ φύσει
τοῦτο δὴ τὸ φῶς νοεῖται
ὁρωμένου τοῦ ἡλίου,
πλὴν καὶ ἄτμητον ὑπάρχει.
Πῶς οὖν τοῦτον εἰς οἰκίαν
εἰσαγάγεις σήν, εἰπέ μοι;
Πῶς δὲ κατασχεῖν ἰσχύσεις,
πῶς τὸ ἄληπτον κρατήσεις,
πῶς δὲ τοῦτον ὅλον κτήσῃ,
μερικῶς ἢ καὶ καθόλου;
Πῶς δὲ λάβεις τούτου τμῆμα
καὶ ἐν κόλπῳ κατακρύψεις;–
Πάντως οὐδαμῶς, μοί εἴπεις,
δυνατόν ποτε γενέσθαι!
Εἰ οὖν τούτου, ὅνπερ λόγῳ

κι ἂν τὸ φῶς ἀπουσιάζει,
εἶναι βέβαια στὸ σκοτάδι,
κι ὅταν τὸ φῶς ἀνατείλει,
τὸ φῶς τότε πρῶτα βλέπεις
καὶ μέσα στὸ φῶς τὰ πάντα,
κι ἔχοντας τὸ φῶς δὲν τό 'χεις·
τὸ ἔχεις ναὶ γιατὶ τὸ βλέπεις,
πῶς ὡστόσο νὰ τὸ πιάσεις
ἢ στὰ χέρια νὰ τὸ πάρεις;
Οὔτε ἰδέα πὼς ἔχεις κάτι
τὶς παλάμες σου ἁπλώνεις
μὲς σ' αὐτὲς ἀστράφτει ὁ ἥλιος
καὶ πὼς τὸν κρατᾶς θαρρεῖς
αὐτὸ τὸ ὀνομάζω 'ὅτι ἔχεις'.
Σφίγγεις ξάφνου τὶς παλάμες
μὰ δὲν εἶναι μέσα, κι ἔτσι
τίποτε δὲν ἔχει πάλι.
Ἁπλὰ τ' ἁπλὰ κανεὶς κρατεῖ
δὲν τὰ σφίγγει ὅμως κρατώντας·
μόλο ποὺ σῶμα στὴ φύση
τὸ φῶς τοῦτο τὸ ἐννοοῦμε,
ὅταν βλέπομε τὸν ἥλιο,
κι ἀδιαίρετο ὅμως εἶναι.
Πῶς λοιπὸν μέσα στὸ σπίτι
τὸ δικό σου θὰ τὸ πάρεις;
Πῶς μπορεῖς νὰ τὸ κρατήσεις,
πῶς τὸν ἄπιαστο νὰ πιάσεις;
Καὶ πῶς θὰ τὸν ἀποχτήσεις
ἕνα μέρος του εἴτε κι ὅλον;
Πῶς ἕνα του μέρος μόνο
μὲς στὸν κόρφο σου θὰ κρύψεις;
Θὰ πεῖς, μὲ κανένα τρόπο
τοῦτο δὲν μπορεῖ νὰ γίνει.
Κι ἂν τὴ φύση τοῦ ἥλιου τούτου,

καὶ προστάγματι ὁ κτίστης
ὡς λαμπάδα παρεισῆξε
φαίειν πᾶσι τοῖς ἐν κόσμῳ,
ἐξειπεῖν ἢ ἐρευνῆσαι
ὅλως φύσιν οὐκ ἰσχύεις,
πῶς καὶ σῶμα οὗτος ἔστιν,
οὐκ ἀσώματος γὰρ πάντως;
Πῶς ληπτός ἐστιν ἀλήπτως,
πῶς καὶ μίγνυται ἀμίκτως,
πῶς ἀκτῖσι καθορᾶται
καὶ φωτίζει σε ἐν τούτοις,
ὃν εἰ καὶ τρανῶς προσβλέψεις,
ὅλον μᾶλλον ἐκτυφλοῖ σε;
Ἀλλὰ καὶ τῶν ὀφθαλμῶν σου
ἀπορεῖς τὸ φῶς εἰπεῖν μοι,
πῶς φωτὸς ἑτέρου δίχα
ὅλως βλέπειν οὐκ ἰσχύει
καὶ παντὶ φωτὶ ἑνοῦται
καὶ ὡς φῶς τὰ πάντα βλέπει.
Ἀπαθὲς δὲ μένει πάντως,
διαιρούμενον τῶν φώτων
καὶ ἑνούμενον ὡσαύτως
φῶς φωτὶ ὅλον τυγχάνει·
καὶ ἡ ἕνωσις ἀφράστως,
ἀσυγχύτως τούτων πέλει,
ἡ διαίρεσις δι' ὁμοίως
μὴ καταλαμβανομένη.
Πῶς τοῦ κτίστου τῶν ἁπάντων
ὅλως φύσιν ἐρευνῆσαι,
ἐνεργείας τούτου πάλιν
πῶς μοι λέγεις ἑρμηνεῦσαι,
πῶς εἰπεῖν μοι, πῶς ἐκφράσαι,
πῶς δὲ λόγῳ παραστῆσαι;

ποὺ μὲ πρόσταγμά του ὁ κτίστης
ἔβαλε μέσα στὸν κόσμο
φάρο γιὰ νὰ φέγγει σ' ὅλους,
γιὰ νὰ πεῖς ἢ νὰ ἐρευνήσεις
κάθε δύναμη σοῦ λείπει
πῶς αὐτὸς εἶναι καὶ σῶμα,
γιατὶ ἀσώματος δὲν εἶναι;
Πῶς νοητὸς κι ἀκατανόητος,
πῶς ἀμέτοχα μετέχει,
πῶς οἱ ἀκτίνες σοῦ τὸν δείχνουν
καὶ πῶς σὲ φωτίζει ὡστόσο,
ποὺ ἂν τὸν δεῖς μ' ἀνοιχτὰ μάτια
σὲ τυφλώνει πέρα ὣς πέρα;
Μὰ ἀπορεῖς καὶ τῶν ματιῶν σου
τὸ φῶς πῶς νὰ μοῦ ἐξηγήσεις·
πῶς ἀδυνατεῖ νὰ βλέπει
δίχως φῶς ἄλλο κανένα
καὶ μὲ κάθε φῶς ἑνώνεται
καὶ σὰν φῶς τὰ πάντα βλέπει.
Ἀπαθὲς ὡστόσο μένει,
ἀπ' τὰ φῶτα χωρισμένο
καὶ μ' αὐτὰ ἑνωμένο πάλι
εἶναι φῶς μὲ φῶς ἀκέραιο·
ἄφραστη εἶναι ἡ ἕνωσή του
καὶ ἀσύγχυτη συνάμα·
ὅμοια κι ἡ διαίρεσή τους
γιὰ μᾶς εἶναι ἀκατανόητη.
Πῶς τοῦ δημιουργοῦ τῶν ὅλων
θὲς τὴ φύση νὰ ἐρευνήσεις,
μὰ καὶ τὶς ἐνέργειές του
πῶς θὰ ἑρμηνεύσεις πάλι,
θὰ μοῦ πεῖς καὶ πῶς θὰ ἐκφράσεις
πῶς μὲ λόγια θὰ μοῦ ἐκθέσεις;

Πίστει πάντα παραδέχου!
Πίστις γὰρ οὐκ ἀμφιβάλλει,
πίστις ὅλως οὐ διστάζει,
πλήν, ὡς λέγω, πάντα ἔστιν.
Ἐναργῶς σοι πάντα λέγω·
οὐδαμῶς τι τῶν ἁπάντων
ἡ δημιουργὸς τῶν ὅλων ἔστιν,
φύσις θεία καὶ σοφία,
οὐδ' ἐν πᾶσι (πῶς γὰρ ἔσται
τὸ οὐδὲν ὑπάρχον πάντων,
αἴτιον δὲ ὂν τῶν πάντων;)·
πανταχοῦ ἐστι κ' ἐν πᾶσι
καὶ πληροῖ τὰ πάντα ὅλως
κατ' οὐσίαν, κατὰ φύσιν,
καθ' ὑπόστασιν ὡσαύτως.
Πανταχοῦ Θεὸς ὑπάρχει
ὡς ζωὴ ζωὴν παρέχων·
τί γὰρ ὅλως καὶ παρήχθη,
ὃ αὐτὸς οὐ παρεισῆξε;
Μέχρι κώνωπός μοι νόει
καὶ ἱστοῦ τοῦ τῆς ἀράχνης!
Πόθεν γὰρ τοσοῦτον ταύτῃ
χορηγεῖται νῆμα, λέγε;
Ἢ οὐ νήθει, ἀλλ' ἀκόπως
καθ' ἑκάστην ἐξυφαίνει,
ἁλιέων σοφωτέρα,
ἰξευτῶν τε πάντων πέλει
ἐξαπλοῦσα τοὺς ἱμάντας
καὶ συνδοῦσα ἐκ μακρόθεν
καὶ ἐσχάτως μέσον τούτων
ὥσπερ δίκτυον ὑφαίνει
εἰς ἀέρα τὴν παγίδα·

---

180. Ἡ λογικὴ πάντως ἀπάντηση δὲν εἶναι ἐφικτή· καὶ γι' αὐτὸ συμβου

Δέξου τα ὅλα μὲ τὴν πίστη.
Ἡ πίστη δὲν ἀμφιβάλλει,
δὲ διστάζει αὐτὴ καθόλου,
κι εἶναι ὅλα ὅπως σοῦ λέω.
Καθαρὰ σοῦ λέω τὰ πάντα.
Δὲν εἶναι ἀπὸ τὰ πάντα
ἡ δημιουργὸς τῶν ὅλων
θεία φύση καὶ σοφία,
οὔτε σὲ ὅλα (καὶ πῶς θά 'ναι
σὲ ὅλα αὐτὸ ποὺ δὲν ὑπάρχει
μὰ τῶν ὅλων αἴτιον εἶναι;).
Βρίσκεται παντοῦ καὶ σὲ ὅλα
καὶ γεμίζει ὅλα τὰ πάντα
κι ἡ οὐσία του καὶ ἡ φύση
καὶ ἡ ὑπόστασή του ἐπίσης.
Παντοῦ βέβαια ὁ Θεὸς ὑπάρχει
καὶ ζωὴν ὡς ζωὴ παρέχει.
Ποιό εἶν' αὐτὸ πού 'ρθε στὸν κόσμο
ποὺ δὲν τό 'φερεν ἐκεῖνος;
Σκέψου μὰ καὶ τὸ κουνούπι
καὶ τὸ δίχτυ τῆς ἀράχνης.
'Απὸ ποῦ εἶν' αὐτὴ ποὺ παίρνει
τόσο νῆμα; ἔλα λέγε·
ποὺ δὲ γνέθει ἀλλὰ ὑφαίνει
κάθε μέρα δίχως κόπο,
πιὸ σοφὴ ἀπὸ τοὺς ψαράδες
κι ἀπ' τοὺς πουλολόγους ὅλους,
ποὺ τοὺς σπάγγους της ἁπλώνει
κι ἀπὸ μακριὰ τοὺς δένει
καὶ στὸ τέλος μ' αὐτοὺς ὅλους
σὰν τὸ δίχτυ ὑφαίνει, στήνει
στὸν ἀέρα τὴν παγίδα;

ει· 'πίστει πάντα παραδέχου'. Ἔτσι οἱ ἀντιφάσεις δὲν διαλύονται ἀλλὰ συναιροῦνται.

καὶ αὐτὴ καθεζομένη
ἀπεκδέχεται τὴν θήραν,
εἴ πού ποθεν παρεμπέσαν
ἀλισθήσεται πτηνόν τι.
Ὁ οὖν μέχρι τούτων πάντων
τῇ προνοίᾳ συνδιήκων
πῶς οὐκ ἔστιν ἐν τοῖς πᾶσι,
πῶς οὐκ ἔστι μετὰ πάντων;
Ναί, τῶν πάντων μέσον ἔστι,
ναί, καὶ ἔξω πάντων ἔστιν,
ναί, καὶ φῶς αὐτὸς ὑπάρχει
νοητόν, ψυχὰς φωτίζον,
ναί, καὶ ἄδυτος ὑπάρχει
(ποῦ κρυβῇ πληρῶν τὰ πάντα;).
Εἰ δὲ σὺ τοῦτον οὐ βλέπεις,
γνῶθι σὲ τυφλὸν ὑπάρχειν
καὶ φωτὸς ἐν μέσῳ σκότους
ὅλον σε πεπληρωμένον.
Καθορᾶται γὰρ ἀξίοις·
οὐχ ὁρᾶται δὲ ὁ πλήρης,
ἀλλ' ὁρᾶται ἀοράτως,
ὡς ἀκτὶς ἡλίου μόνη,
καὶ ληπτὸς αὐτοῖς τυγχάνει,
ἄληπτος ὢν κατ' οὐσίαν.
Ἡ ἀκτὶς μὲν καθορᾶται,
ἥλιος τυφλοῖ δὲ μᾶλλον,
καὶ ἀκτὶς αὐτοῦ ληπτή σοι,
ὥσπερ εἴπομεν, ἀλήπτως.
Κατὰ τοῦτο τοίνυν λέγω·
ὅπερ ἔχω, τίς μοι δώσει;
Ὅλον τοῦτο δηλονότι
τίς, ὃ βλέπω, ὑποδείξει;

---

225. Ἐφ. 4,10.

243–245. Μὲ τὴν ἐρώτηση 'τίς ὃ βλέπω, ὑποδείξει', δίνεται νέα ἀφορμὴ νὰ

Κι ἡ ἴδια καθισμένη κάπου
περιμένει τὸ κυνήγι,
μὴ ἀπὸ κάπου ἐκεῖ ξεπέσει
καὶ πιαστεῖ κάποιο πουλάκι.
Πῶς λοιπὸν αὐτὸς ποὺ σπέρνει
σ' ὅλα αὐτὰ τὴν πρόνοιά του
πῶς δὲν εἶναι μέσα σὲ ὅλα,
πῶς μαζὶ μ' ὅλα δὲν εἶναι;
Ναί, στὴ μέση ὅλων εἶναι,
ναί, εἶναι κι ἔξω ἀπὸ τὰ πάντα,
ναί, καὶ φῶς νοητὸ εἶναι ἐκεῖνος
τὶς ψυχὲς ὁποὺ φωτίζει,
ναί, καὶ δύση αὐτὸς δὲν ἔχει
(νὰ κρυφτεῖ; ἀφοῦ εἶναι σ' ὅλα).
Τώρα ἐσὺ κι ἂν δὲν τὸν βλέπεις,
μάθε πὼς τυφλὸς ἐσύ 'σαι
κι ἀπὸ φῶς ὅλος γεμάτος
μὲς στὴν πήχτρα εἶσαι τοῦ σκότους.
Οἱ ἄξιοι μοναχὰ τὸν βλέπουν·
καὶ ὁρατὸς δὲν εἶναι ὁ τέλειος
ἀλλ' ἀόρατα τὸν βλέπουν,
σὰν μιὰ ἀκτίνα τοῦ ἥλιου μόνη·
κι ἔτσι αὐτοὶ τὸν ἐννοοῦν,
τὴν οὐσία του πῶς νὰ δοῦνε;
Φαίνεται ἡ ἀκτίνα μόνο,
μὰ τυφλώνει ὁ ἴδιος ὁ ἥλιος
κι ὁρατὴ ἡ ἀκτίνα του εἶναι
ὅπως εἴπαμε ἀλλ' ἀόρατα.
Σὲ ρωτῶ λοιπὸν γιὰ τοῦτο·
Ποιός ὅ,τι ἔχω θὰ μοῦ δώσει;
Ὅλο δηλαδὴ αὐτὸ ποὺ
βλέπω ποιός θὰ μοῦ δεῖξει;

συνεχιστεῖ ἡ ἀνάπτυξη τοῦ θέματος μὲ τὴν ἀναζήτηση τῆς πηγῆς τῶν ἀκτίνων. Βλέποντας τὴν ἀκτίνα ποθεῖ νὰ γνωρίσει τὸ γεννήτορά της.

Τὴν ἀκτῖνα καὶ γὰρ βλέπω,
τὸν δὲ ἥλιον οὐ βλέπω.–
Ἡ δ' ἀκτὶς οὐχ ἥλιός σοι
καὶ δοκεῖ καὶ καθορᾶται;–
Ταύτην βλέπων ὅλον βλέψαι
ποθῶ τὸν γεννήτορα·
οὕτω βλέπων λέγω πάλιν·
Τίς μοι δείξει, ὅνπερ βλέπω;
Τὰς ἀκτῖνας ἔχων αὖθις
ὅλας ἔνδον τῆς οἰκίας,
λέγω πάλιν· ποῦ εὑρήσω
τὴν πηγὴν τὴν τῶν ἀκτίνων;
Ἡ δ' ἀκτὶς πηγὴ δ' αὖ ἄλλη
ἐν ἐμοὶ σαφῶς ὑπάρχει·
ὢ θαῦμα ξένον!
Ἄνω ἥλιος ἐκλάμπει,
ἡ δ' ἀκτὶς ἡλίου αὖθις
ἄλλος ἥλιος ἐν γῇ μοι
φαίνεται καὶ καταυγάζει·
ὅμοιος ὄντως τοῦ πρώτου
καὶ ὁ δεύτερος ὑπάρχει.
Τοῦτον ἔχων λέγω ἔχειν,
τὸν δὲ ἄλλον μου μακρόθεν
καθορῶν ὡσαύτως κράζω·
Τίς μοι δώσει, ὅνπερ ἔχω;
Οὐ γὰρ τέτμηνται ἀλλήλων,
οὐ χωρίζονται δὲ ὅλως,
καὶ διΐστανται ἀφράστως.
Πρὸς τὸν ὅλον πόσον ἔχω;
Κόκκον ἕνα ἢ σπινθῆρα!
Καὶ ζητῶ λαβεῖν τὸ ὅλον,
εἰ καὶ ὅλον πάντως ἔχω.–
Πῶς τὸ ὅλον, τί μοι λέγεις;

---

275. Τὸ ἐρώτημα μεταβάλλεται καὶ συγκεκριμενοποιεῖται· πῶς θὰ δεῖ τι

Τὴν ἀκτίνα, ναί, τὴ βλέπω,
ἀλλὰ πῶς νὰ δῶ τὸν ἥλιο;
–Μὰ σὰν ἥλιο τὴν ἀκτίνα
νομίζεις καὶ δὲ βλέπεις.
–Σὰν τὴ βλέπω ὅλο ἐκεῖνον–
νὰ δῶ θέλω ποὺ τὴ στέλνει.
Ἔτσι βλέπω καὶ σοῦ λέγω.
Ποιός μοῦ δείχνει ὅποιον βλέπω;
Κι ὅταν πάλι τὶς ἀκτίνες
ἔχω μὲς στὸ σπίτι μου ὅλες,
ποῦ θὰ βρῶ, σοῦ λέγω πάλι,
τὴν ἀνάβρα τῶν ἀκτίνων;
Κι ἡ ἀκτίνα ἄλλη πηγὴ
γίνεται πάλι σ' ἐμένα.
Ὢ ἀκατανόητο θαῦμα!
Λάμπει ἐκεῖ ψηλὰ ὁ ἥλιος
κι ἡ ἀκτίνα τοῦ ἥλιου πάλι
ἄλλος ἥλιος ἀνατέλλει
στὴ γῆ μου ἐδῶ καὶ καταυγάζει.
Ὅμοιος μὲ τὸν πρῶτον ἥλιο
κι ὁ δεύτερος εἶναι ἀλήθεια.
Ἔχω αὐτὸν καὶ λέω πὼς ἔχω
καὶ τὸν ἄλλο ἥλιο μακριάθε
βλέποντας τὸ ἴδιο φωνάζω!
Ποιός ὅ,τι ἔχω θὰ μοῦ δώσει;
Δὲ διαιροῦνται μεταξύ τους
καὶ καθόλου δὲ χωρίζουν,
πῶς νὰ πεῖς τὴ διάστασή τους;
Πόσο ἔχω ἀπ' τὸν ὅλο ἥλιον;
ἕνα κόκκο ἢ καὶ μιὰ σπίθα!
Κι ὅλο νὰ τὸν πάρω θέλω
ἂν καὶ βέβαια ὅλο τὸν ἔχω
–Πῶς μοῦ λές, τὸν ἔχεις ὅλο;

ιν, γιατὶ τὸ μέρος, ἡ ἀκτίνα, δὲν τὸν ἱκανοποιεῖ.

Ὡς πρὸς ἄφρονας προσπαίζεις·
παῦσαι παίζειν με, μὴ λέγε·
οὔ, ἀλλὰ τὸ ὅλον ἔχω,
εἰ μηδὲν μηδόλως ἔχω!
Πῶς ἢ τί λαλεῖς; θαυμάζω—
Ἄκουσον καὶ πάλιν λέξω·
Πέλαγός μοι νόει μέγα
καὶ θαλάσσας θαλασσῶν τε,
ἄβυσσον ἀβύσσων πάλιν
κατὰ νοῦν ὑποζωγράφει!
Εἰ οὖν ἵστασαι πρὸς τούτοις,
τῇ ἀκτῇ τῶν θαλασσίων,
πάντως ἂν καλῶς μοι εἴποις
καθορᾶν τὸ ὕδωρ ἄρα,
καὶ μὴ βλέπων ὅλον ὅλως.
Τὸ γὰρ ὅλον, πῶς θεάσῃ,
ἄπειρον τοῖς ὀφθαλμοῖς σου ὂν
καὶ ταῖς χερσί σου ἄσχετον;
Πάντως, ὅσον βλέπεις, βλέπεις·
εἰ δὲ ἔροιτό σέ τις δή·
Βλέπεις ὅλας τὰς θαλάσσας;
Οὐδαμῶς, ἀποκριθήσῃ.
Πάσας δὲ κρατεῖς παλάμῃ;
Οὔ, λέξεις, πῶς γὰρ ἰσχύω;
Εἰ δὲ ἔροιτό σε πάλιν·
Οὐδὲ ὅλως ταύτας βλέπεις;
λέγεις· Ναί, μικρόν τι βλέπω
καὶ κρατῶ θαλάσσης ὕδωρ.
Ὅσα οὖν τὴν χεῖρα ἔχεις
ἐν τοῖς ὕδασι κρατοῦσαν,
ὅλας ἔχεις τὰς ἀβύσσους
συνημμένας τῇ χειρί σου

---

281. Ἡ ἀπάντηση στὴν ἀπαίτηση αὐτὴ εἶναι ἐλαφρὰ εἰρωνική, συγκαταβα-

Μὴ μιλᾶς ὅπως σ' ἀνόητους.
Πάψε νὰ γελᾶς μαζί μου.
Μὰ μοῦ λὲς 'τὸν ἔχω ἀκέριο'
ἂν δὲν ἔχω ψίχουλό του.
Πῶς ἢ τί μοῦ λές; θαυμάζω
–Πάλι νὰ σοῦ πῶ, ἄκουσέ με.
Πέλαγο ἀχανὲς φαντάσου,
θαλασσῶν θάλλασες πέρα
κι ἄβυσσον ἀβύσσου πάλι
ἀχνοδιάγραψε στὸ νοῦ σου!
Κι ἂν σταθεῖς ἐκεῖ στὴν ἄκρη
ὅπου ἡ θάλασσα ξεσπάει,
θὰ μοῦ πεῖς μὲ κάθε δίκαιο
τὸ νερὸ πὼς βλέπεις βέβαια
κι ὅλο ὡς πέρα ἂς μὴν τὸ βλέπεις.
Πῶς θὰ δεῖς τὸ σύνολό του
πού 'ναι ἀπέραντο στὰ μάτια
καὶ στὰ χέρια σου ἄπιαστο εἶναι;
Ὅσο βλέπεις, βλέπεις βέβαια,
κι ἂν κανένας σὲ ρωτήσει:
Βλέπεις τὶς θάλασσες ὅλες;
Θὰ τοῦ ἀποκριθεῖς, καθόλου.
Μὲς στὴ φούχτα ὅλες τὶς ἔχεις;
'Ὄχι, πῶς μπορῶ', θὰ πεῖς.
Κι ὅταν σὲ ξαναρωτοῦσε·
Τίποτε ἀπ' αὐτὲς δὲ βλέπεις;
Κάτι λίγο, θὰ πεῖς, βλέπω
καὶ κρατῶ νερὸ θαλάσσιο.
Ὅσο λοιπὸν βουτηγμένο
στὰ νερὰ τὸ χέρι σου ἔχεις
ὅλες ἔχεις τὶς ἀβύσσους
μὲ τὸ χέρι σου ἑνωμένες

τικὴ θὰ ἔλεγα. Εἶναι δυνατὸ νὰ ἔχεις ὅλα τὰ πελάγη καὶ ὅλες τὶς ἀβύσσους; Ἀρκέσου στὴ σταγόνα.

(οὐ γὰρ τέτμηνται ἀλλήλων)
καὶ οὐ πάσας, ἀλλ' ὀλίγον.
Πρὸς οὖν πάσας, πόσον ἔχεις;
Ὡς ρανίδα μίαν, εἴπεις.
Τὰς δὲ πάσας σὺ οὐκ ἔχεις,
καίτοι συνημμένας ἔχεις.
Οὕτω γοῦν κἀγώ σοι λέγω,
ὅτι ἔχων οὐδὲν ἔχω
καὶ πτωχός εἰμι καὶ πλοῦτον
ἀποκείμενον ὁρῶ μοι.
Ὅτε χορτασθῶ, λιμάσσω,
ὅτε δὲ πένομαι, πλουτῶ,
ὅτε πίνω, καὶ διψῶ.
Καὶ γλυκὺ τὸ πόμα λίαν·
μίαν γεῦσις πᾶσαν δίψαν
μυριάδων καταπαύει,
καὶ διψῶ ἀεὶ τοῦ πίνειν
ὑπὲρ κόρον πάντως πίνων.
Σχεῖν ἐπιθυμῶ τὸ ὅλον
καὶ πιεῖν, εἰ οἷόν τε,
πάσας τὰς ἀβύσσους ἅμα·
ἀδυνάτου τούτου ὄντος
πάντοτε διψεῖν σοι λέγω,
καίπερ ἐν τῷ στόματί μου
πάντοτε τὸ ὕδωρ ἔστι
ρέον, βλύζον, περικλύζον.
Ἀλλὰ βλέπων τὰς ἀβύσσους
οὐ δοκῶ τι πίνειν ὅλως·
σχεῖν ἐπιθυμῶν τὸ ὅλον,
πλουσίως τε πάλιν ἔχων
ὅλον ὅλως ἐν χειρί μου,
πάντοτε πτωχὸς ὑπάρχω,
μετὰ τοῦ μικροῦ τὸ ὅλον
συνημμένον πάντως ἔχων.

(δὲ χωρίζει ἡ μιὰ ἀπ' τὴν ἄλλη)
κι ὅλες ὄχι, λίγο μόνο.
Πόσο λίγο ἐμπρὸς σὲ ὅλες;
Θὰ πεῖς μόνο μιὰ σταγόνα.
Ὅλες βέβαια δὲν τὶς ἔχεις
κι ἂς ἑνώνονται μ' ἐσένα.
Λοιπὸν ὅμοια σοῦ λέω κι ἐγώ,
μόλο ποὺ ἔχω πὼς δὲν ἔχω
καὶ φτωχὸς εἶμαι καὶ πλούτη
βλέπω νὰ μὲ περιμένουν.
Ὅταν κορεστῶ, λιμάζω,
πλούσιος εἶμαι ὅταν στεροῦμαι
κι ὅταν πίνω, διψασμένος·
τὸ ποτὸ γλυκύτατο εἶναι·
μιὰ γουλιὰ μόνο τὴ δίψα
ὅλη χίλιων μύριων σβήνει·
καὶ διψῶ πάντα νὰ πίνω,
ἐνῶ πίνω κατὰ κόρον.
Ὅλο ἐπιθυμῶ νὰ τό 'χω
καὶ νὰ πιῶ, ἂν μπορεῖ νὰ γίνει,
μαζὶ ὅλες τὶς ἀβύσσους.
Κι ὡς ἀδύνατο εἶναι τοῦτο,
πάντα πὼς διψῶ σοῦ λέω,
μόλο ποὺ στὸ στόμα μέσα
τὸ νερὸ πάντοτε ὑπάρχει,
ἀναβρεῖ, κυλάει, πλημμύρα.
Μὰ κοιτώντας τὶς ἀβύσσους
λέω καθόλου πὼς δὲν πίνω
τὸ ὅλο ἐπιθυμώντας νά 'χω·
Κι ὅταν πάλι πλούσια τό 'χω
ὅλο ξέχειλο στὰ χέρια,
πάντα μένω ἕνας φτωχὸς
ποὺ τὸ ὅλο μὲ τὸ λίγο
τὸ ἔχω ὡστόσο ἑνωμένο.

Θάλασσα οὖν τῇ σταγόνι,
ἄβυσσοι δὲ πάλιν ταύτῃ
τῶν ἀβύσσων συνημμέναι·
μίαν οὖν σταγόνα ἔχων
συνημμένας πάσας ἔχω.
Ἡ σταγὼν δὲ πάλιν αὕτη,
ἥνπερ λέγω σοι κεκτῆσθαι,
ἄτμητος ὑπάρχει ὅλη,
ἀναφής, ἄληπτος πάντῃ,
ἀπερίγραπτος ὡσαύτως,
δυσθεώρητος εἰς ἅπαν,
ἣ Θεὸς ὅλος ὑπάρχει!
Εἰ οὖν οὕτω καὶ τοιαύτη
ἔστι μοι ρανὶς ἡ θεία,
ὅλως ἔχειν τί δοκήσω;
Ὄντως ἔχων οὐδὲν ἔχω.
Ἄλλως πάλιν σοι ταῦτα λέξω·
Ἥλιος ἀφ' ὕψους λάμπει
ἐπιβαίνων ταῖς ἀκτῖσι·
μᾶλλον δὲ κρατῶ ἀκτῖνα,
ἀναβαίνω τρέχων ἄνω
πλησιάσαι τῷ ἡλίῳ.
Ὅτε δὲ καλῶς ἐγγίσω
καὶ δοκήσω τοῦ προσψαῦσαι,
διαφεύγει μου τὰς χεῖρας
ἡ ἀκτὶς κ' εὐθὺς τυφλοῦμαι
καὶ ἐκπίπτω ἀμφοτέρων,
τοῦ ἡλίου καὶ ἀκτίνων.
Ἀπὸ ὕψους οὖν ἐκπίπτω,
κάθημαι καὶ πάλιν κλαίω
καὶ ζητῶ τὴν πρὶν ἀκτῖνα.
Οὕτως οὖν ἔχοντός μου,
τῆς νυκτὸς ὅλον τὸν ζόφον
αὕτη διασχίσασά μοι

Θάλασσα μὲ τὴ σταγόνα
κι ἄβυσσοι πάλι ἑνωμένες
μὲ τὴν ἄβυσσο τὴ μία·
ἂν λοιπὸν ἔχω μιὰ στάλα,
τὶς ἔχω μαζί της ὅλες.
Κι ἡ σταγόνα πάλι τούτη,
ποὺ σοῦ λέγω ὅτι κατέχω,
εἶναι ἀδιαίρετη καὶ μένει
ἀψηλάφητη κι ἀσύλληπτη
κι ἀπεριόριστη εἶναι ἐπίσης,
δυσθεώρητη γιὰ πάντα,
εἶναι αὐτὴ ὁ Θεὸς ἀκέριος.
Ἂν λοιπὸν τέτοια γιὰ μένα
εἶναι ἡ θεϊκὴ σταγόνα,
τί πὼς ἔχω νὰ νομίσω;
Ἔχοντας δὲν ἔχω, ἀλήθεια.
Σοῦ τὰ ξαναλέω ἀλλιῶς.
Ὁ ἥλιος λάμπει ἀπὸ τὰ ὕψη
ρίχνοντάς μας τὶς ἀκτίνες·
ἢ κρατώντας μιὰν ἀκτίνα
τρέχοντας ψηλὰ ἀνεβαίνω
νὰ ζυγώσω ἐκεῖ τὸν ἥλιο.
Κι ὅταν πάω πολὺ κοντά του
καὶ θαρρῶ πὼς τὸν ἀγγίζω,
φεύγει μου ἀπ' τὰ χέρια ἡ ἀκτίνα
καὶ τυφλώνομαι ἀμέσως,
χάνω καὶ τὰ δυὸ μὲ μία,
τὶς ἀκτῖνες καὶ τὸν ἥλιο.
Πέφτοντας ἀπὸ τὰ ὕψη
κάθομαι καὶ κλαίω καὶ πάλι
τὴν ἀκτίνα ἀναζητώντας
ποὺ εἶχα· καὶ στὸ κλάμα ἐπάνω
τῆς νυχτὸς ὅλο τὸ ζόφο
διασχίζοντας ἡ ἀκτίνα

ὡς σχοινίον ἀπὸ ὕψους
οὐρανίου καταβαίνει.
Δράσσομαι συντόμως ταύτης,
ὡς ληπτὴν σφίγγω κρατῆσαι,
καὶ ἀκράτητος ὑπάρχει·
ὅμως δὲ ἀλήπτως ταύτην
καὶ κρατῶ καὶ ἀναβαίνω.
Οὕτως οὖν ἀνερχομένῳ
συνανέρχονται ἀκτῖνες,
τοὺς οὐρανοὺς ὑπερβαίνω,
οὐρανῶν τοὺς οὐρανούς τε,
βλέπω ἥλιον δὲ πάλιν
ὑπὲρ τούτων ἀνωτέρω.
Εἴτε φεύγει, οὐ γινώσκω,
εἴτε ἵσταται, οὐκ οἶδα·
τέως βαίνω, τέως τρέχω,
τέως φθάσαι οὐκ ἰσχύω.
Ὕψους ὑπερβαίνων δ' ὕψη,
ὑπὲρ ὕψωμά τε ἅπαν
γενομένῳ μοι, ὡς δοκῶ,
ἐκ χειρῶν μου αἱ ἀκτῖνες
σὺν ἡλίῳ ἀφαντοῦνται
καὶ εὐθὺς εἰς ᾅδου πτῶμα
καταφέρομαι, ὁ τάλας.
Τοῦτο ἔργον, τοῦτο πρᾶξις
τοῖς πνευματικοῖς ὑπάρχει·
ἄνω κάτω, κάτω ἄνω
ἄπαυστος αὐτοῖς ὁ δρόμος.
Ὅταν πέσῃ, τότε τρέχει,
ὅταν τρέχῃ, ἵσταται δέ.
Ὅλος κάτω κεκλιμένος,
ὅλος ὢν ἄνω τυγχάνει·
περιπολῶν οὐρανοὺς δὲ
ἐμπεδοῦται πάλιν κάτω

σὰν σχοινὶ ἀπὸ τὰ ὕψη
τὰ οὐράνια κατεβαίνει.
Τὴν ἁρπάζω ἐγὼ μὲ βία,
τὴν κρατῶ σὰ νὰ κρατιέται,
μὰ ἂς τὴ σφίγγω, αὐτὴ ξεφεύγει·
καὶ χωρὶς νὰ τὴν κρατάω
τὴν κρατάω καὶ ἀνεβαίνω.
Λοιπὸν ἔτσι ὡς ἀνεβαίνω
ἔρχονται μαζὶ κι οἱ ἀκτίνες·
βγαίνω πάνω ἀπ' τὰ οὐράνια
κι οὐρανοὺς τῶν οὐρανῶν
καὶ τὸν ἥλιο βλέπω πάλι
πιὸ ψηλὰ ἀπ' ὅλους τούτους.
Μὰ εἴτε φεύγει δὲ γνωρίζω
εἴτε στέκεται ἄγνωστό μου·
ὅσο προχωρῶ καὶ τρέχω
δὲν μπορῶ νὰ τὴν προφτάσω.
Ὕψη καὶ ὕψη ξεπερνώντας
κι ἀπὸ κάθε ὕψος πάνω
φτάνοντας καθὼς νομίζω
ἀπ' τὰ χέρια μου οἱ ἀκτίνες
χάνονται μαζὶ κι ὁ ἥλιος
καὶ γκρεμίζομαι ὁ καημένος
στὸ γκρεμὸ μὲ μιὰ τοῦ ἅδη.
Τοῦτο τὸ ἔργο εἶναι κι ἡ πράξη
ὅσων διεκδικοῦν τὸ Πνεῦμα:
ἄνω κάτω, κάτω ἄνω,
ἕνας δρόμος δίχως τέλος.
Ὅταν πέσει τότε τρέχει,
σταματᾶ ὅμως ὅταν τρέχει.
Ὅλος καταγῆς πεσμένος
ὅλος βρίσκεται στὰ οὐράνια
καὶ στὰ οὐράνια περπατώντας
νάτος καταγῆς πεσμένος

καὶ ἀρχὴ τοῦ δρόμου τέλος,
τὸ δὲ τέλος ἀρχὴ πέλει.
Ἀτελὴς ἡ τελειότης,
ἡ δ' ἀρχή γε πάλιν τέλος·
τέλος πῶς; Ὡς Γρηγόριος
θεολογικῶς εἰρήκει·
Ἔλλαμψις ὑπάρχει
τέλος τῶν ποθούντων πάντων,
καὶ ἀνάπαυσις ἁπάσης
θεωρίας φῶς τὸ θεῖον.–
Τοῦτο οὖν ἰδεῖν ὁ φθάσας
ἀπὸ πάντων καταπαύει
καὶ χωρίζεται κτισμάτων·
τὸν γὰρ κτίστην τούτων βλέπει.
Ὃν ὁ βλέπων ἔξω πάντων
μετὰ μόνου μόνος ἔστι
καὶ οὐδὲν τῶν πάντων βλέπει
ὁρατῶν ἢ νοουμένων·
μόνην τὴν Τριάδα βλέπει.
Τὰ δ' ἐν ταύτῃ σιωπάσθω,
ἀμυδρῶς καὶ γὰρ ὁρῶνται,
καὶ ποσῶς κατανοοῦνται.
Κατεπλάγης οὖν ἀκούσας
τὰ ἐντὸς τῶν ὁρωμένων;
Εἰ δὲ κατεπλάγης ταῦτα,
πῶς οὐ μυθολόγος δόξω
τὰ ἐκτὸς διατρανῶν σοι;
Ἀνεκλάλητα γὰρ πάντῃ
καὶ ἀνέκφραστα τὰ θεῖα
καὶ τὰ ἐν αὐτοῖς εἰς ἅπαν,
κἂν ὁ λόγος πως ἐκ πόθου

438–9, 519–20. Σημειώνω τοὺς στίχους αὐτούς, ποὺ εἶναι ἡ ἀπάντηση στὸ βασανιστικὸ ἐρώτημα σχετικὰ μὲ τὴ θέση τῆς θεότητας μέσα στὸν κόσμο ἢ ἔξω

κι εἶναι ἡ ἀρχὴ τοῦ δρόμου τέλος
κι ἀρχὴ γίνεται τὸ τέλος.
Ἡ τελείωση δίχως τέλος
μὰ κι ἡ ἀρχὴ εἶναι πάλι τέλος.
Τέλος πῶς; Ὅπως μᾶς εἶπε
ὁ Γρηγόριος θεολογῶντας
εἶναι ἡ ἔλλαμψη τὸ τέλος
γιὰ ὅσους καίγονται ἀπ' τὸν πόθο,
κι εἶναι ἡ ἀνάπαυση ἀπὸ κάθε
θεωρία τὸ φῶς τὸ θεῖο.
Ὅποιος νὰ τὸ δεῖ ἔχει φτάσει
σταματᾶ ἀπὸ κάθε ἔργο
καὶ χωρίζεται ἀπ' τὰ κτίσματα·
βλέπει πιὰ τὸ δημιουργό τους.
Κι ἔξω ἀπὸ ὅλα, ὅποιος τὸν βλέπει
εἶναι μόνος μ' αὐτὸν μόνο,
δὲ θωρεῖ ἀπ' τὰ πάντα οὔτε ἕνα
τὰ ὁρατὰ ἢ ὅσα νοοῦμε·
βλέπει τὴν Τριάδα μόνη.
Μὰ ἂς σωπάσομε πῶς εἶναι·
τὴ θωροῦμε ἀχνὰ καὶ μόλις
καὶ τὴν ἐννοοῦμε λίγο.
Σάστισες λοιπὸν ἀκούοντας
στὰ ὁρατά, ὅσα εἶναι μέσα;
Μὰ ἂν ξαφνιάστηκες μὲ τοῦτα,
πῶς δὲ θὰ λογιάσεις μύθους
ἂν σοῦ πῶ ὅσα εἶν' ἀπ' ἔξω;
Εἶναι ἀνείπωτα μὲ ὅποιο
τρόπο, ἀνέκφραστα τὰ θεῖα
κι ὅσα τοῦτα περιέχουν.
Κι ἂν ὁ πόθος μας τὸ λόγο

ἀπὸ αὐτόν. Ἂν περιμέναμε μιὰ ἀπάντηση βάση τῆς λογικῆς τότε βέβαια αὐτὰ δὲν ἀποτελοῦν ἀπάντηση.

ἐκβιάζεται τοῦ λέγειν
περὶ πραγμάτων θείων καὶ ἀνθρωπίνων.
Ἀλλ' ἐάσας οὖν τὰ θεῖα
καὶ εἰπών τι τῶν ἰδίων
ὑποδείξω σοι τῷ λόγῳ
τὴν ὁδὸν καὶ καταπαύσω.
Γνῶθί σε διττὸν ὑπάρχειν
καὶ διττοὺς ἔχειν τοὺς ὦπας,
αἰσθητοὺς καὶ νοερούς τε,
ὡς διττῶν ἡλίων ὄντων
καὶ διττοῦ φωτὸς ὡσαύτως,
αἰσθητοῦ καὶ νοητοῦ τε,
οὓς εἰ βλέπεις, ὡς ἐκτίσθης
κατ' ἀρχὰς ἄνθρωπος ἔσῃ.
Εἰ δὲ αἰσθητὸν μὲν βλέπεις,
νοητὸν οὐδαμῶς δὲ ἥλιον,
ἡμιθνὴς τυγχάνεις πάντως,
ὁ ἡμιθνὴς δὲ καὶ νεκρός,
ἀνενέργητος εἰς πάντα.
Εἰ γὰρ ὁ αἰσθητῶς μὴ βλέπων
ἀνενέργητός τις ἔστι,
πόσῳ μᾶλλον ὁ μὴ βλέπων
τὸ νοητὸν φῶς τοῦ κόσμου
νεκρός ἐστι καὶ νεκροῦ πλέον;
Ὁ νεκρὸς ἀναισθητεῖ γε,
ὁ δὲ θνήξας ἐν αἰσθήσει,
ὅσην ἕξει τὴν ὀδύνην,
μᾶλλον δ' ἔσεται ὡς θνήσκων
ἐνωδύνως εἰς αἰῶνας.
Οἱ δὲ βλέποντες τὸν κτίστην
πῶς οὐ ζῶσιν ἔξω πάντων;
Ναί, τῶν πάντων ἔξω ζῶσι

---

458. Λουκᾶ 10,31.

ἀναγκάζει νὰ μιλήσει
γιὰ πράγματα θεϊκὰ καὶ γιὰ ἀνθρώπινα.
Ἀλλὰ ἀφήνοντας τὰ θεῖα
θὰ πῶ κάτι ἀπ' τὰ δικά μας·
μὲ τὸ λόγο μου τὸ δρόμο
ἀφοῦ σοῦ δείξω, θὰ σωπάσω.
Μάθε ὅτι διττὸς ἐσύ 'σαι
καὶ πὼς ἔχεις μάτια δύο,
αἰσθητὰ καὶ νοερά,
ἀφοῦ ὑπάρχουν δύο ἥλιοι
(μὰ καὶ φῶς διπλὸ ἐπίσης,
τὸ αἰσθητὸ καὶ τὸ νοητό),
ποὺ ἂν καὶ βλέπεις, ὅπως πλάστηκες
στὴν ἀρχή, ἄνθρωπος θὰ εἶσαι.
Μ' ἂν τὸν αἰσθητὸ ἥλιο βλέπεις
καὶ τὸ νοητὸ καθόλου,
εἶσαι ὁ μισοπεθαμένος
ποὺ μὲ τὸ νεκρὸ εἶναι ἴδιος,
ἀφοῦ τίποτα δὲν κάνει.
Κι ὅποιος αἰσθητὰ ἂν δὲ βλέπει
εἶναι κάποιος δίχως πράξεις,
πόσο ἐκεῖνος ποὺ δὲ βλέπει
τὸ νοητὸ τὸ φῶς τοῦ κόσμου
πιὸ νεκρὸς κι ἀπ' τὸ νεκρὸ εἶναι;
Τίποτε ὁ νεκρὸς δὲ νιώθει,
μὰ ὅποιος πέθανε καὶ νιώθει,
θὰ ἔχει ἀπέραντην ὀδύνη
ἢ ἀκόμα ὡς νὰ πεθαίνει
στὸν αἰώνα μὲ πόνους θά 'ναι.
Μὰ ὅσοι βλέπουνε τὸν κτίστη
πῶς δὲν ζοῦνε ἔξω ἀπ' ὅλα;
Βέβαια ἔξω ἀπ' ὅλα ζοῦνε

464. Ἰω. 8,12.

καὶ εἰσὶ τῶν πάντων μέσον
καὶ ὁρῶνται ὑπὸ πάντων,
οὐχ ὁρῶνται δὲ τοῖς πᾶσιν
ἐν αἰσθήσει τῶν παρόντων·
μέσον μέν εἰσι τῶν πάντων,
ὑπὲρ αἴσθησιν δὲ τούτων
ἔξω γίνονται τῶν πάντων,
τοῖς ἀΰλοις συναφθέντες
αἰσθητῶν ἀναισθητοῦσιν.
Ὀφθαλμοὶ καὶ γὰρ ὁρῶσιν
ἐν αἰσθήσει δ' ἀναισθήτῳ.
Πῶς; εἰπέ μοι. –Λέξω τάχος·
Ὡς ὁρῶν τὸ πῦρ οὐ καίῃ,
οὕτω βλέπω ἀναισθήτως.
Σὺ τὸ πῦρ ὁρᾷς, ὁποῖον,
καὶ τὴν φλόγα πάντως βλέπεις,
οὐκ αἰσθάνῃ δὲ ὀδύνης,
ἀλλ' ὑπάρχεις ἔξω τούτου
καὶ ὁρῶν οὐ κατακαίῃ
ἀναισθήτως ἐν αἰσθήσει,
ἢ πῶς ἄλλως τοῦτο εἴπῃς;
Οὐ γὰρ καίῃ ἀναισθήτως,
ἐν αἰσθήσει δ' ὅμως βλέπεις.
Τὸ αὐτό μοι νόει πάσχειν
καὶ τὸν ὁρῶντα πνευματικῶς·
νοῦς γὰρ καθορῶν τὰ πάντα
ἀπαθῶς καὶ διακρίνει,
οἷον βλέπει κάλλος ὡραῖον,
ἀλλ' ἐκτὸς ἐπιθυμίας.
Τὸ οὖν πῦρ ἐστι τὸ κάλλος,
ἡ ἀφὴ ἐπιθυμία·
εἰ μὴ σὺ τοῦ πυρὸς ἅψῃ,
πῶς ὀδύνης αἰσθανθήσῃ;
Οὐδαμῶς! Ὁ νοῦς δὲ πάλιν,

καὶ εἶναι μὲς στὴ μέση ὅλων
κι ὅλα τ' ἄλλα τοὺς θωροῦνε,
μὰ ὁρατοὶ δὲν εἶναι ἀπ' ὅλους
νάχουν αἴσθηση τῶν γύρω.
Εἶναι μὲς στὴ μέση ὅλων
μὰ δὲν ἔχουν αἴσθησή τους,
ἔξω βγαίνουνε ἀπὸ ὅλα·
ἑνωμένοι μὲ τὰ ἄυλα
τίποτε αἰσθητὸ δὲ νιώθουν.
Ναί, τὰ μάτια τους κοιτάζουν
μ' ἕνα βλέμμα ἀναίσθητο ὅμως.
–Πές μου, πῶς; –Σοῦ λέω ἀμέσως.
Δὲν μὲ καίει ἡ φωτιὰ ποὺ βλέπω,
ἀσυναίσθητα ἔτσι βλέπω.
Ἐσὺ τὴ φωτιὰ τὴ βλέπεις
ὅπως βλέπεις καὶ τὴ φλόγα,
δὲν αἰσθάνεσαι ὅμως πόνο,
ἀλλὰ εἶσαι ἔξω ἀπ' τὴ φλόγα
καὶ δὲν καίγεσαι θωρώντας
κι ἐνῶ αἰσθάνεσαι δὲ νιώθεις·
πῶς ἀλλιῶς νὰ πεῖς τὸ πράγμα;
Ναί, ἀναίσθητα δὲν καίεσαι,
κάποια σου αἴσθηση ὅμως βλέπει.
Τὸ ἴδιο σκέψου ὅτι συμβαίνει
σ' ὅποιον νοερὰ κοιτάζει·
γιατὶ ὁ νοῦς θωρώντας ὅλα
τὰ διακρίνει δίχως πάθος,
ὅπως πάγκαλο ἕνα βλέπει
μὰ χωρὶς ἐπιθυμία·
ἡ φωτιὰ τὸ πάγκαλο εἶναι
καὶ ἡ ἀφὴ ἡ ἐπιθυμία.
Τὴ φωτιὰ ἂν δὲν τὴν ἀγγίξεις
πῶς θὰ αἰσθανθεῖς τὸ πόνο;
Εἶναι ἀδύνατο· κι ὁ νοῦς μας

πρὶν κακῶς ἐπιθυμήσει,
τὸν χρυσὸν ὁρῶν ὡσαύτως
ὡς πηλὸν προσβλέψει πάντως,
τὴν δὲ δόξαν οὐχ ὡς δόξαν,
ἀλλ' ὡς εἶδος φαντασμάτων
εἰς ἀέρα φαινομένων,
καὶ τὸν πλοῦτον ὥσπερ ξύλα
λογιεῖται ἐν ἐρήμῳ
κατακείμενα στιβάδα.
Τί τὰ πάντα ἐξηγεῖσθαι,
ἑρμηνεύειν τε πειρῶμαι;
Εἰ μὴ πείρᾳ καταλάβοις,
γνῶναι ταῦτα οὐκ ἰσχύεις!
Ἀπορῶν δὲ γνῶναι φήσεις·
Οἴμοι, πῶς οὐκ οἶδα ταῦτα,
οἴμοι, πόσον ἀπολείπω
τῶν καλῶν ἐν ἀγνωσίᾳ!
καὶ σπουδάσεις ταῦτα γνῶναι,
ἵνα γνωστικὸς καλῇ γε.
Εἰ γὰρ σεαυτὸν οὐκ οἶδας,
ποταπὸς εἶ, ποῖος πέλεις,
πῶς τὸν κτίστην ἐπιγνώσῃ,
πῶς πιστὸς ὀνομασθήσῃ,
πῶς δὲ ἄνθρωπος κληθήσῃ
βοῦς ὑπάρχων ἢ θηρίον;
Ἢ ὡς ἄλογόν τι ζῷον
ἢ καὶ χείρων τούτων ἔσῃ
ἀγνοῶν τὸν κτίσαντά σε.
Τίς ἐκεῖνον μὴ γινώσκων
λογικὸς εἰπεῖν τολμήσει,
ὅτι ἔστιν; Οὐ γὰρ ἔστι!
Πῶς γάρ, ὡς ἐστέρηται τοῦ λόγου;
Ὁ δ' ἐστερημένος λόγου

πρὶν ἄπρεπα ἐπιθυμήσει,
ὅμοια καὶ χρυσάφι ἂν βλέπει
σὰν πηλὸ θὰ τὸ κοιτάξει·
καὶ τὴ δόξα ὄχι σὰν δόξα,
μὰ σὰν κάποιες φαντασίες
ποὺ πλανιοῦνται στὸν ἀέρα·
καὶ τὰ πλούτη σὰν τὰ ξύλα
θὰ τὰ δεῖ πού 'ναι ριγμένα
μὲς στὴν ἐρημιὰ σωρός.
Γιατί σοῦ ἐξηγῶ ὅλ' αὐτὰ
καὶ νὰ τὰ ἑρμηνέψω θέλω;
Ἂν δὲ σοῦ τὰ μάθει ἡ πείρα
νὰ τὰ νιώσεις εἶναι ἀδύνατο.
Μὴ μπορώντας νὰ τὰ μάθεις,
ὠιμέ, θὰ πεῖς, πῶς δὲν τὰ ξέρω
ὠιμὲ πόσο ἡ ἄγνοιά μου
μακριὰ ἀπ' τὰ ὡραῖα μ' ἀφήνει;
Καὶ θὰ σπεύσεις νὰ τὰ μάθεις,
γνωστικὸ γιὰ νὰ σὲ λένε.
Ἂν ἀγνοεῖς τὸν ἑαυτό σου,
ποιός εἶσαι καὶ ποιός θὰ γίνεις,
πῶς τὸν κτίστη σου θὰ μάθεις,
πῶς πιστὸς θὰ ὀνομαστεῖς
κι ἀνθρώπου ὄνομα θὰ πάρεις,
βόδι ἀφοῦ εἶσαι ἢ καὶ θηρίο;
Ἢ κι ἄλογο ζῶο ἀκόμα καὶ χειρότερο ἀπὸ τοῦτα,
ἀφοῦ τὸν κτίστη σου δὲν ξέρεις;
Ποιός ποὺ ἐκεῖνον δὲ γνωρίζει
λογικὸς νὰ πεῖ πὼς εἶναι
θὰ τολμήσει; Ἀφοῦ δὲν εἶναι.
Πῶς, ἀφοῦ τοῦ λείπει ὁ λόγος;
Καὶ τὸ λόγο ὅποιος στερεῖται

510. Ζαχ. 9,3.
534–535. Ἠσ. 1,3.

εἰς ἀλόγου ἔστι τάξιν,
ποιμανθεῖς δὲ ὑπ' ἀνθρώπων
πάντως ἔσται σεσωσμένος·
εἰ δ' οὐ βούλεται, ἀλλ' ὄρει
καὶ φαράγγοις προσπελάζει,
βρῶμα ἔσεται θηρίων
ὡς ἀπολωλὸς ἀρνίον.
Ταῦτα πρᾶττε καὶ μελέτα,
μὴ παραρρυῇς, τεκνίον!

μπαίνει στὴ σειρὰ τοῦ ἀλόγου,
μ' ἂν ὁδηγηθεῖ ἀπ' ἀνθρώπους
θὰ σωθεῖ τὸ δίχως ἄλλο.
Κι ἂν δὲ θέλει μὰ πλανιέται
στὰ βουνὰ καὶ στὰ φαράγγια,
βορὰ τῶν θηρίων θὰ γίνει
σὰν ἀρνὶ ποὺ ἔχει χαθεῖ.
Κάνε αὐτὰ κι αὐτὰ μελέτα,
μὴν παρεκτραπεῖς, παιδί μου.

---

546. Ἰεζ. 34,5.
547. Λουκᾶ 15,6.

ΚΔ

Δι' ὧν ἐξομολογούμενος ἐν τῷ παρόντι γράφει λόγῳ, δείκνυσι τὸ βάθος τῆς ἑαυτοῦ ταπεινώσεως, καὶ προϊὼν διδάσκει αὐτὴν τὸν εἰς μέτρον ἐλάσαντα τελειότητος καὶ ἀξιωθέντα τοιούτων ἐν θεωρίᾳ ἀποκαλύψεων, Παῦλον τὸν θεῖον κἀν τούτῳ μιμούμενος, ἁμαρτωλὸν ἑαυτὸν καλοῦντα καὶ ἀνάξιον τοῦ καλεῖσθαι ἀπόστολον.

Δίδου μοι, Χριστέ, καταφιλεῖν σοὺς πόδας!
Δίδου μοι τὰς σὰς κατασπάζεσθαι χεῖρας,
χεῖρας τὰς ἐμὲ λόγῳ παραγαγούσας,
χεῖρας τὰς πάντα κτισάσας ἀκαμάτως!
Δίδου μοι τούτων ἐμφορεῖσθαι ἀπλήστως,
δίδου μοι βλέπειν τὸ πρόσωπόν σου, Λόγε,
καὶ ἀπολαύειν τοῦ ἀπορρήτου κάλλους
καὶ κατανοεῖν καὶ τρυφᾶν σου τῆς θέας,
θέας ἀρρήτου, θέας τῆς ἀθεάτου,
θέας τῆς φρικτῆς, ὅμως δίδου μοι λέγειν
τὰς ἐνεργείας αὐτῆς, οὐ τὴν οὐσίαν!
Ὑπὲρ φύσιν γάρ, ὑπὲρ οὐσίαν πᾶσαν
ἧς ὅλος αὐτός, ὁ Θεός μου καὶ κτίστης.
Ἡ δὲ ἀπαυγὴ τῆς δόξης σου τῆς θείας
φῶς ἀπλοῦν ἡμῖν, φῶς γλυκὺ καθορᾶται,
φῶς ἀποκαλύπτεται, φῶς συνενοῦται
ὅλον, ὡς οἶμαι, ὅλοις ἡμῖν σοῖς δούλοις,
φῶς πνευματικῶς βλεπόμενον μακρόθεν,
φῶς ἐντὸς ἡμῶν εὑρισκόμενον αἴφνης,

1. Λουκᾶ 7,38.
6. Ἐξ. 33,18 καὶ 20.
14. Ἑβρ. 1,3.

Μὲ ὅσα ἐξομολογεῖται σ' αὐτὸ τὸ λόγο δείχνει τὸ βάθος τῆς ταπείνωσής του, καὶ προχωρώντας μιλάει γι' αὐτὸν ποὺ τὴν ἔφερε στὸ μέτρο τῆς τελειότητας καὶ ἀξιώθηκε τέτοιες θεολογικὲς ἀποκαλύψεις. Μιμεῖται καὶ σ' αὐτὸ τὸν θεῖο Παῦλο, ποὺ ἀποκαλεῖ τὸν ἑαυτό του ἁμαρτωλὸ κι ἀνάξιο νὰ ὀνομάζεται ἀπόστολος.

Χριστέ μου, δόσμου ν' ἀσπαστῶ τὰ πόδια σου,
τὰ χέρια τὰ δικά σου νὰ καταφιλήσω,
τὰ χέρια ποὺ ἔπλασαν ἐμένα μὲ τὸ λόγο,
τὰ χέρια ποὺ ἔχτισαν ἀκούραστα τὰ πάντα!
Δόσμου ἀπὸ τοῦτα νὰ γεμίζω ἀχόρταγα,
τὸ πρόσωπό σου δόσμου, Λόγε, νὰ ἀτενίζω,
δόσμου νὰ χαίρομαι τὸ ἀνείπωτό σου κάλλος,
τὴ θέα σου νὰ βλέπω μὲ τὸ νοῦ μου ἡδονικά,
θέα ὁπού 'ναι ἀπόρρητη, ἀθέατη θέα,
θέα φριχτή, ἀλλὰ νὰ πῶ ἄφησέ με
ποιές εἶναι οἱ ἐνέργειές της ὄχι ἡ οὐσία.
Γιατὶ πάνω ἀπ' τὴ φύση κι ἀπ' ὅλα τὰ ὄντα
ἀκέριος εἶσαι ἐσύ, ὁ κτίστης καὶ Θεός μου.
Κι ἡ ἀνταύγεια ἀπὸ τὴ θεία σου τὴ δόξα
φῶς εἶναι ἁπλὸ γιὰ μᾶς, φῶς φαίνεται γλυκύ,
φῶς μᾶς ἀποκαλύπτεται, φῶς συνενώνεται
ὅλο γιὰ μᾶς, νομίζω, ὅλους τοὺς δούλους σου,
φῶς ποὺ τὸ βλέπει ὁ νοῦς μας ἀπὸ μακριά,
φῶς ποὺ ἄξαφνα τὸ βρίκαμε ν' ἀνάβει ἐντός μας,

10. Ἡ ἐπιθυμία τοῦ Συμεὼν νὰ ὑμνεῖ τὸ Θεὸ εἶναι ἀκράτητη. 'Δῶσε μου νὰ μιλῶ'· αὐτὸ εἶναι ἡ εὐτυχία του. Καὶ ἡ προσθήκη τοῦ δόγματος· 'νὰ μιλῶ γιὰ τὶς ἐνέργειες ὄχι γιὰ τὴν οὐσία'.

φῶς ὡσεὶ ὕδωρ βρύον, ὡς πῦρ τε φλέγον
τῆς, ἥσπερ πάντως καθάψεται, καρδίας·
ἐξ οὗπερ ἔγνων προληφθεῖσαν, Σωτήρ μου,
τὴν ταλαίπωρον καὶ ταπεινήν ψυχήν μου
καὶ φλεγομένην καὶ κατακαιομένην.
Πῦρ προσλαβὸν γὰρ φρυγανώδους οὐσίας
πῶς οὐ φλέξειε, πῶς ἂν οὐ καταναλώσῃ,
πῶς οὐκ ἐμποιήσειεν ἀφύκτους πόνους;
Ὅμως ἀνάψαν, δός μοι τοῦ λέγειν, Σῶτερ,
ἄφραστον εἶδος κάλλους ὡραιοτάτου
δείκνυσι καὶ τέρπει με καὶ πόθου φλόγα
ἄστεκτον ἐργάζεται· καὶ πῶς ὑποίσω,
πῶς ὑπενέγκω, πῶς ὅλως δὲ βαστάσω,
ἢ πῶς ἐξείπω τὸ μέγα θαῦμα τοῦτο,
τὸ γινόμενον ἐν ἐμοὶ τῷ ἀσώτῳ;
Οὐ γὰρ σιωπᾶν ὑποφέρω, Θεέ μου,
καὶ λήθης βυθοῖς συγκαλύπτειν τὰ ἔργα
ἃ ἐποίησας καὶ ποιεῖς καθ᾽ ἑκάστην
μετὰ τῶν θερμῶς ἀεί σε ἐκζητούντων
καὶ μετανοίᾳ πρὸς σὲ καταφευγόντων,
ἵνα μὴ κἀγώ, ὡς τὸ τάλαντον κρύψας
δοῦλος πονηρός, κατακριθῶ δικαίως,
ἀλλ᾽ ἐκκαλύπτων ταῦτα τοῖς πᾶσι λέγω
καὶ τὰ περὶ σοῦ καὶ τῆς σῆς εὐσπλαγχνίας
γραφῇ παραδίδωμι καὶ διηγοῦμαι
ταῖς μετέπειτα γενεαῖς, ὦ Θεέ μου,
ὅπως μαθόντες τὸ πολὺ ἔλεός σου,
ὃ ἐνεδείξω εἰς ἐμὲ καὶ δεικνύεις,
τὸν πρὶν ἄσωτον, τὸν ἀκάθαρτον μόνον,
τὸν ὑπὲρ πάντας πλέον ἐξαμαρτόντα,
μηδεὶς διστάσῃ, ἀλλὰ μᾶλλον ποθήσῃ,

---

20. Ἐξ. 24,17. 24. Ἰερ. 20,9.
29. Ψαλμ. 44,2.

φῶς ποὺ ἀναβρύζει σὰ νερὸ καὶ καίει σὰ φλόγα
ὅποια καρδιὰ στ' ἀλήθεια ἀγγίξει.
Αὐτό, Σωτῆρα μου, ἔνιωσα ν' ἀρπάζει
τὴν ταπεινὴ καὶ τὴν ταλαίπωρη ψυχή μου,
νὰ τὴ φλογίζει ὁλόκληρη καὶ νὰ τὴν κατακαίει,
γιατὶ ἡ φωτιὰ ὅταν συναντήσει φρύγανα,
πῶς κατακαίοντας δὲ θὰ τ' ἀφανίσει,
πῶς δὲ θὰ προκαλέσει πόνους ἀνυπόφορους;
Ὅμως μιὰ ποὺ ἄναψε, ἂς πῶ, Σωτῆρα μου, ἔτσι,
ὄψη μοῦ δείχνει ἄφραστη ὀμορφιᾶς,
πανέμορφη, μὲ τέρπει καὶ μοῦ ἀνάβει
φλόγα τοῦ πόθου ἀβάσταχτη· καὶ πῶς ν' ἀντέξω,
πῶς νὰ τὴν ὑποφέρω, πῶς νὰ τὴ βαστάξω,
ἢ πῶς τὸ μέγα τοῦτο θαῦμα νὰ ἱστορήσω,
ποὺ ἔγινε μέσα στὴν ψυχή μου ἐμένα τοῦ ἄσωτου;
Δὲν ὑποφέρω, Θεέ μου, νὰ σωπάσω
καὶ στὸ βυθὸ τῆς λήθης νὰ σκεπάσω τὰ ἔργα
ποὺ ἔκανες κι ἀκόμα κάθε μέρα κάνεις
μὲ ὅσους θερμὰ σ' ἀναζητοῦνε πάντα
καὶ σ' ἐσένα μετανοώντας καταφεύγουν,
γιὰ νὰ μὴν κατακριθῶ δίκαια κι ἐγὼ
τὸ τάλαντο ποὺ ἔκρυψα πονηρὸς δοῦλος.
Μὰ φανερώνοντάς τα αὐτὰ τὰ λέγω σ' ὅλους
κι ὅσα ἀφοροῦν σ' ἐσένα καὶ τὴν εὐσπλαχνία σου
στὴ γραφὴ τὰ ἐμπιστεύομαι καὶ τὰ διηγοῦμαι
στὶς γενιές, Θεέ μου, ποὺ θ' ἀκολουθήσουν,
κι ἔτσι τὸ πολὺ μαθαίνοντας τὸ ἔλεός σου,
ποὺ μοῦ ἔδειξες καὶ νὰ μοῦ δείχνεις συνεχίζεις,
ποὺ ἄσωτος ἤμουν πρῶτα κι ἀκάθαρτος πιὸ ἀπὸ ὅλους,
ποὺ πάνω ἀπ' ὅλους πιὸ πολὺ ἔχω ἁμαρτήσει,
κανεὶς νὰ μὴ διστάσει ἀλλὰ νὰ ποθήσει πιὸ πολύ,

---

36. Σοφ. Σολ. 16,11. 40. Ματθ. 25,14 ἑ.
44. Ψαλμ. 47,13.

μὴ δειλιάσῃ, ἀλλὰ χαίρων προσέλθῃ,
μηδὲ φοβηθῇ, ἀλλὰ μᾶλλον θαρρήσῃ
πέλαγος ὁρῶν τῆς σῆς φιλανθρωπίας
καὶ προσδράμῃ τε καὶ προσπέσῃ καὶ κλαύσῃ,
καὶ τῶν πταισμάτων ἀπολήψεται λύσιν
λέγων ἐν αὐτῷ ὡς ἀληθῶς, Θεέ μου·
Εἰ τὸν πάγκακον καὶ παμπόνηρον τοῦτον
καὶ πανάσωτον ἠλέησεν ὁ κτίστης,
ὑπὲρ ἅπαντας ἀνθρώπους ἁμαρτόντα,
πῶς οὐκ ἂν ἐμὲ μειζόνως ἐλεήσῃ,
τὸν φειδομένως ποσῶς ἐξαμαρτόντα
καὶ τὰς ἐντολὰς οὐ πάσας παραβάντα;
Ἵν᾽ οὖν εἰδῶσι καὶ πλῆθος τῶν κακῶν μου,
ὧδε λέξοιμι, οὐ πάντα πάντως, Λόγε,
–ἀναρίθμητα καὶ γὰρ ὑπὲρ ἀστέρας,
ὑπὲρ σταγόνας ὑετοῦ καὶ θαλάσσης
ψάμμον, κυμάτων πλῆθος κυμαινομένων–,
ἀλλ᾽ ἅπερ βίβλος φέρει τοῦ συνειδότος
καὶ ἀποθῆκαι μνήμης ἐμπεριέχουσι·
τὰ δ᾽ ἄλλα μόνος ἀριθμεῖν αὐτὸς οἶδας.
Γέγονα φονεύς, ἀκούσατε οἱ πάντες,
ἵνα κλαύσητε συμπαθῶς, τὸν δὲ τρόπον
εἴασα, λόγου παραιτούμενος μῆκος.
Γέγονα, οἴμοι, καὶ μοιχὸς τῇ καρδίᾳ
καὶ σοδομίτης ἔργῳ καὶ προαιρέσει.
Γέγονα πόρνος, μάγος καὶ παιδοφθόρος,
ἐπίορκος ὁμότης καὶ πλεονέκτης,
κλέπτης, ψεύστης τε ἀναιδής, ἅρπαξ –φεῦ μοι!
λοίδορος, μισάδελφος, φθονερὸς πάνυ,
φιλάργυρός τε, ἰταμός τε καὶ πάσης
ἄλλης κακίας εἶδος διεπραξάμην.

---

54. Λουκᾶ 15,11 ἑ. 65. Γεν. 22,17.
74. Ματθ. 5,28. 76. Α΄ Κορ. 6,9 καὶ 10.

νὰ μὴ δειλιάσει ἀλλὰ νὰ προσέλθει μὲ χαρά,
μήτε νὰ φοβηθεῖ μὰ νὰ θαρρέψει κι ἄλλο
τῆς εὐσπλαχνίας σου τὸ πέλαγος θεωρώντας
νὰ τρέξει καὶ στὰ πόδια σου νὰ πέσει καὶ νὰ θρηνήσει,
καὶ τῶν πταισμάτων του τὴν ἄφεση νὰ λάβει
εἰλικρινὰ λέγοντας μέσα του, Θεέ μου:
Ἂν τὸν πάγκακο τοῦτον καὶ παμπόνηρο,
τὸν ἀσωτίες γεμάτο ἐλέησεν ὁ κτίστης,
ποὺ ἁμάρτησε πιὸ ἐπάνω ἀπ' ὅλους τοὺς ἀνθρώπους,
πῶς δὲ θὰ ἐλεήσει πιὸ πολὺ ἀκόμα ἐμένα,
ποὺ κάπως μετρημένα ἔχω ἁμαρτήσει
καὶ δὲν ἔχω δὰ παραβεῖ τὶς ἐντολὲς ὅλες;
Γιὰ νὰ μάθουν λοιπὸν τὸ πλῆθος τῶν κακῶν μου
θέλω ἐδῶ, Λόγε, νὰ τὰ πῶ βέβαια ὄχι ὅλα,
–γιατὶ εἶναι ἀμέτρητα, περσσότερα ἀπὸ τ' ἄστρα,
πιὸ πολλὰ ἀπ' τὶς ψιχάλες τῆς βροχῆς κι ἀπὸ τὴν ἄμμο
τῆς θάλασσας, τὸ πλῆθος τῶν κυμάτων ποὺ σηκώνει
ὁ ἀέρας–, μὰ ὅσα τὸ βιβλίο γράφει τῆς συνείδησης
κι ὅσα στ' ἀμπάρια σωριασμένα εἶναι τῆς μνήμης.
Τ' ἄλλα ἐσὺ ξέρεις μόνος σου νὰ τὰ μετρᾶς.
Φονιὰς ἔγινα, ἀκούσετε ὅλοι,
γιὰ νὰ μὲ κλάψτε μὲ συμπάθεια, ἀλλὰ ἀφήνω
τὸν τρόπο, γιὰ νὰ μὴ μακρύνω τὸ λόγο μου.
Κι ἔγινα, ἀλί μου, καὶ μοιχὸς μὲς στὴν καρδιά μου
καὶ σοδομίτης στὰ ἔργα καὶ στὴν προαίρεση.
Ἔγινε πόρνος, μάγος, παιδοπλανευτής.
Πῆρα ὅρκο καὶ τὸν πάτησα, καὶ πλεονέκτης
ἔγινα, κλέφτης, ψεύτης, ἀναιδὴς κι ἅρπαγας, φεῦ,
ψευδοκατήγορος, μισάδελφος, φοβερὸς σφόδρα,
φιλάργυρος, θρασὺς ἀλλὰ καὶ κάθε
ἄλλης κακίας εἶδος ἔχω διαπράξει.

---

71 κ.ἑ. Μαζὶ μὲ τοὺς θαυμαστές του θὰ ποῦμε ὅτι οἱ αὐτοκατηγορίες του
ιτὲς ὀφείλονται σὲ ὑπερβολὴ ταπείνωσης.

Ναί, πιστεύσατε, ἀληθῶς λέγω ταῦτα
καὶ οὐ πλάσματι, οὐδὲ σεσοφισμένως!
Τίς οὖν ἀκούσας ταῦτα οὐκ ἐκπλαγείη,
οὐ θαυμάσειε τὴν σὴν μακροθυμίαν,
ὦ φιλάνθρωπε, οὐ θαμβηθῇ καὶ λέξει·
Πῶς οὐ διέστη γῆ φυγοῦσα τοῦ φέρειν,
ἐπὶ τοῦ νώτου μὴ στέγουσα τὸν τάλαν,
καὶ ζῶντα τοῦτον κατήγαγεν εἰς ᾅδην;
Σκηπτὸς ἄνωθεν πῶς δὲ οὐ κατηνέχθη
καὶ ἀνάλωσε τὸν παραβάτην τοῦτον;
Πῶς δὲ οὐρανὸς οὐ συνέπεσεν ἅμα
καὶ συνεσβέσθη ἥλιος καὶ τὰ ἄστρα
ἐπὶ τῷ οὕτω καταπεφρονηκότι;
Ὢ τῆς σῆς αὖθις ἀνοχῆς, εἴπει, σῶτερ,
καὶ τῆς ἀγαθότητος καὶ τοῦ ἐλέους!
Ὄντως γάρ εἰσιν ὑπὲρ συγγνώμην πᾶσαν
αἱ πράξεις αὗται τοῦ παναθλίου τούτου,
ἃς ὁ ἀκούων πᾶς τις ἀναβοήσει·
τοῦτον ἡ δίκη ἄρα εἴασε ζῶντα;
Καὶ πῶς δικαία οὖσα κἂν ὅλως τοῦτον
εἶναι κατεδέξατο ἐν γῇ τῶν ζώντων;–
Εἰ δ' ὑπολάβοι ψευδῆ με ἴσως γράψαι,
τούτῳ τὴν συγχώρησιν δὸς ὡς οἰκτίρμων·
ἀγνοῶν γάρ σου τὸ μακρόθυμον, Σῶτερ,
καὶ τὴν ἄβυσσον τῆς σῆς φιλανθρωπίας,
καὶ τῶν ἔργων μου τὰ ἄτοπα ἀκούσας
τὴν ψῆφον ἐξήνεγκε δικαίως ταύτην.
Εἰ τοῦτον, λέγων, ἀνεύθυνον ἡ δίκη
καταλέλοιπε, λοιπὸν κρίσις οὐκ ἔστι.
Σὺ δὲ μάλιστα, ὅτι μέλλεις τοῦ κρῖναι,
νῦν μακροθυμεῖς διὰ τοῦτο, Θεέ μου·
θέλεις γὰρ πάντως τὴν πάντων σωτηρίαν,
τὴν μετάνοιαν ἐκδεχόμενος τούτων
τὴν ἐκ τῶν ἔργων, ἀνοχῇ σου δικαίᾳ.

Πιστέψετέ με, εἶναι ὅσα λέγω ἀλήθεια,
πλαστὲς δὲν εἶναι φαντασίες κι ἐφευρήματα.
Ποιός θὰ τ' ἀκούσει αὐτὰ καὶ δὲ θὰ ξαφνιαστεῖ
καὶ τὴ μακροθυμία σου δὲ θὰ θαυμάσει,
φιλάνθρωπε Θεέ, καὶ δὲ θὰ πεῖ γεμάτος θάμπος·
Πῶς ἡ γῆ δὲν ἄνοιξε νὰ σηκώνει ἀποφεύγοντας,
ἀποτινάζοντας ἀπὸ τὶς πλάτες της τὸ δύστυχο
καὶ ζωντανὸ δὲν τὸν κατέβασε στὸν ἅδη;
Ἀστροπελέκι πῶς δὲν τὸν κατακεραύνωσε ἀπὸ ψηλὰ
καὶ δὲν κατάκαψε τὸν παραβάτη τοῦτον;
Πῶς δὲ σωριάστηκε ἀπὸ πάνω του ὁ οὐρανὸς
καὶ πῶς ἡ φλόγα τοῦ ἥλιου καὶ τ' ἄστρα δὲν ἔσβησαν
γι' αὐτὸν ποὺ τόσο καταφρόνησε τὸ νόμο;
Ὢ ἡ ἀνοχή σου, σωτήρα μου, θὰ ξαναπεῖ,
ὢ ἡ καλοσύνη σου καὶ ἡ εὐσπλαχνία σου.
Στ' ἀλήθεια ξεπερνοῦν κάθε συγνώμη
ὅσα ὁ πανάθλιος τοῦτος ἔχει πράξει,
ποὺ ὁ καθένας ἀκούοντάς τα πῶς δὲ θὰ φωνάξει·
Τοῦτον ὁ δικαιοκρίτης ἄφησε τάχα ζωντανό;
Μὰ πῶς, ἐνῶ εἶναι δίκαιος, τὸν δέχτη
ἔστω ἔτσι ἁπλὰ νὰ μείνει στὴ γῆ τῶν ζώντων;
Κι ἀνίσως νομίσει ὅτι γράφω ψέματα,
δῶσε του τὴ συγχώρηση ὡς εὔσπλαχνος,
Σωτήρα, τὴ μακροθυμία σου ἀγνοώντας
καὶ τῆς φιλανθρωπίας σου τὴν ἄβυσσο
κι ἀκούοντας τ' ἀνεπίτρεπτα ἔργα μου
δίκαια τὴν ἀπόφαση αὐτὴ ἔβγαλε.
Ἂν τοῦτον ἡ δικαιοσύνη ἀθώωσε
στὸ ἑξῆς πιὰ δὲν ὑπάρχει κρίση.
Μὰ ἐσύ, Θεέ μου, σίγουρα ἐπειδὴ μέλλεις
νὰ κρίνεις, γι' αὐτὸ τώρα μακροθυμεῖς.
Γιατὶ τὴ σωτηρία ὅλων στ' ἀλήθεια θέλεις,
περιμένοντας βέβαια νὰ μετανοήσουν
ἔμπρακτα μέσα στὴ δίκαιη ὑπομονή σου.

Δικαίου καὶ γὰρ οὐ τοὺς πίπτοντας παίειν,
χεῖρα δὲ μᾶλλον πάντως ὀρέγειν τούτοις,
ὅπερ ποιῶν σύ, ὁ καλός μου Δεσπότης,
οὐκ ἐνέλιπες οὐδέ ποτε ἐλλείψεις.
Ὁ βίος πάλη πάντων ἀνθρώπων πέλει,
δοῦλοι δὲ πάντες ἄθρωποι σοῦ, τοῦ κτίστου·
ἔχομεν δ' ὅμως μικροί τε καὶ μεγάλοι
ἐχθροὺς ἀσπόδνους, ἄρχοντας τοὺς τοῦ σκότου.
Εἰ μὴ οὖν αὐτὸς ὀρέξεις μᾶλλον χεῖρα,
ἀλλ' αὐτοὺς ἡμῶν κατισχύσαι ἀφήσεις,
ποῦ τὸ δίκαιον, ποῦ τὸ φιλάνθρωπόν σου;
Δοῦλοι γὰρ ἡμεῖς γεγόναμεν ἐκείνου
ἰδίᾳ γνώμῃ, ἰδίᾳ προαιρέσει,
αὐτὸς δὲ ἡμᾶς ἐλθὼν ἐξηγοράσω
τῷ ἀχράντῳ σου αἵματι καὶ τιμίῳ
καὶ τῷ σῷ Πατρὶ προσήγαγες, Θεέ μου,
δῶρον, οὓς ὁρῶν ἐχθρὸς ὅλως οὐ στέγει,
οὐχ ὑποφέρει τὸν φθόνον, ὅνπερ ἔχει,
ἀλλ' ὠρύεται καθ' ἡμῶν ὥσπερ λέων
καὶ περιπατῶν καὶ βρύχων τοὺς ὀδόντας
ἀπηνῶς ζητεῖ, ὅντινα καταπίῃ.
Τοὺς οὖν ὑπ' αὐτοῦ θηρὸς τοῦ ἀνημέρου
τιτρωσκομένους καὶ πληγὰς δεχομένους
καὶ τραυματίας, ὦ Χριστέ μου, κειμένους
οὐκ ἐλεήσεις, οὐ συμπαθήσεις μᾶλλον
καὶ τὴν ὑγείαν τὴν τούτων ἀναμείνεις,
ἀλλ' ἐπιπλήξεις, ἀλλὰ συντρίψεις ὅλως
καὶ θανατώσεις τοὺς τοιούτους τελείως;
Δίκαιον καὶ γάρ, ναί, κἀγὼ τοῦτο λέγω,
ὅτι ἄκοντες οὐ κατέχονται οὗτοι,
ἀλλὰ ἑκόντες ἑαυτοὺς προδιδοῦσιν.
Ὅμως πανοῦργος, σοφιστής τε κακίας,
ὁ ἀνήμερος καὶ ποικίλος θὴρ οὗτος
προσποιεῖται οὖν τὰ τῶν φίλων, ὡς φίλος

Δίκαιος δὲν εἶναι ὅποιος χτυπᾶ ὅσους πέφτουν,
ἀλλ' ὅποιος χέρι βοήθειας ἁπλώνει σ' αὐτούς,
πράγμα ποὺ ἐσὺ ὁ καλός μου Κύριος
ποτὲ δὲν παράλειψες οὔτε θὰ παραλείψεις.
Εἶναι ὁ βίος ἡ μάχη ὅλων τῶν ἀνθρώπων
κι ὅλοι εἶναι οἱ ἄνθρωποι δοῦλοι τοῦ κτίστη ἐσένα·
Ἔχομε ὅμως μικροὶ μὰ καὶ μεγάλοι
ἐχθρούς μας ἄσπονδους, τοὺς ἄρχοντες τοῦ σκότους.
Ἂν δὲν ἁπλώσεις λοιπὸν ἐσὺ τὸ χέρι σου
μὰ τοὺς ἀφήσεις νὰ μᾶς καθυποτάξουν,
ποῦ 'ν' ἡ δικαιοσύνη κι ἡ εὐσπλαχνία σου;
Γιατὶ ὑποδουλωθήκαμε σ' αὐτὸν
μὲ γνώμη καὶ προαίρεση δική μας,
μὰ ἦρθες ὁ ἴδιος καὶ μᾶς ἐξαγόρασες
μὲ τὸ ἄχραντό σου τὸ αἷμα τὸ πανάκριβο
καὶ στὸν Πατέρα σου, Θεέ μου, δῶρο μᾶς πρόσφερες.
Μὰ ὅπως μᾶς βλέπει ὁ ἐχθρός μας δὲν τὸ παραδέχεται,
δὲν κυβερνᾶ τὸ φθόνο ποὺ τὸν βασανίζει,
ἀλλὰ καθὼς λιοντάρι κατὰ μᾶς μουγκρίζει
καὶ περπατώντας καὶ τὰ δόντια τρίζοντας
ὅλος σκληρότητα γυρεύει ποιόν νὰ καταπιεῖ.
Αὐτὸς λοιπὸν ποὺ τὸ θηρίο τὸ ἀνήμερο
ξεσκίζει καὶ χτυπήματα τοὺς καταφέρνει
καὶ λαβωμένοι κείτονται στὴ γῆ, Χριστέ μου, [ξεις
δὲ θὰ ἐλεήσεις, συμπάθεια πιὸ πολλὴ δὲ θὰ τοὺς δεί-
καὶ τὴν ἀγκάλη νά 'βρουν δὲ θὰ περιμένεις,
μὰ θὰ τοὺς ἐπιπλήξεις καὶ συντρίμμια θὰ τοὺς κάνεις
καὶ θὰ τοὺς παραδώσεις σὲ θάνατο ὁριστικό;
Ναί, εἶναι δίκαιο κι ἐγὼ τ' ὁμολογῶ,
πὼς δὲν ὑποδουλώνονται χωρὶς νὰ θέλουν,
ἀλλὰ μὲ θέλημά τους τὸν ἑαυτό τους παραδίνουν.
Ἀλλὰ παμπόνηρος καὶ ὡς εἶναι δόλων σοφιστὴς
τοῦτο τὸ ἀνήμερο καὶ χιλιοπρόσωπο θηρίο,
πὼς εἶναι φίλος ὑποκρίνεται κι ὡς φίλος

ὅλον με ζητῶν συλλαβεῖν καὶ θηρεῦσαι,
τὴν ὁρωμένην ζωὴν ὑποδεικνύς μοι
τῆς νοουμένης ζωῆς ἀποστερεῖ με.
Τῇ αἰσθήσει κλέπτει με τῶν νῦν παρόντων
καὶ τῶν μελλόντων ὑποσυλᾷ τὸν πλοῦτον.
Ἄλλο τῇ ἔξω φαίνεται θεωρίᾳ,
ἄλλο δέ ἐστι τὸ κρυπτόμενον, Σῶτερ!
Εἰ δὲ ἄνθρωποι τοῦτο μεμαθηκότες
δόλους σχηματίζονται τῇ ὑποκρίσει,
τί ὁ κακίας εὑρετὴς οὐ ποιήσει,
πῶς οὐ πλανήσει, καὶ μάλιστα τοὺς νέους,
πῶς οὐκ ἀπατήσει δὲ ἀκάκους ὄντας,
ὅλως ἀπείρους, ὅλως ἀπανουργεύτους,
ὁ προαιρέσει καὶ Σατᾶν καὶ πανοῦργος
καὶ πάντα δόλον εὐμηχάνως εὑρίσκων;
Ὅμως ἅπαντας ἀπατᾷ καὶ τιτρώσκει,
οὐδεὶς τὰς τούτου ὑπεξέφυγε χεῖρας,
οὐδὲ τῶν αὐτοῦ βελῶν καὶ τοῦ ἐν τούτοις
ἰοῦ ἄγευστος καὶ ἄτρωτος διῆλθε.
Πάντες ἐξημάρτομεν καὶ ὑστεροῦμεν
δόξης σου, Χριστέ, τῆς ἀρρήτου καὶ θείας,
καὶ δωρεάν σε δυσωποῦμεν τοῦ σῶσαι
καὶ δικαιῶσαι χάριτι καὶ ἐλέει,
ὃ ἐξέχεας ἐπ' ἐμὲ νῦν πλουσίως,
περὶ οὗ λέγειν καὶ γράφειν οὐκ ὀκνήσω.
Πῶς γὰρ δυναίμην σιωπῇ ὑποφέρειν
τὰ γινόμενα καθ' ὥραν, ὦ Θεέ μου,
καὶ πραττόμενα ἐν ἐμοὶ τῷ ἀθλίῳ;
Ἄφραστα καὶ γάρ εἰσιν ἐν ἀληθείᾳ,
ἀκατάληπτα ὑπὲρ νοῦν, ὑπὲρ λόγον·
καὶ πῶς ἐξείπω ταῦτα ἢ πῶς ἐκφράσω;
Ἀλλ' οὖν, μὴ φέρων σιωπᾶν, ἄρτι λέξω·
Θεὸς ἄναρχος, ἄκτιστος, μόνος πέλεις,
ἐν Υἱῷ καὶ Πνεύματι Τριὰς ἁγία,

μανιάζει καὶ μὲ κυνηγᾶ γιὰ νὰ μὲ δέσει χειροπόδαρα·
τὴ ζωὴ ποὺ βλέπομε μοῦ παρουσιάζει
κι ἀπ' τὴ ζωὴ μ' ἀποστερεῖ ποὺ νοοῦμε.
Μὲ ξεγελᾶ μὲ τὴν αἴσθηση ὅσων ἔχομε τώρα
καὶ μοῦ κλέβει χωρὶς νὰ νιώσω τὸν πλοῦτο τῶν μελλοντικῶν.
Ἄλλο φαίνεται μὲ τὴ ἐξωτερική του ὄψη
κι ἄλλο, Σωτήρα μου, εἶν' αὐτὸ ποὺ κρύβεται
κι ἂν τοῦτο οἱ ἄνθρωποι τό 'χουνε μάθει
καὶ μὲ προσχήματα ὑποκριτικὰ παραπλανοῦν,
τί δὲ θὰ κάνει τῆς κακίας ὁ ἐφευρέτης,
πῶς δὲ θὰ ξεπλανέψει τοὺς νέους πρῶτα–πρῶτα
καὶ νέοι ὡς εἶναι δὲ θὰ τοὺς ἀπατήσει,
ἄπειροι ὁλότελα, χωρὶς μιὰ πονηρία,
αὐτὸς ποὺ θέλοντας καὶ Σατανὰς καὶ παμπόνηρος εἶναι
καὶ κάθε δόλο μ' εὐκολία μηχανεύεται;
Ξεγελᾶ ὡστόσο ὅλους καὶ τοὺς πληγώνει
κανεὶς δὲν ἔχει ἀπὸ τὰ χέρια του ξεφύγει
κι οὔτε πέρασε χωρὶς τὰ βέλη του νὰ τὸν χτυπήσουν
καὶ τὸ δηλητήριο ποὺ ἔχει νὰ δοκιμάσει.
Ὅλοι ἁμαρτήσαμε, Χριστέ, κι εἴμαστε ἀνάξιοι
γιὰ τὴ θεϊκὴ τὴ δόξα σου κι ἀνέκφραστη
καὶ σὲ παρακαλοῦμε νὰ μᾶς σώσεις δωρεὰν
καὶ δίκαιο νὰ μᾶς δώσει ἡ χάρη κι ἡ εὐσπλαχνία σου,
ποὺ τώρα σκόρπισες σ' ἐμένα πλούσια,
πράγμα ποὺ ἀκούραστα θὰ λέγω καὶ θὰ γράφω.
Γιατί πῶς θὰ μποροῦσα νὰ περάσω σιωπηλὰ
ὅλα ὅσα γίνονται ὥρα τὴν ὥρα, Θεέ μου,
καὶ στὸν ταλαίπωρο ἐμένα συμβαίνουν;
Εἶναι στ' ἀλήθεια νὰ εἰπωθοῦν ἀδύνατο,
ἀσύλληπτα ἀπ' τὸ νοῦ, πάνω ἀπ' τὸ λόγο·
πῶς λοιπὸν νὰ τὰ ἐκφράσω καὶ νὰ τὰ φανερώσω;
Ὡστόσο τὴ σιωπὴ μὴ ὑποφέροντας, τώρα θὰ μιλήσω·
Μόνος ἐσὺ εἶσαι ὁ ἄναρχος κι ὁ ἄκτιστος Θεός,
Υἱὸς καὶ Πνεῦμα Τριάδα Ἁγία,

ἀκατάληπτος, ἀπρόσιτος ὑπάρχεις,
κτίστης ὁρωμένης τε καὶ νοουμένης
κτίσεως καὶ Κύριος σὺ καὶ Δεσπότης,
ὑπεράνω τε τῶν οὐρανῶν καὶ πάντων
τῶν ἐν οὐρανῷ, τοῦ οὐρανοῦ τυγχάνεις
μόνος ποιητής, μόνος ἐξουσιάζων,
μόνος τὰ πάντα φέρων προστάγματί σου
καὶ θελήματι συνέχων πάντα μόνῳ.
Ἔχεις περὶ σὲ μυριάδας ἀγγέλων,
ἀρχαγγέλων τε χιλίας χιλιάδας,
θρόνους, κυριότητας ἀναριθμήτους,
ἔχεις δυνάμεις, χερουβίμ, σεραφίμ τε
πολυόμματα, ἀρχὰς καὶ ἐξουσίας
καὶ πλείους ἄλλους λειτουργούς τε καὶ φίλους.
Ἔχεις τὴν δόξαν ὑπερδεδοξασμένην,
ὥστε μὴ τολμᾶν ἀδεῶς ἀτενίσαι
τινὰς ἐκ τούτων πρὸς αὐτήν, ὦ Θεέ μου,
μηδὲ δύνασθαι φαινομένην ἐνέγκαι
τοῦ προσώπου σου τὴν ἀστράπτουσαν αἴγλην.
Πῶς γὰρ ἰσχύσει τὸ ποίημα τὸν κτίστην
ὅλον κατιδεῖν, ὅλον κατανοῆσαι;
Οὐδαμῶς οἶμαι δυνατὸν εἶναι τοῦτο,
ἀλλ᾽ ὁ ποιητής, καθ᾽ ὅσον ἂν ἐθέλῃ,
φαίνεται καὶ βλέπεται, παρ᾽ ὧν ἐθέλει,
καὶ γινώσκεται καὶ γινώσκει τὸ κτίσμα,
καὶ καθορᾶται καὶ καθορᾷ τοσοῦτον
ὅσον δώσειεν ὁ ποιητὴς τοῦ βλέπειν.
Εἰ γὰρ παρὰ σοῦ παρήχθησαν, Θεέ μου,
ἔχουσιν ἐκ σοῦ τὸ εἶναι καὶ τὸ βλέπειν
καὶ τὸ δύνασθαι λειτουργεῖν σοι ἀμέμπτως.
Ἀλλ᾽οὖν ἄνω σὺ ὑπὲρ ἀρχὰς ἁπάσας,

---

186. Ἰούδα 4. 187. Ἐφ. 4,10.
191. Σοφ. Σολ. 1,7. 193. Ἀποκ. 5,11.
194. Κολ. 1,16. 197. Ψαλμ. 103,4.

ἀκατανόητος εἶσαι κι ἀπλησίαστος
τῆς δημιουργίας τῆς ὁρατῆς ὁ κτίστης
κι ὅποιος νοεῖται, ἐσὺ Κύριος καὶ Δεσπότης,
καὶ οὐρανοὺς ξεπερνᾶς κι ὅλα ὅσα εἶναι
στοὺς οὐρανοὺς καὶ τ' οὐρανοῦ ἐσὺ εἶσαι,
ὁ μόνος δημιουργὸς κι ἐξουσιαστής του,
μὲ πρόσταγμά σου ὁ μόνος ποὺ κινεῖς τὰ πάντα
καὶ μὲ τὸ θέλημά σου μόνο ποὺ τὰ πάντα συγκρατεῖς.
Ἔχεις ὁλόγυρά σου ἀγγέλων μυριάδες,
χιλιάδες καὶ χιλιάδες ἀρχαγγέλων
καὶ θρόνους καὶ κυριότητες ἀρίθμητες,
ἔχεις δυνάμεις, χερουβὶμ καὶ σεραφίμ,
πολυόμματα, κι ἀρχὲς καὶ ἐξουσίες
καὶ πλῆθος ἄλλους φίλους κι ὑπηρέτες.
Ἔχεις τὴ δόξα σου πάνω ἀπὸ κάθε δόξα,
ὥστε νὰ μὴν τολμᾶ ἀπ' αὐτοὺς κανένας
μὲ δίχως φόβο, Θεέ μου, νὰ τὴν ἀτενίσει,
μήτε καὶ νὰ μπορῶ ν' ἀντέξω τὸ φανέρωμά της,
τὴ λάμψη τοῦ προσώπου σου ποὺ ἀστράφτει.
Τὸ ποίημα ποῦ νὰ βρεῖ τὴ δύναμη
τὸν ποιητή του ὅλο νὰ δεῖ καὶ νὰ ἐννοήσει;
Καθόλου δυνατὸ δὲν εἶναι τοῦτο,
ἀλλὰ ὁ δημιουργὸς ὅσο αὐτὸς θέλει
καὶ φανερώνονται καὶ σ' ὅποιους θέλει γίνεται ὁρατός,
γνωρίζει τὰ κτίσματά του κι αὐτὰ τὸν γνωρίζουν
καὶ γίνεται ὁρατὸς καὶ τόσο μόνο τὸν βλέπουν,
ὅσο ὁ ποιητὴς παραχωρήσει νὰ τὸν βλέπουν.
Γιατὶ ἂν ἐσύ, Θεέ μου, τὰ δημιούργησες,
τὴν ὕπαρξη ἔχουν ἀπὸ ἐσὲ καὶ τὸ νὰ βλέπουν
καὶ ἄψογα νὰ μποροῦν νὰ σὲ ὑπηρετοῦν.
Εἶσαι λοιπὸν ψηλά, πάνω ἀπ' τὶς ἀρχὲς ὅλες

214. Ἐφ. 1,21.

192. Βλ. καὶ *Περὶ οὐρανίας ἱεραρχίας*, Διονυσίου Ἀρεοπαγίτου.

αὗται δὲ πάλιν περὶ σέ, τὸν Θεόν μου,
ἡμεῖς δὲ κάτω ἐν κατωτάτῳ λάκκῳ
–λάκκον οὐ λέγω τὸν ὁρώμενον κόσμον,
ἀλλὰ τὸ σκότος τῆς ἁμαρτίας ὄντως–,
λάκκῳ πονηρῷ, λάκκῳ ζεζοφωμένῳ,
λάκκῳ καὶ τάφῳ δεινῶς ἐν κατωτάτῳ,
ὅνπερ ἥλιος οὐ πέφυκε φωτίζειν.
Ἔξω γάρ ἐστι τοῦ ὁρωμένου κόσμου
καὶ τοῦ μέλλοντος ἡ νὺξ τῆς ἁμαρτίας
καὶ τοὺς ἐν αὐτῇ ἐμπίπτοντας ἀφρόνως
νῦν τε κατέχει καὶ θανόντας ὡσαύτως
ἕξει δεσμίους εἰς αἰῶνας αἰώνων·
ὧν ἐγὼ πρῶτος, ὦ Χριστέ μου, ὑπάρχω,
ὁ καὶ συσχεθεὶς καὶ καταχθεὶς ἐν ταύτῃ
καὶ ἐν πυθμένι αὐτῆς τῷ κατωτάτῳ
εὑρεθεὶς ἐβόησα· Ἐλέησόν με!
Ἐν ἐπιγνώσει γεγονὼς τῶν κακῶν μου–
ἔγνων γὰρ τὸ ποῦ δι' αὐτῶν κατηνέχθην,
οὗ χάριν καὶ ἔκλαυσα, δακρύων ὄμβρους
ἐξ ὀφθαλμῶν μου κατήγαγον ἐμπόνως–,
μετενόησα ἐξ ὅλης μου καρδίας
καὶ ἐκέκραξα φωναῖς ταῖς ἀλαλήτοις.
Καὶ ἐπήκουσας ἐκ τοῦ ἀφάτου ὕψους
τοῦ ἐν πυθμένι κειμένου κατωτάτω,
σκότους ἀπείρου, ἀτελοῦς ἐν τῷ τέλει,
καὶ τὰς περὶ σὲ καταλιπὼν δυνάμεις
ἀντιπαρελθὼν τὰ ὁρώμενα πάντα
κατῆλθες ἐκεῖ, ἐν ᾧ κείμενος ἤμην.
Ἔλαμψας εὐθύς, ἐδίωξας τὸ σκότος,
ἤγειράς με σὺ ἐμνεύσει σου τῇ θείᾳ,
ἔστησας εἰς πόδας σου, καὶ τῇ ἀγάπῃ
ἔτρωσας, ἠλλοίωσας ὅλον με ὅλον.

---

216. Ψαλμ. 87,7. 229. Παρμ. 14,12.

κι ἐκεῖνοι πάλι γύρω ἀπὸ ἐσένα, τὸ Θεό μου,
καὶ χαμηλὰ ἐμεῖς στὸν πιὸ χαμηλὸ λάκκο
–λάκκο δὲν ἐννοῶ τὸν κόσμο ποὺ βλέπομε,
μ' ἀληθινὰ τῆς ἁμαρτίας τὸ σκότος–
στὸ λάκο τῆς κακίας, λάκκο ποὺ πλέει στὸ ζόφο,
στὸ φοβερὸ τὸ λάκκο καὶ τὸν τάφο τὸν πιὸ χαμηλό,
ποὺ ὁ ἥλιος εἶναι ἀδύνατο νὰ τὸν φωτίσει.
Γιατὶ εἶναι ἔξω ἀπὸ τὸν κόσμο αὐτὸν ποὺ βλέπομε
καὶ τὸ μελλοντικὸ τῆς ἁμαρτίας ἡ νύχτα
κι ὅποιοι μέσα σ' αὐτὴ ἄφρονα βουλιάζουν
καὶ τώρα τοὺς κρατᾶ κι ὅταν πεθάνουν τὸ ἴδιο
δεσμῶτες θὰ τοὺς ἔχει στοὺς αἰῶνες τῶν αἰώνων.
'Απ' αὐτοὺς πρῶτος, Χριστέ μου, εἶμ' ἐγώ,
ποὺ πιάστηκα καὶ βούλιαξα σ' αὐτὴν
καὶ κάτω στὸ βυθὸ τὸν τρίσβαθό της
σὰν βρέθηκα ἔβαλα φωνή· 'Ελέησέ με,
ἀφοῦ σ' ἐπίγνωση ἦρθα τῶν δεινῶν μου.
Κατάλαβα τὸ ποῦ ἐξαιτίας τους βυθίστηκα,
γιὰ τοῦτο κι ἔκλαψα καὶ χείμαρρος τὰ δάκρυα
ἄφησα πονεμένος νὰ κυλήσουν ἀπ' τὰ μάτια μου.
Μετάνοιωσα ἀπ' τὰ βάθη τῆς καρδιᾶς μου
καὶ φωνὲς ἔβαλα, ποὺ δὲν ἔχουν ξανακουστεῖ.
Καὶ μ' ἄκουσες ἀπὸ τὸ ἀνείπωτο ὕψος σου,
ἐνῶ κειτόμουν στὸ βυθὸ τὸν τρίσβαθο,
στ' ἄπειρο σκότος, τ' ἀτελείωτο κι ἀτελεύτητο,
καὶ τὶς δυνάμεις πού 'χεις γύρω σου ἀφήνοντας
μὰ κι ὅλα ὅσα θωροῦμε προσπερνώντας
κατέβηκες ἐκεῖ στὸ μέρος ὅπου κείτομουν.
Μὲ μιὰ ἄστραψες κι ἀπόδιωξες τὸ σκότος,
μὲ σήκωσες τὴ θεία σου δίνοντάς μου πνοή,
μὲ στήλωσες στὰ πόδια τῶν παραγγελμάτων σου,
μ' ἔθελξες μὲ τὴν ὀμορφιά σου καὶ μὲ τὴν ἀγάπη σου,

---

235. Ἰωὴλ 2,12. 243. Β΄ Βασ. 22,30.

Εἶδον σου τὸ πρόσωπον καὶ ἐφοβήθην,
καίτοι εὐμενές, εὐπρόσιτόν μοι ὤφθη,
ἡ δὲ ὡραιότης σου ἐξέστησέ με
καὶ ἐξέπληξεν, ὦ Τριάς, ὁ Θεός μου!
Εἷς γὰρ χαρακτὴρ τῶν τριῶν ἐν ἑκάστῳ,
καὶ τὰ τρία ἓν πρόσωπον, ὁ Θεός μου,
ὃς καλεῖται Πνεῦμα, Θεὸς τῶν πάντων.
Σὺ οὖν ἐμφανίσθης ἐμοί, τῷ παναθλίῳ·
πῶς οὐκ ἔμελλον ἐγὼ φρίξαι καὶ δῦναι
καὶ κατώτερον, οὗ ἤμην, γεγονέναι
καὶ σκεπασθῆναι πάλιν ὑπὸ τοῦ σκότους,
ἵν' ἀποκρυβῶ σε, τὸν ἄστεκτον πᾶσιν;
Ἀλλὰ τοῦτο μὲν ἔπραττον ἐκ δειλίας ἐγώ,
σὺ δέ, Θεέ μου, μᾶλλον περιεπλέκου,
μᾶλλον κατησπάζου με, μᾶλλον ἐνηγκαλίζου
ἔνδον τοῦ κόλπου τῆς δόξης σου, Θεέ μου,
ἔνδον τοῦ κρασπέδου σου τῶν ἱματίων
εἰσάγων ὅλον καὶ σκέπων με φωτί σου,
καὶ ἀμνημονεῖν ποιῶν τῶν ὁρωμένων
καὶ τῶν κατεχόντων με δεινῶν τὸ πρώην.
Ὢ μυστηρίων βάθος, ὢ ὕψος δόξης,
ὢ ἀνάβασις, ὢ θέωσις, ὢ πλοῦτος,
ὢ λαμπρότης ἄφραστος τῶν λεγομένων!
Τίς καταλαβεῖν ἐκ τῶν λόγων ἰσχύσει
ἢ τὸ μέγεθος κατανοῆσαι τῆς δόξης;
Ὃς γὰρ οὐκ εἶδεν, ἃ ὀφθαλμὸς οὐκ εἶδε,
καὶ οὐκ ἤκουσεν, ἃ οὖς οὐκ ἠκηκόει
καὶ εἰς καρδίαν ἀνθρώπου οὐκ ἀνέβη,
πῶς τῷ γράφοντι περὶ αὐτῶν πιστεύσει;

---

247. Ἆισμα 2,5.
264. Ματθ. 14,36.
273. Α' Κορ. 2,9.

μὲ πλήγωσες κι ὅλον μ' ἀλλοίωσες ἀπὸ πάνω ὣς κάτω.
Εἶδα τὸ πρόσωπό σου καὶ φοβήθηκα,
μόλο ποὺ φιλικὸ κι εὐπρόσιτο μοῦ φάνηκε,
ἐνῶ μ' ἔκανε νὰ τὰ χάσω ἡ ὀμορφιά σου
καὶ νὰ σαστίσω, ὦ Τριάδα, ὦ Θεέ μου.
Μιὰ σφραγίδα σὲ καθέναν ἀπ' τοὺς τρεῖς
καὶ τὰ τρία πρόσωπα εἶναι ἕνα, ὁ Θεός μου,
ποὺ Πνεῦμα λέγεται, Θεὸς τῶν πάντων.
Ἐσὺ σ' ἐμένα τὸν πανάθλιο φανερώθηκες·
πῶς λοιπὸν νὰ μὴ φρίξω καὶ νὰ μὴ βουλιάξω
καὶ πιὸ βαθιὰ ἀπ' ὅ,τι ἤμουν νὰ μὴν πάω
καὶ πάλι ἀπ' τὸ σκοτάδι νὰ μὴν σκεπαστῶ,
γιὰ νὰ κρυφτῶ ἀπὸ σένα ποὺ νὰ σ' ἀντέξουν ὅλοι ἀδυνατοῦν;
Τοῦτο ἐγὼ ἀπ' τὴ δειλία μου ἔκανα,
μὰ ἐσὺ πλεκόσουν, Θεέ μου, πιὸ σφιχτὰ σ' ἐμένα
καὶ πιὸ πολὺ μ' ἀγκάλιαζες καταφιλώντας με
μέσα στὴν ἀγκαλιὰ τῆς δόξας σου, Θεέ μου,
κάτ' ἀπ' τῶν ρούχων σου τὴν ἄκρη
παίρνοντάς με ὅλον καὶ μὲ τὸ φῶς σκεπάζοντάς με
καὶ κάνοντας νὰ λησμονῶ ὅσα βλέπομε
καὶ τὰ δεινὰ ποὺ πρῶτα μὲ παιδεῦαν.
Ὢ βάθος μυστηρίων καὶ τῆς δόξας ὕψος,
ὢ ἀνέβασμα κι ὢ θέωση κι ὢ πλοῦτος,
ὢ ἀνείπωτη λαμπρότητα τῶν λόγων σου.
Ποιός θὰ μπορέσει ἀπὸ τὰ λόγια νὰ ἐννοήσει
καὶ τὸ μέγεθος τῆς δόξας νὰ καταλάβει;
Ὅποιος δὲν εἶδε, ὅσα ὀφθαλμὸς δὲν ἔχει δεῖ
καὶ δὲν ἄκουσε ὅσα τὸ αὐτὶ δὲν ἔχει ἀκούσει
καὶ στὴν καρδιὰ τοῦ ἀνθρώπου δὲν ἀνέβηκαν,
πῶς θὰ πιστέψει αὐτὸν ποὺ γι' αὐτὰ γράφει;

---

259. Ἓν πρόσωπον· ἡ ἔκφραση χαρακτηρίζεται 'περίεργη'. (Sources Chrétiennes). Καὶ εἶναι. Γιατὶ διδάσκεται μία θεότης σὲ τρία πρόσωπα. Ἐνῶ ἐδῶ ἡ θεότητα χαρακτηρίζεται ὡς 'ἓν πρόσωπον'.

Εἰ δὲ καὶ πιστεύσειε, πῶς διὰ λόγου
ἰδεῖν ἰσχύσει, ἃ ὀφθαλμὸς οὐκ εἶδε;
Πῶς δὲ ἀξίως δι' ἀκοῆς χωρήσει,
ἃ οὐκ ἤκουσεν οὖς ποτε τῶν ἀνθρώπων,
ἵνα καὶ καλῶς περὶ αὐτῶν νοήσῃ,
ἐν περινοίᾳ δυνηθῇ τε γενέσθαι,
ὧν ἀμήχανον τοῖς ὁρῶσι τὸ κάλλος
καὶ τὸ εἶδος, τὸ ἀνείδεον ὑπάρχει
καὶ ἀκατανόητόν ἐστι τοῖς πᾶσιν,
οἷσπερ ὁρᾶται, ἵνα σοι πάλιν εἴπω;
Τῷ λογισμῷ ταῦτα τίς ἀναπλάττων
οὐκ ἂν ἐκπέσῃ τῆς ἀληθείας πόρρω
καὶ πλανηθῇ πλάσμασι καὶ φαντασίαις,
εἰκόνας ψευδεῖς συλλογισμῶν οἰκείων,
οἰκείου νοὸς ἀνιστορῶν καὶ βλέπων;
Ὥσπερ γὰρ ᾅδην καὶ τὰς ἐκεῖ κολάσεις
ἕκαστος φαντάζεται, ὡς ἂν ἐθέλοι,
πλὴν οὖν, ὡς εἰσίν, οὐδεὶς τῶν πάντων οἶδεν,
οὕτω μοι νόει τὰ ἀγαθὰ ἐκεῖνα
τὰ ἐν οὐρανοῖς ἀκατάληπτα πᾶσι
καὶ ἀθέατα· μόνοις γνωστὰ δὲ ταῦτα
καὶ θεωρητά, οἷς Θεὸς ἐκκαλύψει
κατὰ τὸ μέτρον τῆς ἀξίας ἑκάστου,
μέτρον πίστεως, ἐλπίδος καὶ ἀγάπης,
μέτρον φυλακῆς τῶν ἐντολῶν Κυρίου.
Μέτρον ἄλλο δὲ πνευματικῆς πτωχείας,
μέτρον τέλειον οὐ μικρὸν οὐδὲ μέγα.
Ταῦτα γὰρ μισεῖ ὁ Θεὸς οὐκ ἀδίκως,
ἀλλὰ δικαίως, ὡς οὐ δίκαια πάντως·
τὸ μὲν γὰρ μικρὸν λείπεται τοῦ δικαίου
ἐν ἀμελείᾳ ἢ καὶ καταφρονήσει,
μένον ἄχρηστον εὐλόγως καὶ δικαίως·
τὸ δὲ οὐ μικρόν, ἀλλὰ μέγα τυγχάνον

---

299. Ἐφ. 4,7.

Μὰ κι ἂν ἀκόμα τὰ πιστέψει, πῶς μὲ λόγο
θὰ μπορέσει νὰ δεῖ, ὅσα μάτι δὲν ἔχει δεῖ;
Καὶ πῶς ἐπάξια μὲ τὴν ἀκοὴ θὰ προχωρήσει,
ποὺ αὐτὶ ποτὲ δὲν ἔχει ἀκούσει ἀνθρώπων,
ὥστε ὀρθὴ γι' αὐτὰ νὰ σχηματίσει ἀντίληψη
καὶ νὰ μπορέσει τὸ νόημα νὰ συλλάβει αὐτῶν,
ποὺ εἶναι ἀσύλληπτο τὸ κάλλος γιὰ ὅσους βλέπουν
καὶ ποὺ μορφή τους εἶναι τὸ ἄμορφο
καὶ εἶναι ἀκατανόητο γιὰ ὅλους
ὅσοι τὸ βλέπουν, γιὰ νὰ σοῦ τὸ ἐπαναλάβω;
Ὅποιος αὐτὰ ἀναπλάθει μὲ τὸ λογισμό του
δὲ θὰ ξεπέσει μακριὰ ἀπὸ τὴν ἀλήθεια
καὶ δὲ θὰ πλανηθεῖ σὲ φαντασίες κι ὄνειρα,
εἰκόνες τῶν συλλογισμῶν του ψεύτικες
μὲ τὸ μυαλό του ζωγραφίζοντας καὶ βλέποντας;
Ὅπως τὸν ἅδη καὶ τὰ ἐκεῖ βασανιστήρια
καθένας τὰ φαντάζεται ὅπως θέλει, ἀλλὰ κανένας
ὅπως εἶναι δὲν τὰ ξέρει στ' ἀλήθεια,
ἔτσι φαντάσου κι ἐκεῖνα τ' ἀγαθὰ
τὰ οὐράνια πὼς εἶναι γιὰ ὅλους ἀκατάληπτα
κι ἀθέατα· καὶ μόνο αὐτοὶ μποροῦν νὰ τὰ γνωρίσουν
καὶ νὰ τὰ θεαστοῦν, σ' ὅσους ὁ Θεὸς τ' ἀποκαλύψει
σύμφωνα μὲ τὸ μέτρο τῆς ἀξίας καθενός,
ποὺ εἶναι μέτρο πίστης, ἐλπίδας κι ἀγάπης,
μέτρο τῆς τήρησης τῶν ἐντολῶν τοῦ Κυρίου.
Ἄλλο εἶναι τὸ μέτρο τῆς πνευματικῆς φτώχειας,
μέτρο τέλειο οὔτε μικρὸ κι οὔτε μεγάλο.
Αὐτὰ ὁ Θεὸς τὰ μισεῖ ὄχι ἄδικα,
μὰ δίκαια, γιατὶ δίκαια βέβαια δὲν εἶναι.
Τὸ μικρὸ ὑπολείπεται ἀπὸ τὸ δίκαιο
ἀπὸ ἀδιαφορία ἢ περιφρόνηση
κι ἄχρηστο μένει δίκαια κι εὔλογα·
τὸ ὄχι μικρὸ ἀλλὰ μεγάλο ποὺ εἶναι

303. Δευτ. 25,14.

εἰς ἀπόνοιαν φέρει τὸν κεκτημένον
καὶ πάντας ἄλλους βλάπτει τούτῳ χρωμένου.
Δίκαιον μέτρον ταπεινώσεως ἔστι
τὸ μήτε πάντη αὐτοῦ ἀπογινώσκειν,
μήτε οἴεσθαι εἶναί τινα ἐν κόσμῳ
χεῖρον ἑαυτοῦ ἐν πράξεσιν ἀτόποις,
κλαίειν τε ἀεὶ καὶ θρηνεῖν διὰ τοῦτο
καὶ καταφρονεῖν πάντων τῶν ὁρωμένων.
Τοῦτο γάρ ἐστι τεκμήριον τοῦ πένθους,
τοῦ κατὰ Θεὸν ἐκ ψυχῆς γινομένου.
Εἰ δ' ἀντέχεταί τινος τῶν ὁρωμένων
οὔπω ἑαυτὸν ἔγνωκεν ἐν αἰσθήσει,
οὐδὲ φόβον ἔλαβεν ἐν τῇ καρδίᾳ
κρίσεως θείας καὶ πυρὸς αἰωνίου,
οὐδ' ἐκτήσατο ταπείνωσιν τελείαν,
καὶ διὰ τοῦτο ἐκπίπτει καὶ τῆς θέας
καὶ τῆς δωρεᾶς τῶν ἀγαθῶν ἐκείνων,
ὧνπερ ὀφθαλμὸς οὐδεὶς ἀνθρώπων εἶδεν.
Σπεύσωμεν πάντες ταπείνωσιν εὑρέσθαι,
τὴν ἀνώνυμον τῶν ψυχῶν ἡμῶν χάριν,
ἥτις οὐκ ἔχει ὄνομα, τῇ δὲ πείρᾳ
ἐνωνύμως γίνεται τοῖς κεκτημένοις!
Πρᾶος ὁ Χριστός, ταπεινὸς τῇ καρδίᾳ·
ἔνοικον τοῦτον ὁ κτησάμενος ἔγνω
ὅτι δι' αὐτοῦ τὴν ταπείνωσιν ἔχει,
μᾶλλον δὲ αὐτὸς ἡ ταπείνωσις ἔστι.
Ψυχὴ ζητοῦσα δόξαν ἐκ τῶν ἀνθρώπων
ταύτην τὴν ταπείνωσιν ὅλως οὐκ ἔγνω·
ὁ δὲ οἴησιν κἂν ποσῶς κεκτημένος,
πῶς ἐντὸς αὐτοῦ τὴν ταπείνωσιν ἕξει;
Οὐδαμῶς ὄντως! Οἴμοι τῷ παναθλίῳ,
τῷ κενοδόξῳ καὶ κατεπαιρομένῳ

φέρνει σ' ἀπόγνωση ὅποιον τό 'χει
κι ὅλους βλάφτει τοὺς ἄλλους ὅσοι τό 'χουν.
Τὸ δίκαιο μέτρο τῆς ταπείνωσης εἶναι
οὔτε ὁλότελα ν' ἀπελπίζεσαι γι' αὐτὸ
κι οὔτε πὼς εἶναι ἄλλος κανεὶς στὸν κόσμο νὰ θαρρεῖς
χειρότερος στὶς πράξεις τὶς ἀνάρμοστες ἀπὸ τὸν ἴδιο
καὶ γι' αὐτὸ νὰ κλαίεις καὶ νὰ θρηνεῖς
καὶ νὰ περιφρονεῖς ὅλα ὅσα βλέπομε.
Αὐτὸ εἶναι τὸ τεκμήριο τοῦ πένθους,
ποὺ μέσα ἀπ' τὴν ψυχὴ στὸ Θεὸ προσφέρεται.
Μ' ἂν ἔνας πιάνεται ἀπὸ κάτι ἀπ' τὰ βλεπόμενα,
δὲν γνώρισε τὸν ἑαυτό του ἀκόμα ἀληθινά,
οὔτε μὲς στὴν ψυχή του φόβον ἔνιωσε
γιὰ τὴ θεϊκὴ τὴν κρίση καὶ τὸ αἰώνιο πῦρ,
οὔτε τὴν τέλεια ἀπόχτησε ταπείνωση
κι εἶναι γι' αὐτὸ ποὺ χάνει καὶ τὴ θέα
μὰ καὶ τῶν ἀγαθῶν τὸ χάρισμα ἐκείνων,
ποὺ μάτι ἀνθρώπων κανενὸς δὲν εἶδε.
Ἂς σπεύσομε ὅλοι τὴν ταπείνωση νὰ βροῦμε
τὴ χάρη τῶν ψυχῶν μας τὴν ἀνώνυμη,
ὁποὺ ὄνομα δὲν ἔχει μ' ἂν σὲ πείρ' ἐρθεῖ,
ἔρχεται πιὰ μὲ τὄνομα σ' ὅσους τὴν ἀποχτοῦν.
Πράος εἶναι ὁ Χριστὸς καὶ ταπεινὸς στὴν καρδιά.
Ὅποιος τὸν δέχτηκε ἔνοικό του, ἐννόησε
ὅτι ἀπὸ Ἐκεῖνον ἔχει τὴν ταπείνωση
καὶ πιὸ καλά, πὼς ἡ ταπείνωση εἶναι αὐτός.
Ψυχὴ ποὺ δόξα ἐπιδιώκει ἀπ' τοὺς ἀνθρώπους
καθόλου τὴν ταπείνωση δὲν ξέρει αὐτή·
κι ὅποιος λίγη μονάχα οἴηση ἔχει ἀποχτήσει
πῶς νὰ χωρέσει στὴν ψυχή του τὴν ταπείνωση;
Ἀδύνατο στ' ἀλήθεια, γιὰ τὸν πανάθλιο ἐμένα!
τὸν κενόδοξο κι ὅλο ἔπαρση γεμάτο

312. Δευτ. 25,15.

καὶ μηδὲ μίαν ἀρετὴν κεκτημένῳ
καὶ ἀναισθήτως πάσας παρερχομένῳ
τὰς ἡμέρας μου ἐν τῷ παρόντι βίῳ!
Τίς μὴ κλαύσῃ με, τίς μὴ σφοδρῶς πενθήσῃ,
ὅτι ἔφυγον κόσμον καὶ τὰ ἐν κόσμῳ
καὶ τῇ αἰσθήσει κόσμου οὐκ ἐχωρίσθην;
Τὸ τῶν μοναχῶν περιβέβλημαι σχῆμα
καὶ ὡς κοσμικὸς ἀγαπῶ τὰ ἐν κόσμῳ,
δόξαν, πλοῦτόν τε καὶ ἡδονὰς καὶ τέρψεις.
Ἐπὶ τῶν ὤμων τὸν σταυρὸν Χριστοῦ φέρω
καὶ ὑποφέρειν τὰ τοῦ σταυροῦ ὀνείδη
ὅλως ἀπαναίνομαι, ὅλως οὐ θέλω,
ἀλλὰ ἐνδόξοις ἐμαυτὸν παρενείρω
καὶ σὺν ἐκείνοις τὸ δοξάζεσθαι θέλω.
Ὢ τῆς συμφορᾶς, ὢ τῆς ἀναισθησίας!
Διπλῆς ὑπάρχω ἄξιος καταδίκης·
πταίσας γὰρ πολλὰ πρότερον ἐν τῷ βίῳ
ἐπηγγειλάμην καλῶς μετανοῆσαι·
νῦν ἐφάνην δὲ παραβάτης ἀγνώμων
πάντων τῶν καλῶν, ὧν μοι Θεὸς παρέσχε,
καὶ τῶν συνθηκῶν ἀρνητὴς ἀπεδείχθην
καὶ ἀνάξιος πάσης φιλανθρωπίας.
Ἀλλ', ὦ Θεέ μου, ὦ πανοικτίρμον μόνε,
σπεῦσον, πρόφθασον, ἐπίστρεψόν με πάλιν
πρὸς μετάνοιαν, πρὸς δάκρυα, πρὸς πένθος,
ἵνα λούσωμαι καὶ καθαρθῶ καὶ ἴδω
λάμψασαν τρανῶς ἐν ἐμοὶ τὴν σὴν δόξαν,
ἥν μοι χάρισαι νῦν καὶ εἰς τοὺς αἰῶνας
δοξάζοντί σε φωναῖς ἀκαταπαύστοις,
τὸν τῶν αἰώνων ποιητὴν καὶ Δεσπότην!

---

371. Τὰ μέρη τοῦ ὕμνου κατὰ τὴ Sources Chrétiennes 1–62: 'Φῶς καὶ πῦρ ὁ Θεός' ἀνάβει τὸν πόθο τοῦ Συμεὼν νὰ διηγηθεῖ τὰ ἔργα τοῦ Θεοῦ, ὥστε κάθε ἄνθρωπος νὰ προσπέσει στὸ Θεό. 63–172: Ὁ ὕμνος εἶναι ἀνταπόδοση τῶν μεγάλων εὐεργεσιῶν τοῦ Θεοῦ στὸ μεγάλο ἁμαρτωλὸ Συμεών. 173–300: Ὁ Θεὸς

καὶ ποὺ δὲν ἔχω μήτε μιὰ ἀρετὴ ἀποχτήσει
κι ἀναίσθητα περνῶ τὶς μέρες μου ὅλες
μὲς στὴ ζωή μου τούτη. Ποιός
δὲ θὰ μὲ κλάψει καὶ σφοδρὰ δὲ θὰ πενθήσει,
ποὺ ἐνῶ ἀπ' τὸν κόσμον ἔφυγα καὶ τὰ δικά του
τὰ αἰσθήματα δὲν ἐγκατέλειψα τοῦ κόσμου;
Ἔχω περιβληθεῖ τῶν μοναχῶν τὸ σχῆμα
κι ὡς κοσμικὸς τὰ κοσμικὰ ἀγαπῶ,
δόξα καὶ πλοῦτο καὶ ἡδονὲς καὶ τέρψεις.
Τὸ σταυρὸ τοῦ Χριστοῦ πάνω στοὺς ὤμους μου σηκώνω,
μὰ νὰ ὑποφέρω τοῦ σταυροῦ τὶς ταπεινώσεις
ἀρνιέμαι ὁλότελα, καθόλου δὲν τὶς θέλω,
ἀλλὰ μὲ τοὺς ἐπιφανεῖς θέλω ν' ἀνακατεύομαι
καὶ νὰ συνδοξαστῶ μ' αὐτοὺς ἐπιθυμῶ.
Ὢ συμφορά μου κι ὢ ἀναισθησία μου!
Εἶμαι ἄξιος γιὰ κατάκριση διπλή.
Πολλὰ ἔφταιξα στὴν πρωτινὴ ζωή μου
κι ὀρθὰ ὑποσχέθηκα μετάνοια·
μὰ τώρα παραβάτης ἔχω ἀχάριστος φανεῖ
γιὰ ὅλα τ' ἀγαθὰ ποὺ ὁ Θεὸς μοῦ χάρισε
κι ἀρνητὴς τῆς συμφωνίας μας φανερώθηκα
κι ἀνάξιος γιὰ εὐσπλαχνία παραμικρή.
Ἀλλά, ὢ Θεέ μου, ὁ μόνος σὺ πανεύσπλαχνος,
βιάσου καὶ πρόφτασε καὶ πάλι γύρισέ με
στὴ μετάνοια, στὰ δάκρυα καὶ στὸ πένθος,
γιὰ νὰ λουστῶ καὶ καθαρθῶ καὶ ν' ἀντικρύσω
τὴ δόξα σου σ' ἐμὲ σφοδρὰ νὰ λάμπει,
ποὺ τώρα χάρισέ μου την καὶ στοὺς αἰῶνες
καθὼς μὲ φωνὲς σὲ δοξάζω ἀσταμάτητες,
ἐσένα τὸν ποιητὴ καὶ Κύριο τῶν αἰώνων.

σκύβει στὸ Συμεών, τὸν βγάζει ἀπὸ τὸ λάκκο τῶν ἁμαρτιῶν του καὶ τὸν εἰσάγει στὴν ἄρρητη δόξα του. 301–371: Τὸ 'μοτίβο' εἶναι τὸ ἴδιο πάντα: ἐπίκληση τῆς θείας φιλανθρωπίας γιὰ ἕνα ποὺ δὲν ἦταν ποτὲ δούλος τοῦ Θεοῦ, ἀλλὰ τὸν παρόργιζε συνεχῶς ἀπὸ τὴν παιδικὴ ἡλικία.

ΚΕ

Περὶ τῆς γενομένης θεωρίας αὐτῷ τοῦ θείου φωτὸς καὶ ὅπως τὸ θεῖον φῶς οὐ καταλαμβάνεται ὑπὸ σκότους· ἐν οἷς καὶ διὰ τὴν ὑπερβολὴν τῶν ἀποκαλύψεων ἐκπληττόμενος μέμνηται τῆς ἀνθρωπίνης ἀσθενείας καὶ ἑαυτὸν κατακρίνει.

Πῶς διαγράψω, Δέσποτα, προσώπου σου τὴν θέαν,
πῶς εἴπω τὴν ἀνέκφραστον θεωρίαν τοῦ κάλλους;
Πῶς ὃν ὁ κόσμος οὐ χωρεῖ, γλώσσης φθογγὴ χωρήσει
πῶς τις ἐκφράσαι δυνηθῇ τὴν σὴν φιλανθρωπίαν;
Καθήμενος γὰρ ἐν φωτὶ λαμπάδος μοι φαινούσης
καὶ φωτιζούσης τῆς νυκτὸς τὸν ζόφον καὶ τὸ σκότος
ἐδόκουν εἶναι ἐν φωτὶ προσέχων ἀναγνώσει,
λέξεις τε οἷα ἐρευνῶν καὶ σκοπῶν τὰς συντάξεις.
Ὡς οὖν ὑπῆρχον, Δέσποτα, ἀδολεσχῶν ἐν τούτοις,
αἴφνης ἐφάνης ἄνωθεν πολὺ μείζων ἡλίου
καὶ ἔλαμψας ἐξ οὐρανῶν μέχρις ἐμῆς καρδίας.
Τὰ δ' ἄλλα πάντα ὡς βαθὺ σκότος εἶναι ἑώρων,
στῦλος δὲ μέσον φωτεινός, ὅλον τεμὼν ἀέρα
διῆκεν ἐκ τῶν οὐρανῶν ἕως ἐμοῦ τοῦ τάλα.
Εὐθὺς ἐπελαθόμην δὲ φωτὸς τοῦ λυχνιαίου,
οἰκίας ἠμνημόνησα ὅτι ἐντὸς ὑπάρχω,
ἐν τῷ δοκεῖν ἀέρι δὲ τοῦ σκότους ἐκαθήμην.
Πλὴν καὶ τοῦ σώματος αὐτοῦ λήθην ἔσχον εἰς ἅπαν
ἐλάλουν σοι καὶ νῦν λαλῶ ἐκ βάθους μου καρδίας·
Ἐλέησόν με, Δέσποτα, ἐλέησόν με, μόνε,
τὸν μηδαμῶς μηδέποτε δουλεύσαντά σοι, Σῶτερ,

---

11. Β' Κορ. 4,6. 13. Ἐξ. 13,21.

25

Σχετικὰ μὲ τὴ θεωρία τοῦ θείου φωτὸς ποὺ τοῦ συνέβη καὶ ὅτι τὸ θεῖο φῶς δὲν τὸ σκεπάζει τὸ σκότος. Ἐπίσης, δοκιμάζοντας ἔκπληξη ἀπὸ τὶς ὑπερβολικὲς ἀποκαλύψεις, ἀναφέρεται στὴν ἀνθρώπινη ἀσθένεια καὶ κατακρίνει τὸν ἑαυτό του.

Νὰ περιγράψω, Κύριε, πῶς τὸ θεῖο πρόσωπό σου,
πῶς τὴν ἀνέκφραστη νὰ πῶ θωρία τῆς ὀμορφιᾶς σου;
Αὐτὸν ποὺ ὁ κόσμος δὲ χωρεῖ πῶς γλῶσσα νὰ ἱστορήσει,
τὴν καλοσύνη σου νὰ πεῖ πῶς θὰ μπορέσει κάποιος;
Καθόμουνα καὶ μοῦ ’φεγγε τὸ φῶς κάποιας λαμπάδας
καὶ φώτιζε τῆς νύχτας μου τὸ ζόφο καὶ τὸ σκότος·
ἐνόμιζα πὼς μὲς στὸ φῶς στὸ διάβασμα ριγμένος
τὶς λέξεις τάχα ἐξέταζα καὶ τὰ συντακτικά τους.
Σὲ τοῦτα ὡς ἤμουν, Δέσποτα, βαθιὰ ἀπορροφημένος,
φάνηκες ξάφνου ἀπὸ ψηλὰ ἀπ’ τὸν ἥλιο πιὸ μεγάλος
κι ἔλαμψες ἀπ’ τὸν οὐρανὸν ὣς μέσα στὴν καρδιά μου.
Ὅλα τὰ γύρω κοίταζα βαθὺ σὰ νὰ ἦσαν σκότος,
καὶ μὲς στὴ μέση φωτεινὸς κόβοντας τὸν ἀέρα
στύλος ἀπὸ τὸν οὐρανὸ σ’ ἐμὲ ἔφτανε τὸ δόλιο.
Τὸ φῶς ἀμέσως ξέχασα ποὺ σκόρπιζε ἡ λαμπάδα,
λησμόνησα πὼς βρίσκομαι μέσα στὸ σπίτι μόνος
καὶ στὸ πηχτὸ πὼς κάθομαι μοῦ ’λέγε ὁ νοῦς μου σκότος.
Μὰ καὶ τὸ ἴδιο σῶμα μου λησμόνησα ὁλωσδιόλου
κι ὅπως καὶ τώρα σοῦ ’λεγα ἀπὸ τῆς καρδιᾶς τὰ βάθη·
Ἐλέησέ με, Δέσποτα μόνε, ἐλέησέ με,
ποὺ δὲ σοῦ δούλεψα ποτέ, Σωτήρα μου, καθόλου,

20. Ψαλμ. 56,2.

ἀλλὰ σὲ παραργίζοντα ἐκ νέας ἡλικίας.
Πᾶσαν μετῆλθον σαρκικὴν καὶ ψυχικὴν κακίαν
καὶ ἁμαρτίας ἔπραξα ἀμετρήτους, ἀτόπους
ὑπὲρ ἀνθρώπους ἅπαντας, ὑπὲρ ἄλογα πάντα,
ἑρπετὰ καὶ θηρία τε πάντα ὑπερνικήσας.
Εἰς ἐμὲ οὖν τὸ ἔλεος χρεία ἐνδείξασθαί σε,
τὸν καὶ ἐξαμαρτήσαντα ὑπὲρ πάντας ἀφρόνως.
Μὴ χρῄζειν γὰρ ἐλάλησας σὺ αὐτὸς ἰατρείας
τοὺς ὑγιαίνοντας, Χριστέ, ἀλλὰ τοὺς ἀσθενοῦντας,
διὸ ὡς ἀσθενοῦντά με πολλὰ καὶ ἀμελοῦντα
οὕτω πολὺ τὸ ἔλεος ἐπίχεέ μοι, Λόγε!
Ἀλλ' ὢ φωτὸς γαυρίαμα, ἀλλ' ὢ πυρὸς κινήσεις,
ἀλλ' ὢ φλογὸς περιδρομαὶ ἐν ἐμοὶ τῷ ἀθλίῳ
παρὰ τῆς σῆς καὶ παρὰ σοῦ ἐνεργούμεναι δόξης!
Δόξαν δ' ἐγὼ τὸ Πνεῦμά σου ἐπίσταμαι καὶ λέγω,
τὸ ἅγιον, τὸ συμφυὲς καὶ ὁμότιμον, Λόγε,
ὁμογενές, ὁμόδοξον, ὁμοούσιον, μόνον
τῷ σῷ Πατρὶ καὶ σοί, Χριστέ, ὦ Θεὲ τῶν ἁπάντων.
Σοὶ προσκυνῶν εὐχαριστῶ, ὅτι ἠξίωσάς με,
κἂν ποσῶς ἐπιγνῶναί σου θεότητος τὸ κράτος.
Εὐχαριστῶ, ὅτι αὐτὸς καθημένῳ ἐν σκότει
ἀπεκαλύφθης μοι, ἔλαμψας, ἰδεῖν ἠξίωσάς με
τὸ φῶς τὸ τοῦ προσώπου σου, τὸ ἄστεκτον τοῖς πᾶσιν.
Ἔμεινα καθεζόμενος ἐν σκότει μέσον, οἶδα,
μέσον δὲ τούτου ὄντι μοι κεκαλυμμένῳ σκότει
ἐφάνης φῶς, ἐφώτισας ὅλον ὅλῳ φωτί με
καὶ γέγονα φῶς ἐν νυκτί, μέσον σκότους τυγχάνων.
Οὔτε τὸ σκότος τὸ σὸν φῶς κατέλαβεν εἰς ἅπαν,
οὔτε τὸ φῶς ἐδίωξε τὸ ὁρώμενον σκότος,
ἀλλ' ἀναμίξ, ἀσύγχυτα πάντῃ μεμερισμένα

---

30. Ματθ. 9,12. 32. Σοφ. Σειρ. 18,11.
39. Ἐφ. 4,6. 42. Ψαλμ. 106,10 καὶ Ἠσ. 9,1.
45. Μιχ. 7,8. 49. Ἰω. 1,5.

μὰ τὴν ὀργή σου ἀπὸ παιδὶ ἀκόμα προκαλοῦσα.
Κάθε κακία σαρκικὴ καὶ ψυχικὴ ἔχω πράξει
κι ἀμέτρητες σιχαμερὲς ἔπραξα ἁμαρτίες,
ἀπ' τοὺς ἀνθρώπους πιὸ πολλὲς καὶ τ' ἄλογα τὰ ζῶα
ξεπέρασα, ὅλα τὰ ἑρπετὰ καὶ τ' ἄγρια θηρία.
Τὴν εὐσπλαχνία σου λοιπὸν πρέπει σ' ἐμὲ νὰ δείξεις,
ποὺ ἀνόητα ξεπέρασα στὶς ἁμαρτίες ὅλους.
Χρεία δὲν ἔχουν γιατρειᾶς, ἐσὺ ὁ ἴδιος τὸ εἶπες,
ὅσοι, Χριστέ μου, εἶναι γεροὶ μὰ οἱ ἄρρωστοι μονάχα,
γι' αὐτὸ κι ἐμένα ὡς ἄρρωστο πολύ, πού 'χει ἀμελήσει,
τόσο πολλὴ τὴν εὐσπλαχνία σου, Λόγε, χάρισέ μου!
Ὢ θρασομάνημα φωτὸς καὶ σάλεμα φωτιᾶς
κι ὢ φλόγας στριφογύρισμα μέσα σ' ἐμὲ τὸν ἄθλιο,
ὁποὺ ἀπὸ σένα γίνεται κι ἀπὸ τὴ θεία σου δόξα.
Καὶ δόξα τ' ἅγιο Πνεῦμα σου ὁμολογῶ καὶ ξέρω,
πού, Λόγε μου, εἶναι σύμφυτο κι ὁμότιμο μ' ἐσένα,
ποὺ ἔχει τὴ ἴδια τὴ γενιά, τὴ δόξα, τὴν οὐσία,
μόνο του αὐτό, τῶν ὅλων Θεέ, μ' ἐσὲ καὶ τὸν Πατέρα.
Σὲ προσκυνῶ κι εὐχαριστῶ ποὺ μ' ἔχεις ἀξιώσει
τὴ δύναμη τῆς θεότητάς του λίγο νὰ γνωρίσω.
Σ' εὐχαριστῶ ποὺ ὁ ἴδιος ἐσὺ στὸ σκότος ποὺ καθόμουν
μοῦ φανερώθης, ἔλαμψες, νὰ δῶ ἀξίωσές με
τοῦ θείου προσώπου σου τὸ φῶς ποὺ ἀβάστακτο εἶναι γιὰ [ὅλους.
Ἔμεινα ἐκεῖ νὰ κάθομαι μὲς στὸ σκοτάδι, ξέρω,
κι ἐνῶ στὴ μέση βρίσκομαι μὲ σκότος σκεπασμένος
ἔλαμψες φῶς κι ὁλόκληρο μ' ἔφεξες μὲ τὸ φῶς σου
κι ἔγινε μὲς στὴ νύχτα φῶς ἐνῶ ἤμουν στὸ σκοτάδι.
Οὔτε τὸ φῶς σου διάλυσε ὁλότελα τὸ σκότος,
κι οὔτε τὸ φῶς σου τό 'διωξε τὸ γύρω μου σκοτάδι·
ἀνάμικτα, μ' ἀσύγχυτα μαζὶ καὶ μοιρασμένα

33. Τὸ φῶς καὶ ἡ φλόγα θρασομανοῦν κυριολεκτικὰ μέσα στὶς ψυχὲς τῶν ἀνθρώπων, σ' ὅποιους θέλει ὁ Θεός.

μακρὰν ἀλλήλων, ὡς εἰκός, οὐ κεκραμένα ὅλως,
πλὴν ἐν ταὐτῷ τὰ σύμπαντα πληροῦσιν, ὡς νομίζω.
Οὕτως εἰμὶ ἐν τῷ φωτί, μέσον τυγχάνων σκότους,
οὕτως ἐν σκότει πάλιν δὲ μέσον φωτὸς διάγων,
ἰδοὺ καὶ μέσον ἐν φωτί, ἰδοὺ καὶ μέσον σκότους·
καὶ λέγω· Τίς ἐν σκότει μοι φῶς εὑρεῖν μέσον δώσει,
ὃ οὐ χωρεῖ εἰσδέξασθαι; Πῶς γὰρ χωρήσει σκότος
φῶς ἐντὸς καὶ μὴ φεύξεται, ἀλλὰ μενεῖ ἐν μέσῳ
φωτὸς τὸ σκότος; ὢ φρικτοῦ θαύματος, ὁρωμένου
διττῶς διττοῖς τοῖς ὀφθαλμοῖς, σώματος καὶ ψυχῆς τε!
Ἄκουε ἄρτι· τὰ φρικτὰ διττοῦ Θεοῦ σοι λέγω
καὶ ὡς πρὸς ἄνθρωπον διττὸν ἐμὲ γεγενημένα!
Ἀνέλαβε τὴν σάρκα μου καὶ δέδωκέ μοι Πνεῦμα,
καὶ γέγονα κἀγὼ Θεὸς τῇ χάριτι τῇ θείᾳ,
θέσει υἱὸς πλὴν τοῦ Θεοῦ, ὢ ἀξίας, ὢ δόξης!
Ὡς ἄνθρωπος λυπούμενος ἐμαυτὸν ταλανίζω
καὶ τὴν ἐμὴν ἀσθένειαν κατανοῶ καὶ στένω,
καὶ ζῆν ὅλως ἀνάξιος ὑπάρχω, ὡς εὖ οἶδα,
ἐκείνου δὲ τῇ χάριτι θαρρῶν, κατανοῶν τε
τὸ κάλλος, ὃ μοι δέδωκεν, ἐπιτέρπομαι βλέπων.
Ὡς μὲν οὖν ἄνθρωπος οἶδα μηδὲν ὁρᾶν τῶν θείων,
καὶ ἀοράτων παντελῶς εἰμι κεχωρισμένος·
τῇ δὲ υἱοθεσίᾳ με θεὸν γεγενημένον
καὶ καθορῶ καὶ κοινωνὸς γίνομαι τῶν ἀψαύστων.
Ὡς ἄνθρωπος οὐδὲν ἔχω τῶν ὑψηλῶν καὶ θείων,
ὡς δὲ Θεοῦ χρηστότητι νυνὶ ἠλεημένος
ἔχω Χριστόν, τὸν Κύριον, τὸν πάντων εὐεργέτην.
Διὸ καὶ πάλιν, Δέσποτα, δεόμενος προσπίπτω·
μὴ ἀποτύχω τῶν ἐν σοὶ ἐλπίδων μου μηδόλως,

58. Β' Κορ. 6,14. 64. Ρωμ. 8,15.
67. Ρωμ. 7,24. 78. Πράξ. 10,38.

62. Τὰ συγκλονιστικὰ ὁράματα τὰ διαδέχεται ἡ ἤρεμη προσευχή. Ἡ και

ἕν' ἀπὸ τ' ἄλλο μακριὰ κι οὔτε σμιχτὰ καθόλου,
ἀλλὰ μαζὶ τὰ σύμπαντα γεμίζουνε, νομίζω.
Καὶ βρίσκομαι ἔτσι μὲς στὸ φῶς ἐνῶ εἶμαι στὸ σκοτάδι
κι ἐνῶ βρίσκομαι μὲς στὸ φῶς, στὸ σκότος τριγυρίζω.
Ἰδού με τώρα μὲς στὸ φὼς καὶ ἰδοὺ μὲς στὸ σκοτάδι·
καὶ λέω· Μέσα στὸ σκότος ποιός θὲ νὰ μοῦ δώσει νάβρω
τὸ φῶς ὅπου δὲν τὸ χωρεῖ; Γιατὶ πῶς θὰ χωρέσει
τὸ σκότος μέσα του τὸ φῶς καὶ δὲ θὰ φύγει, μόνο
θὰ μείνει, σκότος μὲς στὸ φῶς, θαῦμα φρικτὸ νὰ βλέπουν
τοῦ σώματος καὶ τῆς ψυχῆς διπλὰ τὰ δυὸ τὰ μάτια.
Ἄκουσε τώρα· τὰ φρικτὰ διπλοῦ Θεοῦ σοῦ λέγω
μυστήρια ποὺ ἔγιναν σ' ἐμέ, διπλὸ ἄνθρωπο κι ἐμένα.
Ἔλαβε αὐτὸς τὴ σάρκα μου τὸ πνεῦμα δίνοντάς μου,
κι ἔγινα εὐθὺς κι ἐγὼ θεὸς μὲ τοῦ Θεοῦ τὴ χάρη,
θετὸς υἱὸς μὰ γιὸς τοῦ Θεοῦ, ὢ δόξα καὶ τιμή μου.
Γεμάτος λύπη ὡς ἄνθρωπος αὐτοελεεινολογιέμαι
καὶ τὴν ἀδυναμία μου ἐννοῶ κι ἀναστενάζω
κι ὅτι εἶμαι ἀνάξιος γιὰ νὰ ζῶ πολὺ καλὰ τὸ ξέρω.
Στὴ χάρη ἐκείνου ἐλπίζοντας κι ἔχοντας μὲς στὸ νοῦ μου
τὴν ὀμορφιὰ ποὺ μοῦ ἔδωσε χαίρομαι βλέποντάς την.
Ξέρω λοιπὸν σὰν ἄνθρωπος τίποτε θεῖο δὲ βλέπω
κι ὁλότελα ἀπ' τὰ ἀόρατα πὼς εἶμαι χωρισμένος
καὶ ὅτι εἶναι ποὺ ἔγινα θεὸς μὲ τὴν υἱοθεσία
καὶ βλέπω πιὰ καὶ κοινωνῶ ἀνέγγιχτα ὅσα εἶπα.
Τίποτε θεῖο κι ὑψηλὸ σὰν ἄνθρωπος δὲν ἔχω,
μὰ ἐλεημοσύνη ἀπ' τοῦ Θεοῦ τώρα τὴν καλοσύνη
ἔχω τὸν Κύριο, τὸ Χριστό, τὸν εὐεργέτη ὅλων.
Γι' αὐτὸ προσπέφτω σου, Χριστέ, πάλι παρακαλώντας,
καθόλου νὰ μὴ διαψευστῶ γιὰ ὅσα ἀπὸ ἐσένα ἐλπίζω,

χάρη θεοποίησή του, ἡ συναίσθηση τῆς ἀσθένειας, ἡ ἐπιτυχία τῶν ἐλπίδων του, ἡ αἴτηση γιὰ νὰ τύχει τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ, ἡ συγχώρηση τῆς ἀναξιότητάς του καὶ τῆς ἁμαρτωλότητάς του, ἡ συγκάλυψη τῶν ἁμαρτιῶν του κατὰ τὴ ἡμέρα τῆς κρίσης, ἡ κατάκτηση μιᾶς θερμῆς καὶ κατανυκτικῆς προσευχῆς του ὡς τὸ τέλος τοῦ ὕμνου.

διαγωγῆς τε καὶ τιμῆς, δόξης καὶ βασιλείας,
ἀλλ' ὥσπερ νῦν ὁρᾶσθαι μοι κατηξίωσας, Σῶτερ,
οὕτω καὶ μετὰ θάνατον παράσχου μοι σὲ βλέπειν!
Οὐ λέγω πόσον, εὔσπλαγχνε, ἀλλ' εὐμενῶς, εὐσπλάγχνω
ἱλέῳ σου τῷ ὄμματι, ὡς καὶ νῦν καθορᾷς με
καὶ τῆς χαρᾶς σου ἐμπιπλᾷς καὶ γλυκύτητος θείας.
Ναί, ποιητὰ καὶ πλάστα μου, σκέπασόν με χειρί σου,
καὶ μὴ ἐγκαταλίπῃς με, ναί, μὴ μνησικακήσῃς!
Ἀγνωμοσύνην μου πολλήν, Δέσποτα, μὴ σταθμήσῃς,
ἀλλὰ ἀξίωσον κἀμὲ φωτί σου μέχρι τέλους
καὶ τῇ ὁδῷ τῶν ἐντολῶν ἀόκνως πορευθῆναι
καὶ ἐν αὐτῷ σου τῷ φωτὶ τῶν χειρῶν, πανοικτίρμον,
παραθεῖναι τὸ πνεῦμα μου, λυτρούμενος ἐχθρῶν με,
σκότους, πυρός, κολάσεων τῶν αἰωνίων, Λόγε!
Ναί, ὁ πολὺς ἐν οἰκτιρμοῖς, ἄφατος ἐν ἐλέει,
ἀξίωσον εἰς χεῖράς σου παραδοῦναι ψυχήν μου,
καθὼς καὶ νῦν ἐν τῇ χειρὶ τῇ σῇ, Σῶτερ, τυγχάνω!
Μὴ οὖν παρεμποδίσῃ μου τὴν ὁδὸν ἁμαρτία,
μὴ περικόψῃ, μὴ τῆς σῆς ἀποσπάσῃ χειρός με,
ἀλλ' αἰσχυνθήτω ὁ δεινὸς ἄρχων καὶ ψυχοφθόρος
ἐντὸς παλάμης, Δέσποτα, τῆς σῆς ὄντα με βλέπων,
καθὰ καὶ νῦν οὐδὲ τολμᾷ πλησίον μου γενέσθαι
ὁρῶν ὑπὸ τῆς χάριτος τῆς σῆς σκεπόμενόν με!
Μὴ κατακρίνῃς με, Χριστέ, μὴ εἰς ᾅδην ἀπώσῃ,
μὴ καταγάγῃς εἰς βυθὸν θανάτου τὴν ψυχήν μου,
ὅτι τολμῶ τὸ ὄνομα τὸ σὸν κατονομάζειν,
ὁ ῥυπαρός, ὁ μιαρὸς καὶ βέβηλος εἰς ἅπαν·
μὴ χάνῃ γῆ καὶ καταπίῃ με, Λόγε, τὸν παραβάτην,
τὸν μηδὲ ζῆν, μηδὲ λαλεῖν ὅλως ἄξιον ὄντα!
Μὴ πῦρ κατέλθῃ ἐπ' ἐμὲ καὶ ἐκλείξῃ με ἄφνω,
ὡς μὴ Κύριε ἐλέησον! εἰπεῖν συγχωρηθέντα,

---

87. Ἐξ. 33,22. 91. Ψαλμ. 118,32.
93. Λουκᾶ 23,46 καὶ Ψαλμ. 105,10.

νὰ ζήσω καὶ νὰ τιμηθῶ στῆς Βασιλείας τὴ δόξα,
μὰ ὅπως τώρα μ' ἀξίωσες, Σωτήρα, νὰ σὲ βλέπω
ἔτσι καὶ μετὰ θάνατο κάνε με νὰ σὲ βλέπω!
Πόσο δὲ λέω, φιλάνθρωπε, μὰ σπλαχνικά, μ' ἀγάπη
ὅπως καὶ τώρα μὲ ἥμερο ποὺ μὲ κοιτάζεις βλέμμα
καὶ μὲ χαρὰ μὲ πλημμυρᾶς καὶ γλυκύτητα θεία.
Ναί, δημιουργὲ καὶ πλάστη μου, τὸ χέρι σου ἂς μὲ σκέπει,
στιγμὴ νὰ μὴ μ' ἀφήσεις, ναί, νὰ μὴ μνησικακήσεις.
Τὴν πολλὴ ἀχαριστία μου μὴν τὴν μετρήσεις, Κύριε,
μὰ γιὰ τὸ φῶς σου κάνε με ἄξιο καὶ μὲ ὡς τὸ τέλος
κι ἀκούραστα τῶν ἐντολῶν τὸ δρόμο νὰ βαδίσω
καὶ μὲς στὸ φῶς, πανεύσπλαχνε, τῶν ἴδιων τῶν χεριῶν σου
ν' ἀποθέσω τὸ πνεῦμα μου ἀπὸ ὅποιο ἐχθρὸ σωσμένος,
σκότος, φωτιὰ κι αἰώνια βασανιστήρια, Λόγε!
Ναί, ὁ μὲ οἰκτιρμοὺς ἀμέτρητος, κι ἀνείπωτη εὐσπλαχνία,
νὰ παραδώσω τὴν ψυχὴ στὰ χέρια σου ἀξίωσέ με,
ὅπως καὶ τώρα βρίσκομαι στὸ χέρι σου, Σωτήρα!
Ἡ ἁμαρτία τὸ δρόμο μου ἂς μὴν τὸν ἐμποδίσει,
μὴ μ' ἀνακόψει, κι ἀπ' τὸ χέρι σου μὴ μ' ἀποσπάσει,
μὰ ὁ ἄρχοντας ἂς ντροπιαστεῖ ὁ δεινὸς καὶ ψυχοφθόρος,
βλέποντας μὲς στὴ φούχτα σου νὰ μ' ἔχεις, Δέσποτά μου,
ὅπως καὶ τώρα οὔτε τολμᾶ λίγο νὰ μὲ ζυγώσει,
κοιτάζοντας τὴ χάρη σου τὴ θεία νὰ μὲ σκεπάζει.
Μακριὰ ἀπὸ μὲ ἡ κατάκριση, στὸν ἅδη μὴ μὲ σπρώξεις
καὶ στοῦ θανάτου τὸ βυθὸ μὴ ρίξεις τὴν ψυχή μου,
Χριστέ μου, γιατὶ τὄνομα τολμῶ σου ν' ἀναφέρω
ὁ ἀκάθαρτος, ὁ μιαρὸς καὶ βέβηλος ὡς πέρα·
ἂς μὴν ἀνοίξει, Λόγε, ἡ γῆ τὸν παραβάτη ἐμένα
νὰ καταπιεῖ ποὺ δὲν εἶμαι νὰ ζῶ καὶ μιλῶ ἄξιος.
Φωτιὰ μὴν πέσει ἀπάνω μου καὶ ξάφνου μ' ἀφανίσει,
ἀφοῦ τὸ 'Κύριε ἐλέησον' νὰ πῶ δὲν ἤμουν ἄξιος.

---

108. Ψαλμ. 105,17.
110. Γ΄ Βασ. 18,38.

μὴ ὁ πολὺς ἐν οἰκτιρμοῖς, ὁ φιλάνθρωπος φύσει,
μὴ εἰσελθεῖν θελήσειας μετ' ἐμοῦ τοῦ κριθῆναι!
Τί γὰρ καὶ ὅλως φθέγξομαι, ὑπάρχων ἁμαρτία,
τί οὖν καὶ εἴποιμι ποσῶς, ὁ κατακεκριμένος,
ὁ ἐκ κοιλίας μου μητρὸς ἀμέτρητά σοι πταίσας
καὶ μέχρι νῦν ἀναισθητῶν πρὸς σὴν μακροθυμίαν,
ὁ μυριάκις εἰς βυθὸν κατενεχθεὶς τοῦ ᾅδου
κἀκεῖθεν ἀγαθότητι ἀνελκυσθείς σου θείᾳ,
ὁ μέλη καὶ τὰς σάρκας μου ψυχῆς καὶ σώματός τε
καταρρυπώσας, ὡς οὐδεὶς ἄλλος τῶν ἐν τῷ βίῳ,
ὁ μανικὸς τῶν ἡδονῶν ἐραστὴς ἀναίσχυντος
καὶ πονηρὸς καὶ δόλιος τῇ ψυχικῇ κακίᾳ,
ὁ μίαν σου ὅλως, Χριστέ, ἐντολὴν μὴ φυλάξας;
Τί σοι ἀπολογήσομαι, τί δέ σε καὶ προσείπω,
ποίᾳ ψυχῇ βαστάσω σου ἐλέγχους, ὦ Θεέ μου;
Εἰ ἀνομίας τὰς ἐμὰς καὶ τὰς πράξεις γυμνώσεις,
ὦ βασιλεῦ ἀθάνατε, μὴ δείξῃς πᾶσι ταύτας,
ὅτι καὶ φρίττω ἐννοῶν ἔργα νεότητός μου,
τὸ δὲ εἰπεῖν φρίκης μεστόν, ἀνάπλεων αἰσχύνης.
Εἰ γὰρ ταῦτα θελήσειας ἐκκαλύψαι τοῖς πᾶσι,
χεῖρον πάσης κολάσεως ἡ ἐντροπή μου ἔσται.
Τίς γὰρ τὰς ἀσελγείας μου, τίς δὲ τὰς ἀσωτίας,
τίς τοὺς βεβήλους ἀσπασμούς, τίς τὰς αἰσχράς μου πράξεις
ἐν αἷς καὶ νῦν μολύνομαι, ταύτας ἐν νῷ λαμβάνων,
ἰδὼν οὐκ ἐκπλαγήσεται, ἰδὼν ὅλως οὐ φρίξει,
ἰδὼν οὐ κράξει, καὶ εὐθὺς ἀποστραφῇ τὰς ὄψεις
καί· Ἆρον, εἴπει, Δέσποτα, τὸν παμβέβηλον τοῦτον;
Χεῖρας δεθῆναι πρόσταξον καὶ πόδας τοῦ ἀθλίου
καὶ ἐμβληθῆναι εἰς τὸ πῦρ τὸ ζοφῶδες ἐν τάχει,
μὴ καθορᾶται παρ' ἡμῶν τῶν σῶν γνησίων δούλων!
Ὄντως ἀξίως, Δέσποτα, ὄντως δικαίως τοῦτο

---

113. Ψαλμ. 142,2. 116. Πράξ. 3,2.
124. Ματθ. 5,19. 125. Ἰερ. 12,1.

Ἀμέτρητοί σου οἱ οἰκτιρμοὶ κι εὔσπλαχνος κατὰ φύση,
ἀντίδικός μου νὰ σταθεῖς στὴν κρίση μὴ θελήσεις.
Γιατὶ τί θ' ἀπαντήσω ἐγὼ πού 'μαι ἴδια ἡ ἁμαρτία,
τί νὰ ψελλίσω ἐλάχιστο ὁ καταδικασμένος,
ποὺ ἀπ' τὴν κοιλιὰ τῆς μάννας μου τὰ μύρια σοῦ ἔχω φταίξει,
καὶ στὴ μακροθυμία σου κουφὸς ὣς τώρα μένω,
ποὺ στὸ βυθὸ χίλιες φορὲς γκρεμίστηκα τοῦ ἅδη
κι ἡ καλοσύνη σου ἀπὸ κεῖ μ' ἔχει ἀνασύρει ἡ θεία
μὲ ποὺ καταρρύπωσα ψυχὴ μαζὶ καὶ σῶμα,
μέλη καὶ σάρκα, ὅσο κανεὶς ἄλλος μὲς στὴ ζωή μας
τῶν ἡδονῶν ἀναίσχυντος ἐραστὴς μανιώδης
μὲ τὴν ψυχή μου ὁλόγεμη κάθε κακία καὶ δόλο,
Χριστέ, ποὺ μιά σου δὲν ἔχω κὰν ἐντολὴ φυλάξει;
Τί νὰ ἀπολογηθῶ σ' ἐσὲ καὶ τί νὰ σοῦ ἀναφέρω,
τὸν ἔλεγχό σου, Κύριε, μὲ ποιά ψυχὴ ν' ἀντέξω;
Τὶς ἀνομίες μου, Κύριε, ἂν γυμνώσεις καὶ τὶς πράξεις,
ἀθάνατέ μου βασιλιά, νὰ μὴν τὶς δείξεις σ' ὅλους,
φρίκη μὲ πιάνει ἂν στοχαστῶ τῆς νιότης μου τὶς πράξεις
κι εἶναι φριχτὸ καὶ νὰ τὸ πῶ κι εἶναι ντροπὴ γεμάτο.
Γιατί, ἂν θελήσεις ὅλ' αὐτὰ σ' ὅλους νὰ φανερώσεις,
χειρότερη ἀπὸ κόλαση θά 'ναι γιὰ μὲ ἡ ντροπή μου.
Τίς τόσες τὶς ἀσέλγειές μου, τὶς τόσες ἀσωτίες,
τὰ βέβηλα ἀγκαλιάσματα, τὶς πράξεις τῆς ντροπῆς μου,
ποὺ ἀκόμα ἂν ἀναλογιστῶ καὶ τώρα μὲ μολύνουν,
δὲ θὰ ἐκπλαγεῖς ὅταν τὶς δεῖς, δὲ θὰ γεμίσεις φρίκη,
δὲ θὰ φωνάξεις στρέφοντας εὐθὺς τὸ πρόσωπό σου
καί, Δέσποτά μου, δὲ θὰ πεῖς, 'Πάρτε τὸ μίασμα τοῦτο';
Χέρια καὶ πόδια πρόσταξε νὰ μοῦ δεθοῦν τοῦ δόλιου
καὶ νὰ μὲ ρίξουν στὴ φωτιὰ τὴ ζοφερὴ μὲ βιάση,
μπροστά τους νὰ μὴ μὲ θωροῦν οἱ δοῦλοι σου οἱ γνήσιοι.
Ὁλάξια ὁ ἴδιος, Δέσποτα, κι ἀλήθεια δίκαια τοῦτο

---

129. Ψαλμ. 24,7. 139. Ματθ. 22,13.
140. Λουκᾶ 12,5.

κἀκεῖνοι πάντες φθέγξονται καὶ σὺ αὐτὸς ποιήσεις,
καὶ εἰς τὸ πῦρ βληθήσομαι, ὁ ἄσωτος καὶ πόρνος.
Ἀλλ', ὁ ἀσώτους κατελθὼν καὶ πόρνους σὺ τοῦ σῶσαι,
μὴ καταισχύνῃς με, Χριστέ, ἐν ἡμέρᾳ τῆς δίκης,
ὅτε τὰ πρόβατα τὰ σὰ ἐκ δεξιῶν σου στήσεις
κἀμὲ καὶ τὰ ἐρίφια ἐκ τῶν ἀριστερῶν σου,
ἀλλὰ τὸ φῶς τὸ ἄχραντον, τὸ φῶς τοῦ σοῦ προσώπου
τὰ ἔργα καλυψάτω μου καὶ γύμνωσιν ψυχῆς μου
καὶ στολισάτω με φαιδρῶς, ἵνα ἐν παρρησίᾳ
ἀνεπαισχύντως δεξιοῖς καταλεγῶ προβάτοις
καὶ σὺν αὐτοῖς δοξάσω σε εἰς αἰῶνας αἰώνων!
Ἀμήν.

κι αὐτοὶ ὅλοι φωνάζουνε κι ὁ ἴδιος θὰ τὸ κάνεις
καὶ στὴ φωτιὰ ἐγὼ ὁ ἄσωτος θὰ πεταχτῶ καὶ πόρνος.
Μὰ ἐσὺ πού ᾿ρθες τοὺς ἄσωτους νὰ σώσεις καὶ τοὺς πόρνους,
μὴ μὲ ντροπιάσεις, ὦ Χριστέ, στῆς κρίσης μου τὴ μέρα,
ὅταν δεξιὰ τὰ πρόβατα ὅλα σου θὰ μαζέψεις
κι ἐμένα μὲ τὰ ἐρίφια θὰ βάλεις στὰ ζερβά σου,
ἀλλὰ τὸ φῶς σου τὸ ἄχραντο τοῦ θείου σου προσώπου
ἂς μοῦ σκεπάσει τὰ ἔργα μου, τὴ γύμνια τῆς ψυχῆς μου,
κι ἂς μοῦ φορέσει ὁλόλαμπρη στολή, κι ἔτσι μὲ θάρρος
χωρὶς ντροπὴ νὰ μετρηθῶ στὰ πρόβατα δεξιά σου,
τὴ δόξα διαλαλώντας σου στοὺς αἰῶνες τῶν αἰώνων.
᾿Αμήν.

145. Ματθ. 18,10.
146. Ψαλμ. 118,31.
147. Ματθ. 25,32.
150. Ψαλμ. 84,2.

ΚΣΤ

Ὅτι ὁ ἐν ἀγνωσίᾳ Θεοῦ ἔτι ζῶν νεκρός ἐστι μέσον τῶν ζώντων ἐν γνώσει Θεοῦ καὶ ὅτι τοῖς ἀναξίως τῶν μυστηρίων μεταλαμβάνουσιν ἄληπτον τὸ θεῖον σῶμα καὶ αἷμα τοῦ Κυρίου γίνεται.

Νῦν ἐν τοῖς ζῶσιν ὡς νεκρός, ὦ Δέσποτα, ὑπάρχω
καὶ ἐν νεκροῖς ὡς ζῶν εἰμι, ἄθλιος ὑπὲρ πάντας
ἀνθρώπους τοὺς ἐπὶ τῆς γῆς, οὓς ἔκτισας, Θεέ μου.
Τὸ γὰρ νεκρὸν ὑπάρχειν με ἐν τοῖς κατά σε ζῶσι
τῶν μὴ κτισθέντων χείρω με ἀποδείκνυσι πάντως,
τὸ δ' ἐν νεκροῖς τὴν ἄλογον ζωὴν ζῆν ὡς τὰ κτήνη
τῶν μὴ εἰδότων σε Θεὸν ὅμοιον ὄντως πέλει.
Πῶς γὰρ οὐκ ἔστιν ὅμοιον, πῶς δὲ οὐκ ἔστιν ἴσον;
Εἰ καὶ δοκῶ εἰδέναι σε, εἰ καὶ δοκῶ πιστεύειν,
εἰ καὶ δοκῶ σε ἀνυμνεῖν καὶ σὲ ἐπικαλεῖσθαι–
καὶ γὰρ λαλεῖ τὸ στόμα μου λόγους, οὓς ἐδιδάχθην,
καὶ ὕμνους ᾄδω καὶ εὐχάς, ἃς ἐγγράφως οἱ πάλαι
τὸ Πνεῦμα σου τὸ ἅγιον ἐξέθεντο λαβόντες,–
καὶ λέγων ταῦτα καὶ δοκῶν μέγα τι πεπραχέναι
ἀναισθητῶ καὶ ἀγνοῶ, ὅτι ὥσπερ οἱ παῖδες
μανθάνοντες οὐκ ἴσασι τὴν δύναμιν τῶν λόγων,
οὕτω κἀγὼ ταῖς προσευχαῖς καὶ ψαλμοῖς τε καὶ ὕμνοις
ἐγκαρτερῶν καὶ ἀνυμνῶν σὲ τὸν εὔσπλαγχνον μόνον,
τῆς σῆς δόξης καὶ τοῦ φωτὸς αἴσθησιν οὐ λαμβάνω,
καὶ ὥσπερ οἱ αἱρετικοί, οἱ πολλὰ ἐκμαθόντες,

---

2. Ἰωβ. 5,10. 12. Ἐφ. 5,19.

26

Ὅποιος ἀγνοεῖ τὸ Θεὸ εἶναι νεκρός, ἐνῶ ζεῖ ἀκόμα, ἀνάμεσα σὲ ὅποιους ζοῦν μὲ γνώση τοῦ Θεοῦ. Καὶ ὅποιοι κοινωνοῦν ἀνάξια τὰ μυστήρια δὲν παίρνουν τὸ θεῖο σῶμα καὶ τὸ αἷμα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ.

Κύριε, ὡς νεκρὸς στοὺς ζωντανοὺς ἀνάμεσα γυρίζω,
τώρα καὶ μέσα στοὺς νεκροὺς εἶμαι, πιὸ ἀπ' ὅλους ἄθλιος
ὅσοι ἄνθρωποι εἶναι ἐπὶ τῆς γῆς ὁποὺ ἔπλασες σύ, Θεέ μου.
Γιατὶ ὡς νεκρὸς μέσ' σ' ὅσους ζοῦν κατὰ τὸ θέλημα σου
νὰ περπατῶ χειρότερο ἀπὸ ἄκτιστους μὲ δείχνει,
καὶ τὸ νὰ ζῶ μὲς στοὺς νεκροὺς ζωὴ ἄλογη ὡς τὰ κτήνη
εἶναι ὅμοια ἀλήθεια αὐτὴ ἡ ζωὴ μὲ ὅσων τὸ Θεὸ δὲν ξέρουν.
Γιατὶ πῶς δὲν εἶναι ὅμοια καὶ πῶς δὲν εἶναι ἴδια;
Ὅτι σὲ ξέρω ναί, θαρρῶ μὰ κι ὅτι σὲ πιστεύω
κι ἐσένα ὅτι ἀνυμνῶ θαρρῶ κι ἐσένα ἐπικαλοῦμαι
–Τοὺς λόγους ποὺ διδάχτηκα τὸ στόμα μου ἐκφράζει
καὶ ψάλλω καὶ προσεύχομαι καθὼς μᾶς ἔχουν γράψει
οἱ παλαιοὶ σὰν ἔλαβαν τὸ ἅγιο σου τὸ Πνεῦμα–
καὶ τοῦτα ὡς λέγω καὶ θαρρῶ ποὺ ἔπραξα κάτι μέγα
δὲ νιώθω κι οὔτε αἰσθάνομαι πῶς σὰν τὰ μαθητούδια
καθὼς μαθαίνουν ἀγνοοῦν τὴ δύναμη τῶν λόγων,
ἔτσι κι ἐγὼ ἐπιμένοντας στὶς προσευχές, στοὺς ὕμνους
καὶ στοὺς ψαλμοὺς καὶ μόνο ἐσὲ τὸν εὔσπλαχνο ἀνυμνώντας
τὴ δόξα ὡστόσο καὶ τὸ φῶς δὲ νιώθω τὸ δικό σου.
Κι ὅμοια καθὼς οἱ αἱρετικοὶ πολλὰ ποὺ ἔχουνε μάθει,

13. Πράξ. 19,2. 17. Ἐφ. 5,19.

ἐδόκουν τοῦ εἰδέναι σε, ἐδόκουν σε γινώσκειν,
ἐδόκουν οἱ πανάθλιοι καὶ βλέπειν σε, Θεέ μου,
οὕτω κἀγὼ πολλὰς εὐχὰς καὶ πολλὰς ψαλμῳδίας
λαλῶν ἐν μόνῃ γλώσσῃ μου, ἴσως δὲ καὶ καρδίᾳ,
ἐκ τούτων τὸ τῆς πίστεως ἄκρον ἔχειν νομίζω,
ἐκ τούτων τὴν ἐπίγνωσιν πᾶσαν τῆς ἀληθείας
οἴομαι τὸ καταλαβεῖν καὶ μηδὲν πλέον χρῄζειν·
ἐκ τούτων καὶ τὸ βλέπειν σε, τὸ φῶς τοῦ κόσμου, Σῶτερ
ἐκ τούτων καὶ κατέχειν σε καὶ συνεῖναί μοι λέγω
καὶ συμμετέχειν φύσεως τῆς θείας σου νομίζω,
καὶ κατ' ἐμοῦ παραβολὰς ἐφευρίσκω καὶ λόγους
ἀνερευνῶν ἐκ τῆς γραφῆς προβάλλομαι καὶ λέγω·
Ὁ Κύριος τοὺς τρώγοντας εἶπεν αὐτοῦ τὴν σάρκα
καὶ τοὺς τὸ αἷμα πίνοντας ἐν αὐτῷ καταμένειν,
ἀλλὰ καὶ κατοικεῖν αὐτὸς ἐν αὐτοῖς ὁ Δεσπότης.
Τοῦτο οὖν λέγων ὡς ληπτὸν τὸν ἄληπτον κηρύττω,
ἐν τῷ ληπτῷ τοῦ σώματος τὸν ἄληπτον ὑπάρχειν,
καὶ κρατητὸν καὶ ὁρατὸν τὸν ἀκράτητον πάντῃ.
Καὶ ἀγνοῶ, ὁ δυστυχής, ὅτι ἐν οἷς ἂν θέλῃς,
τῷ αἰσθητῷ καὶ κρατητῷ καὶ ὁρατῷ ὑπάρχεις,
αἰσθητός τε καὶ κρατητὸς καὶ ὁρατός, ὁ κτίστης.
Ἐν ἀκαθάρτοις δ' ὡς ἐγὼ καὶ ἀναξίοις μᾶλλον
θεοποιεῖς τὸ αἰσθητὸν σῶμα σοῦ τε καὶ αἷμα
καὶ παντελῶς ἀκράτητον, ἄληπτόν τε εἰς ἅπαν
ἀναλλοιώτως ἀλλοιοῖς, μᾶλλον δ' ἐν ἀληθείᾳ
πνευματικὸν μεταποιεῖς, ἀόρατον, ὡς πάλαι
συγκεκλεισμένων τῶν θυρῶν εἰσῆλθες καὶ ἐξῆλθες
καὶ ἄφαντος ἐξ ὀφθαλμῶν ἐν τῇ κλάσει τοῦ ἄρτου
ἐγένου σὺ τῶν μαθητῶν, οὕτω καὶ νῦν τὸν ἄρτον
ἀποτελεῖς καὶ σῶμά σου πνευματικὸν ἐργάζῃ.

---

24. Ἐφ. 5,19. 26. Τίτ. 1,1.
28. Ἰω. 8,12. 30. Β' Πέτρ. 1,4.
33. Ἰω. 6,36 ἑ. 47. Ἰω. 20,19.
48. Λουκᾶ 24,30. 50. Α' Κορ. 10,3.

πίστευαν πὼς σὲ γνώριζαν, πίστευαν πὼς σὲ ξέρουν,
πίστευαν οἱ πανάθλιοι, Θεέ μου, καὶ πὼς σὲ βλέπουν,
κι ἐγὼ ἔτσι λέγοντας προσευχὲς καὶ ψαλμωδίες πλῆθος
μονάχα μὲ τὴ γλώσσα μου κι ἴσως μὲ τὴν καρδιά μου,
μὲ τοῦτα νόμιζα ἔφτασα στὴν κορυφὴ τῆς πίστης,
μὲ τοῦτα πὼς ἀπόχτησα τὴ γνώση τῆς ἀλήθειας
ὁλόκληρης καὶ τίποτα δὲν ἔχω πλέον ἀνάγκη·
μὲ τοῦτα καὶ πῶς σὲ θωρῶ, Σωτήρα, φῶς τοῦ κόσμου,
μὲ τοῦτα καὶ πὼς σὲ κρατῶ καὶ λέω εἶμαι μαζί σου
καὶ πὼς στὴ θεία φύση σου νομίζω συμμετέχω,
ἐφευρίσκω παραβολὲς γιὰ χάρη μου καὶ λόγους
ψάχνοντας μέσα στὴ Γραφὴ ἰσχυρίζομαι καὶ λέγω·
Ὁ Κύριος εἶπε ὅτι ὅσοι τρῶν τὴ σάρκα του κι ὅτι ὅσοι
τὸ τίμιο πίνουν αἷμα του μένουν σ' ἐκεῖνον μέσα,
ἀλλὰ κι ὁ ἴδιος κατοικεῖ σ' ἐκείνους ὁ Δεσπότης.
Μὲ τοῦτο διαλαλῶ ὅτι νοῶ αὐτὸν ποὺ δὲν νοεῖται
καὶ πῶς ὑπάρχει ὁ ἀσύλληπτος στὸ σῶμα αὐτὸ ποὺ πιάνω
καὶ πῶς θωρῶ καὶ πῶς κρατῶ αὐτὸν ποὺ δὲν κρατιέται.
Καὶ δὲ γνωρίζω, ὁ δύστυχος, ὅτι σ' αὐτοὺς ποὺ θέλεις,
σ' ὅσους κρατιοῦται, νιώθονται κι ὅσους θωριοῦνται ὑπάρχεις,
ὁ κτίστης καὶ σ' αἰσθάνονται καὶ σὲ κρατοῦν σὲ βλέπουν.
Ἀλλὰ γιὰ τοὺς ἀκάθαρτους ὅπως ἐγὼ κι ἀνάξιους
θεοποιεῖς τὸ αἰσθητὸ τὸ σῶμα σου καὶ τὸ αἷμα
κι ἀκράτητον ὁλότελα κι ἀσύλληπτον ὡς πέρα
τὸ ἀλλάζεις ἀμετάβλητα καὶ πιὸ καλὰ στ' ἀλήθεια
τὸ ἀλλάζεις σὲ πνευματικὸ κι ἀόρατο σὰν τότε
ποὺ μὲ ὁλόκλειστες τὶς θύρες μπῆκες βγῆκες
καὶ στοῦ ψωμιοῦ τὸ κόψιμο ἀπὸ τῶν μαθητῶν σου
τὰ μάτια ἔγινες ἄφαντος, ἔτσι καὶ τώρα κάνεις
τὸ ψωμὶ τοῦτο νὰ γινεῖ πνευματικό σου σῶμα.

23–25. Ὁ ποιητὴς διαπιστώνει ὅτι μὲ τὶς πολλὲς προσευχὲς ἢ ψαλμωδίες δὲν ἐπιτυγχάνεται ἡ ἀκρότητα τῆς πίστης, ἐνῶ σὰν μικρὸς μαθητὴς ἀγνοεῖ τὸ νόημα ὅσων διαβάζει.

Κἀγὼ δοκῶ κατέχειν σε, κἂν θέλῃς, κἂν μὴ θέλῃς,
καὶ κοινωνῶν τῆς σῆς σαρκὸς καὶ σοῦ μεταλαμβάνειν
νομίζω καὶ διάκειμαι ὡς ἅγιος, Χριστέ μου,
καὶ κληρονόμος τοῦ Θεοῦ καὶ σὸς συγκληρονόμος
καὶ ἀδελφὸς καὶ μέτοχος δόξης τῆς αἰωνίου.
Ἐκ τούτου τοίνυν δείκνυμαι ἀναισθητῶν εἰς ἅπαν,
ἐκ τούτου πάντως φαίνεται ἀγνοεῖν με, ἃ ψάλλω,
καὶ ἃ λαλῶ καὶ ἃ ἀεὶ μελετῶ τε καὶ ᾄδω.
Εἰ γὰρ ὅλως ἐγίνωσκον, εἶχον πάντως εἰδέναι,
ὅτι ἀτρέπτως ἄνθρωπος ἐγένου, ὁ Θεός μου,
ἵνα τὸν προσληφθέντα με ὅλον θεοποιήσῃς,
οὐχὶ δὲ ἵνα ἄνθρωπος σὺ παχύτητι μείνῃς
καὶ κρατηθῇς ἐν τῇ φθορᾷ, ὁ ἀκράτητος πάντῃ,
ὁ ἄφθαρτος καὶ ἄληπτος φύσει Θεὸς ὑπάρχων.
Τοῦτο εἰδώς, ὡς ἄληπτον τὸ σῶμά σου τὸ θεῖον
καὶ αἷμά σου τὸ ἅγιον πιστεύων γεγενῆσθαι
καὶ πῦρ ὄντως ἀπρόσιτον ἐμοὶ τῷ ἀναξίῳ,
φρίκῃ καὶ φόβῳ, τρόμῳ τε τούτων ἂν ἐκοινώνουν,
ἐν δάκρυσι καὶ στεναγμοῖς ἐμαυτὸν προκαθαίρων.
Νῦν δὲ ἐν σκότει κάθημαι καὶ ἀγνοίᾳ πλανῶμαι,
ἀναισθησίᾳ παντελεῖ κρατούμενος ὁ τάλας.
Ἀλλ' ὅμως ἱκετεύω σε, ὅμως ἐκδυσωπῶ σε,
προσπίπτων καὶ παρακαλῶν καὶ ζητῶν σου τὸ ἔλεος·
Ἐπίβλεψον ὡς πάντοτε καὶ νῦν, παμβασιλεῦ μου,
δεῖξον τὴν εὐσπλαγχνίαν σου, δεῖξον τὸ συμπαθές σου,
δεῖξον τὸ ἀμνησίκακον εἰς ἐμὲ τὸν τελώνην,
μᾶλλον δὲ τὸν πανάσωτον, τὸν ὑπὲρ πᾶσαν φύσιν
ἀλόγων τε καὶ λογικῶν εἰς σὲ ἐξαμαρτόντα!
Εἰ γὰρ καὶ πάντα πέπραχα ἄνομα ἐν τῷ βίῳ,
ἀλλὰ Θεόν σε, ποιητὴν ὁμολογῶ τῶν πάντων,

---

54. Ρωμ. 8,17.
70. Ψαλμ. 106,10 καὶ Ματθ. 22,29.

Καὶ νιώθω ἐγὼ πὼς σὲ κρατῶ, τὸ θέλεις δὲν τὸν θέλεις,
κι ὡς κοινωνῶ τὴ σάρκα σου, θαρρῶ μεταλαμβάνω
κι ἐσένα καὶ σὰν ἅγιος νιώθω, Χριστέ, πὼς εἶμαι
καὶ κληρονόμος, τοῦ Θεοῦ μ' ἐσὲ συγκληρονόμος,
κι εἶμαι ἀδελφὸς καὶ μέτοχος τῆς δόξας τῆς αἰώνιας.
Αὐτὰ ὅλα ποὺ ἀναίσθητος δείχνουν πὼς εἶμαι ὡς πέρα
καὶ ἀπὸ τοῦτα ὅτι ἀγνοῶ φαίνεται αὐτὰ ποὺ ψάλλω
καὶ ὅσα λέω καὶ μελετῶ καὶ τραγουδῶ συνέχεια.
Μικρὴ κι ἂν εἶχα γνώση ἐγὼ θὰ ἤξερα ὅσο νά 'ναι
πὼς ἔγινες χωρὶς τροπὴ ἄνθρωπος σὺ ὁ Θεός μου,
γιὰ νὰ μὲ κάνεις ὅλο θεὸν ἐμὲ ποὺ ἔχεις προσλάβει,
κι ὄχι νὰ μείνεις ἄνθρωπος ἐσὺ μέσα στὴν ὕλη,
νὰ κρατηθεῖς μὲς στὴ φθορὰ ἐσὺ ποὺ δὲν κρατιέσαι,
ὁ ἄφθαρτος σὺ κι ὁ ἀσύλληπτος Θεὸς κατὰ τὴ φύση.
Ἂν τὸ ἤξερα πιστεύοντας πὼς ἄπιαστο ἔχει γίνει
τὸ θεϊκὸ τὸ σῶμα σου καὶ τὸ αἷμα σου τὸ ἅγιο
κι ἀλήθεια ἀνέγγιχτη φωτιὰ γιὰ μένα τὸν ἀνάξιο,
θὰ κοινωνοῦσα τρέμοντας μὲ φόβο καὶ μὲ φρίκη,
μὲ δάκρυα καὶ μὲ στεναγμοὺς πλύνοντας τὸν ἑαυτό μου.
Τώρα στὸ σκότος κάθομαι καὶ στὴν ἄγνοια πλανιέμαι
κι ἀναισθησία ὁλότελα τὸ δόλιο μὲ κατέχει.
Μὰ νά, ποὺ σὲ παρακαλῶ καὶ νὰ ποὺ σὲ ἱκετεύω,
σωριάζομαι στὰ πόδια σου τὸ ἔλεός σου ζητώντας,
παμβασιλιά μου, ἐπίβλεψε καὶ τώρα ὅπως καὶ πάντα,
δεῖξε τὴν καλοσύνη σου καὶ τὴ συμπάθειά σου,
δεῖξε πόσο ἀμνησίκακος σ' ἐμὲ εἶσαι τὸν τελώνη,
ἢ κάλλιο τὸν πανάσωτο ποὺ πάνω ἀπ' ὅλα τὰ ὄντα
μαζὶ ἄλογα καὶ λογικὰ σὲ σένα ἔχω ἁμαρτήσει.
Κάθε ἀνομία στὴ ζωὴ γιατὶ κι ἂν ἔχω πράξει,
ὡστόσο Θεό μου καὶ ποιητὴ σὲ ὁμολογῶ τῶν πάντων,

56. Ἄλλη διαπίστωσή του εἶναι ὅτι ἡ ἔλλειψη κατανόησης καὶ ἡ πλάνη ὅτι κατέχει τὸ Λόγο ποὺ τὸν διακρίνει ὀφείλεται στὴν ἀκαθαρσία του.

72. Μετὰ τὴν ὁμολογία τῆς τέλειας ἀναξιότητάς του, ἐπακολουθεῖ ἡ ἱκεσία, ἡ ἐκδυσώπηση καὶ ἡ αἴτηση τοῦ ἐλέους τοῦ Θεοῦ.

Θεοῦ Υἱόν σε, τοῦ Θεοῦ ὁμοούσιον σέβω,
τὸν γεννηθέντα ἐξ αὐτοῦ πρὸ πάντων τῶν αἰώνων
καὶ ἐπ' ἐσχάτων τῶν καιρῶν ἐξ ἁγίας Παρθένου,
τῆς θεοτόκου Μαριὰμ γεννηθέντα ὡς βρέφος
καὶ γεγονότα ἄνθρωπον, δι' ἐμέ τε παθόντα
καὶ σταυρωθέντα καὶ ταφῇ, Σῶτερ, παραδοθέντα
καὶ ἀναστάντα ἐκ νεκρῶν μετὰ τρίτην ἡμέραν
καὶ ἀνελθόντα ἐν σαρκί, ὅθεν οὐκ ἐχωρίσθης.
Οὕτως οὖν με πιστεύοντα, οὕτω σε προσκυνοῦντα
καὶ πάλιν σε ἐλπίζοντα ἐλθεῖν καὶ κρῖναι πάντας
καὶ ἀποδοῦναι ἑκάστῳ, Χριστέ, τὰ κατ' ἀξίαν,
ἡ πίστις ἀντὶ ἔργων μοι λογισθήτω, Θεέ μου,
καὶ μὴ ζητήσῃς ἔργα με ὅλως τὰ δικαιοῦντα,
ἀλλὰ ἡ πίστις μοι αὕτη ἀντὶ πάντων ἀρκέσει.
Αὕτη ἀπολογήσεται, αὕτη με δικαιώσει,
αὕτη με δείξει κοινωνὸν δόξης σου αἰωνίου.
«Ὁ γὰρ πιστεύων», εἴρηκας, «εἰς ἐμέ», ὦ Χριστέ μου,
«ζήσεται καὶ οὐκ ὄψεται θάνατον εἰς αἰῶνας».
Εἰ οὖν ἡ πίστις ἡ εἰς σὲ ἀπεγνωσμένους σῴζει,
ἰδού, πιστεύω, σῶσόν με λάμψας φῶς σου τὸ θεῖον,
καὶ τὴν ἐν σκότει μου ψυχὴν καὶ σκιᾷ τοῦ θανάτου
κατεχομένην, Δέσποτα, ἐπιφανεὶς φωτίσῃς!
Δὸς δέ μοι καὶ κατάνυξιν, πόμα τὸ ζωηρόν σου,
πόμα πιαῖνόν μου σαρκὸς καὶ ψυχῆς τὰς αἰσθήσεις,
πόμα εὐφραῖνόν με ἀεὶ καὶ ζωήν μοι παρέχον,
οὗ μὴ στερήσῃς με, Χριστέ, τὸν ταπεινὸν καὶ ξένον,
τὸν τὰς ἐλπίδας ἐπὶ σὲ πάσας ἀναθέμενον!

γιὸ τοῦ Θεοῦ καὶ μὲ τὸ Θεὸ σὲ προσκυνῶ ὁμοούσιο,
ὁποὺ ἐγεννήθης ἀπ' αὐτὸν πρὸ πάντων τῶν αἰώνων
καὶ ποὺ στὸ τέλος τοῦ καιροῦ ἀπ' τὴν ἁγία Παρθένα,
τὴ θεοτόκο Μαριὰμ γεννήθηκες σὰν βρέφος,
ἔγινες ἄνθρωπος σωστὸς μὰ κι ἔπαθες γιὰ μένα,
σταυρώθηκες καὶ στὴν ταφή, Σωτήρα, παραδόθης,
ἀφοῦ τὴν τρίτη ἀπ' τοὺς νεκροὺς τὴν μέραν ἀναστήθης,
καὶ μὲ τὴ σάρκα ἀνέβηκες ὅπου δὲν εἶχες λείψει.
Αὐτὰ λοιπὸν πιστεύοντας καὶ προσκυνώντας σε ἔτσι
καὶ πάλι ἐλπίζοντας νὰ ρθεῖς γιὰ νὰ μᾶς κρίνεις ὅλους
καὶ στὸν καθένα μας Χριστὲ νὰ δώσεις ὅ,τι ἀξίζει,
τὴν πίστη μου λογάριασε κι ὄχι τὶς πράξεις, Θεέ μου,
καὶ μὴ γυρέψεις ἀπὸ ἐμὲ τὰ ἔργα ποὺ δικαιώνουν,
ἀλλὰ μονάχα ἡ πίστη μου γιὰ ὅλα αὐτὰ ἂς σοῦ φτάσει,
ἡ πίστη θ' ἀπολογηθεῖ κι αὐτὴ θὰ μὲ δικαιώσει
καὶ θὰ μὲ δείξει κοινωνὸ τῆς αἰωνίας σου δόξας.
Γιατί, Χριστέ, μᾶς ἔχεις πεῖ «σ' ἐμένα ὅποιος πιστεύει
θὰ ζήσει καὶ δὲ θὰ γευτεῖ θάνατο στοὺς αἰῶνες».
Κι ἂν σώζει ἡ πίστη πρὸς ἐσὲ τὸν κάθε ἀπελπισμένο,
ἰδού, πιστεύω, σῶσε με, τὸ θεῖο σου φῶς σκορπώντας
καὶ τὴν ψυχή μου αἰχμάλωτη στὸ σκότος καὶ τοὺς ἴσκιους
τοῦ ἅδη, ἔλα, Δέσποτα, φάνου καὶ φώτισέ την.
Δῶσε μου τὴν κατάνυξη, πιοτὸ ποὺ ζωντανεύει,
πιοτὸ ποὺ σάρκας καὶ ψυχῆς τὶς αἰσθήσεις πλουτίζει,
πιοτὸ ποὺ πάντα εὐφραίνει με καὶ ζωὴ μοῦ παρέχει.
Μὴ μὲ στερήσεις ἀπ' αὐτό, φτωχὸ καὶ ξένο ἐμένα,
ποὺ ἔχω τὶς ἐλπίδες μου σ' ἐσὲ ὅλες ἀναθέσει.

---

91. Ματθ. 16,27. 93. Ἰακ. 2,24.
94. Ρωμ. 3,28. 96. Α' Πέτρ. 5,1.
97. Ἰω. 11,25 ἑ. 99. Ματθ. 9,22.
101. Ἠσ. 9,1 καὶ Ψαλμ. 106,10. 107. Ψαλμ. 77,7.

ΚΖ

Ὁποῖον δεῖ εἶναι τὸν μοναχόν, καὶ τίς ἡ ἐργασία καὶ τίς ἡ τούτου προκοπὴ καὶ ἀνάβασις.

Ἀπέργασαι παλάτιον τὸν τῆς ψυχῆς σου οἶκον,
εἰς κατοικίαν τῷ Χριστῷ καὶ βασιλεῖ τῶν ὅλων
δακρύων ταῖς ρανίσι σου, ὀλολυγμοῖς καὶ θρήνοις
καὶ τῶν γονάτων κάμψεσι καὶ στεναγμῶν τῷ πλήθει,
εἰ ἀληθῶς, ὦ μοναχέ, μονάζων εἶναι θέλεις.
Καὶ τότε οὐ μονάζων ἦς, τῷ βασιλεῖ συνῆς γὰρ
καὶ ἦς μονάζων καθ' ἡμᾶς, ὡς ἐξ ἡμῶν ὑπάρχων
καὶ χωρισθεὶς κόσμου παντός· τοῦτο μονάζων πάντως.
Τῷ δὲ Θεῷ καὶ βασιλεῖ ἑνωθεὶς οὐ μονάζων,
ἀλλὰ ἁγίων γέγονας συναρίθμιος πάντων,
ἀγγέλων ὁμοδίαιτος καὶ σύνοικος δικαίων
καὶ πάντων τῶν ἐν οὐρανῷ συγκληρονόμος ὄντως.
Πῶς οὖν μονάζων ὁ ἐκεῖ τὸ πολίτευμα ἔχων,
ἔνθα ἐστὶν ὁμήγυρις μαρτύρων καὶ ὁσίων,
ἔνθα χορὸς τῶν προφητῶν καὶ θείων ἀποστόλων,
ἔνθα ἡ ἀναρίθμητος πληθύς, ἡ τῶν δικαίων,
ἱεραρχῶν, πατριαρχῶν καὶ τῶν λοιπῶν ἁγίων;
Ὁ δὲ καὶ ἔχων τὸν Χριστὸν ἐν ἑαυτῷ οἰκοῦντα,
πῶς μόνος εἶναι λέγεσθαι δύναται, εἴπατέ μοι;
Τῷ γὰρ Χριστῷ μου σύνεστιν ὁ Πατὴρ καὶ τὸ Πνεῦμα
καὶ πῶς μονάζων, ὁ τρισὶ συνημμένος ὡς ἑνί;
Οὐκ ἔστι μόνος ὁ Θεῷ ἑνωθείς, κἂν μονάζῃ,
κἂν ἐν ἐρήμῳ κάθηται, κἂν ἐν σπηλαίῳ ἔστιν·

---

13. Φιλ. 3,20. 2. Ἐφ. 3,17. 10. Ἐφ.2,19.
16. Ἀποκ. 7,9. 18. Β' Κορ. 6,16. 22. Ἰω. 8,16.

27

Ποιός πρέπει νὰ εἶναι ὁ μοναχός, ποιό τὸ ἔργο του καὶ ποιά ἡ προκοπὴ καὶ ἄνοδός του.

Παλάτι χτίσε κι ὕψωσε τὸ σπίτι τῆς ψυχῆς σου
νὰ μείνει μέσα του ὁ Χριστὸς ὁ βασιλιὰς τῶν ὅλων,
δάκρυ τὸ δάκρυ στάζοντας, μ' ὀλολυγμοὺς καὶ θρήνους,
μ' ἀναστενάγματα πολλὰ καὶ κλίσεις τῶν γονάτων,
στ' ἀλήθεια ἂν θέλεις, μοναχέ, ζωὴ μοναχοῦ νὰ ζήσεις.
Δὲ θά 'σαι μόνος σου μὰ μὲ τὸ βασιλέα
καὶ θὰ 'σαι μοναχὸς γιὰ μᾶς, ἀφοῦ χώρια ἀπ' τὸν κόσμον
ὁλόκληρο μακριά μας ζεῖς μοναχὸς ὄντας γνήσιος
Μὰ σὰν ἑνώθης μὲ τὸ Θεὸ καὶ βασιλιά, δὲν εἶσαι
μόνος, ἀλλὰ στὸν ἀριθμὸ μετριέσαι τῶν ἁγίων,
ἀγγέλων ὁμοδίαιτος, συγκάτοικος δικαίων
κι ὅλων στὸν οὐρανὸ ὅσοι ζοῦν συγκληρονόμος γνήσιος.
Πῶς εἶναι μοναχὸς λοιπὸν αὐτὸς ποὺ ζεῖ ἐκεῖ πάνω,
ὅπου τῶν ὅσιων ὁ χορὸς εἶναι καὶ τῶν μαρτύρων,
ὅπου ὁ χορὸς τῶν προφητῶν, τῶν θείων ἀποστόλων,
ὅπου εἶναι τὸ ἀναρίθμητο τὸ πλῆθος τῶν δικαίων,
τῶν ἱεραρχῶν, τῶν πατριαρχῶν, καὶ τῶν λοιπῶν ἁγίων;
Μὰ ὅποιος φτάσει τὸ Χριστὸ νά 'χει ἔνοικό του μέσα,
πέστε, πῶς εἶναι δυνατὸ νὰ ποῦμε ὅτι εἶναι μόνος;
Μὲ τὸ Χριστό μου εἶναι μαζί, ὁ Πατέρας καὶ τὸ Πνεῦμα
κι ὅποιος σὰν μὲ ἕνα μὲ τοὺς τρεῖς δεθεῖ πῶς εἶναι μόνος;
Μόνος δὲν εἶναι ὁ μοναχὸς μὲ τὸ Θεὸ ἑνωμένος,
στὴν ἔρημο κι ἂς κάθεται κι ἂς ζεῖ μέσα σὲ σπήλαιο·

---

13. Ὁ μοναχὸς δὲν εἶναι μόνος, ἀφοῦ ζεῖ στὸν οὐρανὸ ὅπου εἶναι ἡ ὁμήγυρη τῶν ἁγίων, ἀλλὰ κυρίως ἀφοῦ ἔχει μέσα τόυ τὸ Χριστό.

εἰ δὲ μὴ τοῦτον εὕρηκεν, εἰ δὲ μὴ τοῦτον ἔγνω,
εἰ δὲ μὴ τοῦτον ἔλαβεν ὅλον τὸν σαρκωθέντα
Θεὸν Λόγον, οὐ γέγονε μοναχός, οἴμοι, ὅλως.
Ὅθεν καὶ μόνος ἐστὶ τοῦ Θεοῦ κεχωρισμένος οὗτος,
ἀλλὰ καὶ ὁ καθεὶς ἡμῶν ἐσμὲν κεχωρισμένοι
ἀνθρώπων ἄλλων πάντως γε
καὶ ὀρφανοὶ δὲ ἅπαντες μεμονωμένοι ὦμεν,
εἰ καὶ δοκοῦμεν ἕνωσιν τῇ συνοικήσει ἔχειν
καὶ μετ' ἀλλήλων μίγνυσθαι τῇ τῶν πολλῶν συνάξει.
Ψυχῇ γὰρ καὶ τῷ σώματί ἐσμεν κεχωρισμένοι,
ὅπερ καὶ εἶναι ἀληθὲς ὁ θάνατος δεικνύει,
ἀποχωρίζων ἕκαστον συγγενῶν τε καὶ φίλων,
καὶ λήθην πάντων ἐμποιῶν τῶν νῦν ἀγαπωμένων.
Οὕτω καὶ νὺξ καὶ ὕπνος τε καὶ πράξεις αἱ ἐν βίῳ
τὴν ἕνωσιν τὴν τῶν πολλῶν ὡς εἰκὸς διαλύει.
Ὁ δὲ ποιήσας οὐρανὸν δι' ἀρετῆς τὴν κέλλαν
τὴν ἑαυτοῦ, καὶ ἐν αὐτῇ καθήμενον τὸν κτίστην
τοῦ οὐρανοῦ τε καὶ τῆς γῆς κατανοεῖ καὶ βλέπει
καὶ προσκυνεῖ καὶ σύνεστιν ἀεὶ φωτὶ ἀδύτῳ,
φωτὶ τῷ ἀνεσπέρῳ τε, φωτὶ τῷ ἀπροσίτῳ,
οὗ οὐδαμῶς χωρίζεται, οὐ μακρύνεται ὅλως,
οὐκ ἐν ἡμέρᾳ, ἢ νυκτί, οὐκ ἐν τροφῇ ἢ πόσει,
ἀλλ' οὐδ' ἐν ὕπνῳ ἢ ὁδῷ ἢ μεταβάσει τόπου,
ἀλλ' ὥσπερ ζῶν οὕτω θανών, μᾶλλον δὲ τρανοτέρως
ὅλως ἐκείνῳ σύνεστι τῇ ψυχῇ αἰωνίως.
Πῶς γὰρ καὶ χωρισθήσεται ἡ νύμφη τοῦ νυμφίου,
ἢ ὁ ἀνὴρ τῆς γυναικός, ᾗ συνηρμόσθη ἅπαξ;
Ὁ νομοθέτης, λέγε μοι, τὸν νόμον οὐ φυλάξει;
Ὁ εἰρηκώς· «Καὶ ἔσονται οἱ δύο εἰς μίαν σάρκα»,
πῶς οὐ γενήσεται αὐτὸς σὺν αὐτῇ πνεῦμα ὅλως;
Ἐν τῷ ἀνδρὶ γὰρ ἡ γυνή, ἐν γυναικὶ ἀνὴρ δέ,

43. Α' Τιμ. 6,16. 49. Ἰω. 3,29.
50. Α' Κορ.7,10.

κι αὐτὸν ἂν δὲν τὸν ἔχει βρεῖ καὶ δὲν τὸν ἔχει νιώσει
κι ἐκεῖνον ποὺ σαρκώθηκε ἂν δὲν ἔχει ἀκέριο λάβει
τὸ Θεὸ Λόγο, μοναχὸς δὲν ἔγινε καθόλου.
Καὶ μόνο αὐτὸς ἀπ' τὸ Θεὸ γι' αὐτὸ εἶναι χωρισμένος,
μὰ κι ἂν καθένας ἀπὸ μᾶς εἴμαστε χωρισμένοι
ἀπ' τοὺς ἀνθρώπους σίγουρα τοὺς ἄλλους
κι ὅλοι μας θά 'μαστε ὀρφανοὶ μέσα στὴ μοναξιά μας
κι ἂς μᾶς φαντάζει ὡς ἕνωση αὐτὴ ἡ συνοίκησή μας
καὶ μεταξύ μας συντροφιὰ τὸ συναγμένο πλῆθος.
Εἴμαστε σῶμα καὶ ψυχὴ χώρια ὁ ἕνας ἀπ' τὸν ἄλλο
καὶ τὸ ἀποδείχνει ὁ θάνατος πὼς εἶναι ἀλήθεια τοῦτο
καθέναν ἀπὸ συγγενεῖς χωρίζοντας καὶ φίλους
καὶ ρίχνοντας στὴ λησμονιὰ ὅσους τώρα ἀγαποῦμε.
Ἔτσι κι ὁ ὕπνος κι ἡ νυχτιὰ κι οἱ πράξεις τῆς ζωῆς μας
διαλύουν ὡς εἶναι φανερὸ τὴν ἕνωση τοῦ πλήθους.
Μ' αὐτὸς ποὺ μὲ τὴν ἀρετὴν οὐρανὸ τὸ κελλί του
ἔκανε κι ἐκεῖ μένοντας στοχάζεται καὶ βλέπει
τὸ δημιουργὸ τῆς γῆς μαζὶ καὶ τ' οὐρανοῦ μπροστά του
τὸν προσκυνᾶ καὶ ζεῖ σὲ φῶς ποὺ δύση δὲν γνωρίζει,
φῶς ποὺ δὲν ξέρει βράδιασμα καὶ ἀπλησίαστο εἶναι,
ποὺ δὲ χωρίζεται ἀπ' αὐτὸ κι οὔτε καὶ ξεμακραίνει
μέρα καὶ νύχτα, οὔτε στιγμή, ὅταν τρώει ἢ κι ὅταν πίνει
στὸν ὕπνο οὔτε στὸ βάδισμα, στὸν πηγαιμό του κάπου,
ἀλλ' ὅπως εἶναι ζωντανὸς ὅμοια κι ὅταν πεθάνει
καὶ πιὸ καλά, μαζὶ μ' αὐτὸ θά 'ναι ἡ ψυχή του αἰώνια.
Πῶς τάχα ν' ἀποχωριστεῖ ἡ νύφη ἀπ' τὸ νυμφίο,
ὁ ἄντρας ἀπ' τὴ γυναίκα του ποὺ ἔχει ἑνωθεῖ μαζί της;
Δὲ θὰ φυλάξει, λέγε μου, τὸ νόμο ὁ νομοθέτης;
Κι αὐτὸς ὁποὺ εἶπε, «θὰ γινοῦν μιὰ μόνο σάρκα οἱ δυό τους»,
πῶς δὲ θὰ γίνει ὁλότελα κι αὐτὸς μ' ἐκείνη πνεῦμα;
Ὁ ἄντρας κι ἡ γυναίκα εἶναι ὁ ἕνας μέσα στὸν ἄλλο

52. Ματθ. 19,5 καὶ Γεν. 2,24.
53. Α΄ Κορ 6,17.

καὶ ἡ ψυχὴ ἐν τῷ Θεῷ καὶ Θεὸς ἐν ψυχῇ δὲ
ἑνοῦται καὶ γνωρίζεται ἐν τοῖς ἁγίοις πᾶσιν.
Οὕτως ἑνοῦνται τῷ Θεῷ οἱ διὰ μετανοίας
τὰς ἑαυτῶν καθαίροντες ψυχὰς ἐν κόσμῳ τῷδε,
καὶ μοναχοὶ καθίστανται τῶν ἄλλων ὄντες δίχα
οἳ νοῦν Χριστοῦ λαμβάνουσιν, ὅπερ καὶ στόμα ἔστι
καὶ γλῶσσα ὄντως ἀψευδής, μεθ' ἧς προσομιλοῦσι
Πατρὶ τῷ παντοκράτορι, μεθ' ἧς ἀεὶ βοῶσιν·
Ὦ πάτερ, ὦ παμβασιλεῦ, ὦ κτίστα τῶν ἁπάντων!
Τούτων ἡ κέλλα οὐρανός, ἥλιος δὲ ἐκεῖνοι,
καὶ τὸ φῶς ἐστιν ἐν αὐτοῖς, τὸ ἄδυτον καὶ θεῖον,
ὃ καὶ φωτίζει ἅπαντα ἐρχόμενον ἐν κόσμῳ
ἄνθρωπον καὶ γενόμενον ἐκ Πνεύματος ἁγίου.
Νὺξ οὖν οὐκ ἔστιν ἐν αὐτοῖς· πῶς εἰπεῖν σοι οὐκ ἔχω,
φρίττω γὰρ ταῦτα γράφων σοι καὶ ἐννοῶν δὲ τρέμω,
ἀλλὰ διδάσκω σε τὸ πῶς ζῶσι καὶ ποίῳ τρόπῳ
οἱ τῷ Θεῷ δουλεύοντες κἀκεῖνον ἀντὶ πάντων
μόνον ἐπιζητήσαντες, μόνον καὶ εὑρηκότες,
μόνον καὶ ἀγαπήσαντες, μόνῳ καὶ ἑνωθέντες
καὶ γεγονότες μοναχοὶ ὡς μετὰ μόνου μόνοι,
εἰ καὶ ἐν δήμῳ παμπληθεῖ εἰσιν ἀπειλημμένοι.
Οὗτοι γὰρ ὄντως μοναχοὶ καὶ μονάζοντες μόνοι,
οἱ μετὰ μόνου τοῦ Θεοῦ καὶ ἐν Θεῷ δὲ μόνοι,
γυμνοὶ καὶ ἐνθυμήσεων καὶ λογισμῶν παντοίων,
μόνον ὁρῶντες τὸν Θεὸν ἐν νοῒ ἀνεννοίῳ,
ἐμπεπηγμένῳ ἐν φωτί, ὥσπερ ἐν τοίχῳ βέλος,
ἢ ὡς ἀστὴρ ἐν οὐρανῷ, ἢ πῶς εἰπεῖν οὐκ ἔχω.
Ὅμως ὡς ἄλλον φωτεινὸν νυμφῶνα κατοικοῦσι
τὰς κέλλας καὶ ἐν οὐρανῷ νομίζουσι διάγειν

55. Ἰω. 14,20. 60. Α' Κορ. 2,16.
62. Ἀποκ. 4,8. 63. Ἐφ. 3,9.
66. Ἰω.1,9. 67. Ματθ. 1.20.
68. Ἀποκ. 22,5.

κι εἶναι ἡ ψυχὴ μὲς στὸ Θεὸ κι ὁ Θεὸς μέσα σ' ἐκείνη,
μὲ τοὺς ἁγίους ἑνώνεται καὶ μ' ὅλους τους γνωστή 'ναι.
Μὲ τὸ Θεὸ ἔτσι ἑνώνονται ὅσοι μὲ τὴ μετάνοια
ἀνακαθαίρουν τὶς ψυχὲς μέσα στὸν κόσμο ἐτοῦτο
καὶ μοναχοὶ ἔτσι γίνονται καὶ ζοῦν χώρια ἀπ' τοὺς ἄλλους.
Παίρνουν τὸ πνεῦμα τοῦ Χριστοῦ πού 'ναι καὶ στόμα τοῦτο
καὶ γλῶσσα γνήσια ἀληθινὴ ὁποὺ πρὸς τὸν Πατέρα
μιλοῦν τὸν Παντοκράτορα κι ὁποὺ μ' αὐτὴ φωνάζουν:
Πατέρα, παντοβασιλιὰ καὶ ποιητὴ τῶν ὅλων!
Τὸ κελλὶ τούτων οὐρανὸς καὶ ἥλιος εἶναι ἐκεῖνοι
καὶ εἶναι μέσα τους τὸ φῶς τὸ ἀνέσπερο καὶ θεῖο,
ὁποὺ φωτᾶ κάθε ἄνθρωπον ἐρχόμενον στὸν κόσμο
καὶ ξεκινώντας ἔρχεται σ' ἐμᾶς ἀπ' τ' ἅγιο Πνεῦμα.
Ἔτσι σὲ νύχτα αὐτοὶ δὲ ζοῦν· πῶς, νὰ σοῦ πῶ δὲν ξέρω,
μὲ φρίκη σοῦ τὰ γράφω αὐτὰ καὶ ποὺ τὰ ἀναλογιέμαι
τρέμω μὰ σὲ διδάσκω πῶς ζοῦνε καὶ μὲ ποιό τρόπο
ὅσοι εἶναι δοῦλοι τοῦ Θεοῦ κι αὐτὸν μέσα σὲ ὅλους
μονάχα ἀφοῦ ἀναζήτησαν καὶ μόνον ἀφοῦ βρῆκαν
καὶ μόνο ἀφοῦ ἀγαπήσανε κι ἑνώθηκαν μαζί του.
Κι ἀφοῦ γενῆκαν μοναχοὶ μόνοι μ' αὐτὸν μονάχα,
ἂν καὶ σὲ κόσμο ἀμέτρητο εἶναι μπλεγμένοι μέσα.
Αὐτοὶ εἶναι οἱ γνήσιοι μοναχοί, ποὺ ζοῦν στὴ μοναξιά τους,
ποὺ μόνοι εἶναι μὲ τὸ Θεὸ κι ὁ Θεὸς μ' ἐκείνους μόνος,
γυμνοὶ ἀπὸ κάθε στοχασμὸ καὶ φαντασία κάθε,
ποὺ βλέπουν μόνο τὸ Θεὸ μὲ νοῦ μὲ δίχως νόηση,
μὲ νοῦ μπηγμένο μὲς τὸ φῶς σὰν βέλος μὲς στὸν τοῖχο,
ἢ τ' ἄστρο ὅπως στὸν οὐρανὸ κι ἢ πῶς ἀλλιῶς δὲν ξέρω.
Ὅμως σὰν ἄλλο ὁλόφωτο νυμφώνα κατοικοῦνε
τὰ κελλιὰ καὶ στὸν οὐρανὸ θαρροῦν πὼς κατοικοῦνε

64. Ὅλα ὅσα λέγονται ὡς ἐδῶ εἶναι ἡ προετοιμασία ὅσων λέγονται ἀπὸ τὸ στίχο 64 ὡς τὸ στίχο 81 μὲ τις ἐξαίρετες εἰκόνες 'τούτων ἡ κέλλα οὐρανὸς' καὶ μὲ τὸν 'ἀένναο' νοῦ ποὺ εἶναι μπηγμένος στὸ νοῦ 'ὥσπερ ἐν τοίχῳ βέλος' καὶ τὴ βαθύτατη παρατήρηση γιὰ τὴν ἀπομόνωση ὅποιου ἀγαπᾶ μὲ τὸν ἀγαπημένο του ἔστω κι ἂν βρίσκονται μέσα σὲ πλήθη.

ἢ ἀληθῶς διάγουσι, βλέπε, μὴ ἀπιστήσῃς!
Οὐ γάρ εἰσιν ἐπὶ τῆς γῆς, εἰ καὶ τῇ γῇ κρατοῦνται,
ἀλλ' ἐν φωτὶ διάγουσι τοῦ μέλλοντος αἰῶνος,
ᾧ κατοικοῦσιν ἄγγελοι, ἐφ' ᾧ περιπατοῦσιν,
ὑφ' οὗπερ διαρπάζονται ἀρχαὶ καὶ ἐξουσίαι,
θρόνοι καὶ κυριότητες πᾶσαι ἐνδυναμοῦνται.
Εἰ γὰρ καὶ ἐπαναπαύεται Θεὸς ἐν τοῖς ἁγίοις,
ἀλλ' ἐν Θεῷ οἱ ἅγιοι ζῶσί τε καὶ κινοῦνται,
βαδίζοντες ἐν τῷ φωτὶ ὥσπερ ἐπὶ ἐδάφους.
Ὢ θαύματος, ὡς ἄγγελοι καὶ ὡς υἱοὶ ὑψίστου
ἔσονται μετὰ θάνατον, θεοὶ Θεῷ συνόντες,
τῷ φύσει ὄντι οἱ αὐτῷ θέσει ὁμοιωθέντες.
Τούτων νυνὶ δὲ λείπονται μόνῳ, ὅτι κρατοῦνται
τῷ σώματι καὶ σκέπονται καὶ καλύπτονται, οἴμοι,
ὡς δέσμιοι ἐν φυλακῇ τὸν ἥλιον ὁρῶντες
καὶ τὰς ἀκτῖνας τὰς αὐτοῦ δι' ὀπῆς εἰσιούσας
καὶ μὴ δυνάμενοι αὐτὸν ὅλον κατανοῆσαι
ἢ κατιδεῖν τῆς φυλακῆς ἔξωθεν γεγονότες,
ἢ παρακύψαντες τρανῶς ἀπιδεῖν εἰς ἀέρα.
Καὶ τοῦτο ἔστιν, ὃ αὐτοὺς ἀνιᾷ, ὅτι ὅλον
οὐ καθορῶσι τὸν Χριστόν, εἰ καὶ ὅλον ὁρῶσιν,
οὐδὲ δεσμῶν ἰσχύουσι τοῦ σώματος ἐκδῦναι,
εἰ καὶ παθῶν ἀνείθησαν καὶ πάσης προσπαθείας,
ἀλλὰ κρατοῦνται ὑφ' ἑνὸς τῶν πολλῶν ἀνεθέντες·
ὁ γὰρ ὑπάρχων ἐν δεσμοῖς πολλοῖς συνδεδεμένος
οὐδὲ ἐλπίζει τῶν πολλῶν τὴν λύσιν εὑρηκέναι,
ὁ δὲ τὰ πλεῖστα τῶν δεσμῶν δυνηθεὶς διακόψαι,
κρατούμενος δὲ ὑφ' ἑνὸς πλέον ἀλγεῖ τῶν ἄλλων
καὶ ἐπισπεύδει καὶ αὐτοῦ ἀεὶ ζητεῖ τὴν λύσιν,
ὅπως ἐλεύθερος φανῇ, ὅπως βαδίζῃ χαίρων,
ὅπως ἀπέλθῃ ἐν σπουδῇ, πρὸς ὃν τὸν πόθον εἶχε,
δι' ὃν καὶ τὴν ἀπόλυσιν τοῦ δεσμοῦ τούτου ἐπεζήτει.

---

91. Πραξ. 17,28. 93. Ματθ. 22,30 καὶ Λουκᾶ 6,35.

ἢ καὶ στ' ἀλήθεια κατοικοῦν κι ἐσὺ μὴν ἀμφιβάλεις.
Γιατὶ δὲ βρίσκονται στὴ γῆ, στὴ γῆ κι ἂς περπατοῦνε,
ἀλλὰ μὲς στοῦ μελλοντικοῦ τὸ φῶς τοῦ αἰώνα ζοῦνε,
οἱ ἄγγελοι ὅπου κατοικοῦν κι ὅπου περιπατοῦνε
καὶ ποὺ ἁρπάζει τὶς οὐράνιες ἀρχὲς καὶ ἐξουσίες
κι οἱ θρόνοι καὶ οἱ κυριότητες ἐνδυναμώνονται ὅλες.
Γιατὶ κι ἂν ξεκουράζεται ὁ Θεὸς στοὺς ἅγιούς του,
οἱ ἅγιοι ὡστόσο μὲς στὸ Θεὸ καὶ ζοῦνε καὶ κινοῦνται,
βαδίζοντας μέσα στὸ φῶς ὅπως στὸ χῶμα ἐπάνω.
Κι ὢ θαῦμα! ὅπως οἱ ἄγγελοι κι ὅπως ὁ γιὸς τοῦ Ὑψίστου
θὰ γίνουν μετὰ θάνατο θεοὶ μὲ τὸ Θεὸν ἀντάμα,
στὸν Θεὸν ἀπὸ τὴ φύση του ὅσοι ὅμοιοί του εἶναι θέσει.
Μὰ ὑστεροῦν τώρα ἀπ' αὐτοὺς σ' ὅ,τι κρατιοῦνται μόνο
ἀπὸ τὸ σῶμα, σκέπασμα ὠιμὲ ποὺ τοὺς τυλίγει.
Καθὼς δεσμῶτες βλέπουνε ἀπ' τὴ φυλακὴ τὸν ἥλιο
κι ἀπὸ μιὰ τρύπα οἱ ἀκτίνες του νὰ φτάνουν ὣς ἐκείνους,
χωρὶς νά 'χουν τὴ δύναμη γιὰ νὰ τὸν νιώσουν ὅλο
ἢ νὰ τὸν δοῦνε βγαίνοντας ἀπὸ τὴ φυλακή τους,
ἢ σκύβοντας, ξεκάθαρα ἔξω νὰ τὸν ἰδοῦνε
Κι αὐτὴ εἶναι ἡ πιὸ μεγάλη τους λύπη, γιατὶ ἀκέρια
δὲ συλλαβάνουν τὸ Χριστόν, ἐνῶ τὸν βλέπουν ὅλο,
οὔτε μποροῦν ἀπ' τὰ δεσμὰ τοῦ σώματος νὰ βγοῦνε,
ἂν κι ἀπ' τὰ πάθη λύθηκαν καὶ κάθε ἐξάρτησή τους,
ἀλλ' ἕνα ἀκόμα τοὺς κρατᾶ κι ἀπ' τὰ πολλὰ ἂς λυθῆκαν.
Γιατί, ὅποιος μὲ πολλὰ δεσμὰ εἶναι σφιχτὰ δεμένος,
οὔτε ποὺ ἐλπίζει πὼς θὰ βρεῖ ἀπ' αὐτὰ τὴ λευτεριά του·
ἀλλ' ὅποιος τὰ πολλὰ δεσμὰ κατόρθωσε νὰ σπάσει
κι ἕνα μονάχα τὸν κρατᾶ πονάει πιὸ ἀπὸ τοὺς ἄλλους
καὶ βιάζεται καὶ πάντοτε ζητᾶ κι αὐτὸ νὰ σπάσει,
γιὰ νὰ φανεῖ πιὰ ἀνώτερος, μὲ χαρὰ περπατώντας,
γιὰ νὰ βαδίσει βιαστικὰ σ' ὅποιον ποθεῖ ἡ καρδιά του
καὶ ποὺ γι' αὐτὸν τὴ λύτρωση ἀπὸ τὸ δεσμὸ ζητοῦσε.

---

95. Α' Ἰω. 3,2. 96. Β' Κορ. 5,6.

Ἐκεῖνον τοίνυν ἅπαντες ζητήσωμεν, τὸν μόνον
δυνάμενον ἐκ τῶν δεσμῶν ἡμᾶς ἐλευθερῶσαι!
Ἐκεῖνον καὶ ποθήσωμεν, Ἐκεῖνον οὗ τὸ κάλλος
πᾶσαν ἐκπλήττει ἔννοιαν, πᾶσαν ἐκπλήττει φρένα,
πᾶσαν τιτρώσκει τε ψυχὴν καὶ πτεροῖ πρὸς ἀγάπην
καὶ συγκολλᾷ καὶ συνενοῖ τῷ Θεῷ ἀεννάως!
Ναί, ἀδελφοί μου, δράμετε ταῖς πράξεσι πρὸς τοῦτον,
ναί, φίλοι, διανάστητε, ναί, μὴ ἀπολειφθῆτε,
ναί, μὴ λαλεῖτε καθ' ἡμῶν ἑαυτοὺς ἀπατῶντες!
Μὴ λέγετε, ἀδύνατον λαβεῖν τὸ Θεῖον Πνεῦμα,
μὴ λέγετε, χωρὶς αὐτοῦ δυνατὸν τὸ σωθῆναι,
μὴ οὖν ἀγνώστως τούτου λέγετέ τινα μετέχειν!
Μὴ λέγετε, ὅτι Θεὸς οὐχ ὁρᾶται ἀνθρώποις,
μὴ λέγετε, οἱ ἄνθρωποι φῶς θεῖον οὐχ ὁρῶσιν,
ἢ ὅτι καὶ ἀδύνατον ἐν τοῖς παροῦσι χρόνοις!
Οὐδέποτε ἀδύνατον τοῦτο τυγχάνει, φίλοι,
ἀλλὰ καὶ λίαν δυνατὸν τοῖς θέλουσιν ὑπάρχει,
πλὴν ὅσοις βίος κάθαρσιν τὴν τῶν παθῶν παρέσχε
καὶ καθαρὸν εἰργάσατο τῆς διανοίας ὄμμα·
τοῖς δ' ἄλλοις ὄντως τύφλωσις, ἁμαρτημάτων ρύπος,
ὃ καὶ ἐνταῦθα καὶ ἐκεῖ θείου φωτὸς στερήσει
καί, μὴ πλανᾶσθε, τῷ πυρὶ καὶ σκότει παραπέμψει.
Ἴδετε, φίλοι, ποταπὸς ὡραῖος ὁ Δεσπότης!
Ναί, μὴ καμμύσητε τὸν νοῦν πρὸς τὴν γῆν ἀφορῶντες,
ναί, μὴ φροντίσι τῶν ἐν γῇ πραγμάτων καὶ χρημάτων,
ἐπιθυμίᾳ δόξης τε κρατηθῆτε καὶ τοῦτον
ἐγκαταλείψετε, τὸ φῶς ζωῆς τῆς αἰωνίου!
Ναί, φίλοι, δεῦτε μετ' ἐμοῦ, συνεπάρθητε δή μοι,
οὐ σώματι, ἀλλὰ νοῒ καὶ ψυχῇ καὶ καρδίᾳ,
ἐν ταπεινώσει κράζοντες πρὸς τὸν καλὸν Δεσπότην,

---

121. Ψαλμ. 72,28. 126. Πράξ. 4,12.
128. Α' Τιμ. 6,16 καὶ Ἰω. 1,18.

Αὐτὸν λοιπὸν ὅλοι κι ἐμεῖς ἂς ψάξομε νὰ βροῦμε,
τὸ μόνο ποὺ ἀπὸ τὰ δεσμὰ μπορεῖ νὰ μᾶς λυτρώσει.
Κι ἐκεῖνον ἂς ποθήσομε, ἐκεῖνον ποὺ ἡ ὀμορφιά του
ξαφνιάζει κάθε σκέψη μας καὶ κάθε νοῦ ἐκπλήσσει,
λαβώνει κάθε μιὰ ψυχή, φτερὰ γιὰ τὴν ἀγάπη
τῆς δίνει καὶ μὲ τὸ Θεὸ τὴ δένει, τὴν ἑνώνει
γιὰ πάντα! Ἐμπρός, ἀδέλφια μου, μὲ τὰ ἔργα σας σ' Ἐκεῖνον
τρέξετε, φίλοι μου, ὀρθοί, ναί, μὴν καθυστερεῖτε,
ναί, μὴν τὰ βάζετε μ' ἐμᾶς τοὺς ἑαυτούς σας γελώντας.
Μὴ λέτε ὅτι εἶναι ἀδύνατο νὰ λάβομε ἅγιο Πνεῦμα,
μὴ λέτε πὼς χωρὶς αὐτὸ μποροῦμε νὰ σωθοῦμε,
μὴ λέτε ὅτι ἀσυναίσθητα σ' αὐτὸ μετέχει κάποιος.
Μὴν ἰσχυρίζεστε ὅτι ὁ Θεὸς κρύβεται ἀπ' τοὺς ἀνθρώπους,
μὴ λέτε πὼς οἱ ἄνθρωποι τὸ θεῖο φῶς δὲ βλέπουν,
ἢ κι ὅτι εἶναι ἀδύνατο στὰ χρόνια τὰ δικά μας.
Ποτὲ δὲν εἶναι, φίλοι μου, ἀδύνατο σᾶς λέγω,
ἀλλὰ παραεῖναι δυνατὸ γιὰ ὅλους αὐτοὺς ποὺ θέλουν,
πλὴν ὅσοι κάθαρση παθῶν πέτυχαν στὴ ζωή τους
κι ἔκαναν πεντακάθαρα τὰ μάτια τοῦ νοός τους.
Στοὺς ἄλλους ὄντας τύφλωση ὁ ρύπος τῶν λαθῶν τους,
ὅπου κι ἐδῶ κι ἐκεῖ τὸ φῶς τὸ θεῖο θὰ τοὺς στερήσει
καί, μὴ γελιέστε, στὴ φωτιὰ τοὺς σπρώχνει καὶ στὸ σκότος.
Κοιτάξτε, φίλοι, ὁ Κύριος πόσον ὡραῖος εἶναι.
Μὴ σκύψετε τὸ πνεῦμα σας κατὰ τὴ γῆ κοιτώντας,
ναί, ἀπὸ φροντίδες γήινων πραγμάτων καὶ χρημάτων
καὶ ἀπὸ δόξας πεθυμιὰ νὰ μὴν ἐμποδιστεῖτε
καὶ μὴν ἐγκαταλείψετε τὸ φῶς τῆς ζωῆς τῆς αἰώνιας.
Ναί, φίλοι μου, μαζί μου ἐμπρός, ὁρμήσετε μαζί μου,
μὲ νοῦ, ψυχὴ καὶ μὲ καρδιὰ καὶ βέβαια ὄχι μὲ σῶμα,
κράζοντας μὲ ταπείνωση πρὸς τὸν καλό μας Κύριο,
τὸ Θεό μας τὸ φιλεύσπλαχνο καὶ φιλάνθρωπο μόνο.

137. Ματθ. 8,12.
142. Ἰω. 8,12.

τὸν φιλοικτίρμονα Θεόν, τὸν φιλάνθρωπον μόνον!
Καὶ πάντως εἰσακούσεται καὶ πάντως ἐλεήσει
καὶ πάντως ἀποκαλυφθῇ καὶ πάντως ἐμφανίσει
καὶ φῶς ἡμῖν τὸ ἑαυτοῦ φαιδρὸν καθυποδείξει.
Τί κατοκνεῖτε ταπεινοί, τί καταρραθυμεῖτε,
τί προτιμᾶσθε ἄνεσιν τοῦ σώματος καὶ δόξαν,
τὴν ἄτιμον καὶ ἄδοξον, τὴν κενὴν καὶ ματαίαν;
Τί λέγετε ἀμέριμνον τὸν ἐνάρετον βίον;
Οὐκ ἔστιν οὕτως, ἀδελφοί, οὐκ ἔστι, μὴ πλανᾶσθε,
ἀλλ' ὡς οἱ βίον ἔχοντες καὶ γυναῖκα καὶ τέκνα
καὶ πλούτου ἐφιέμενοι καὶ δόξης τῆς προσκαίρου
σπουδάζουσι καὶ τρέχουσι τὸ δοκοῦν ἐκπληρῶσαι,
οὕτω καὶ πᾶς μετανοῶν καὶ πᾶς Θεῷ δουλεύων
ὀφείλει σπεύδειν καὶ ἀεὶ ἐμμέριμνος ὑπάρχειν,
ὅπως εὐπρόσδεκτος αὐτοῦ ἡ μετάνοια ἔσται
καὶ ἡ δουλεία γένηται εὐάρεστος τελεία,
καὶ τότε ὅλως τῷ Θεῷ οἰκειωθεὶς ἐκ τούτων
ὅλος ἑνοῦται καὶ αὐτὸν κατὰ πρόσωπον βλέπει
καὶ παρρησίαν πρὸς αὐτὸν ἀναλόγως λαμβάνει,
καθ' ὅσον σπεύδει τὸ αὐτοῦ θέλημα ἐκπληρῶσαι,
ὅπερ ἀξιωθείημεν καὶ ἡμεῖς τοῦ ποιῆσαι
καὶ τοῦ ἐλέους μετασχεῖν μετὰ πάντων ἁγίων,
νῦν μὲν καθ' ὅσον ἐφικτὸν ἐν τῷ αἰῶνι τούτῳ,
ἐκεῖ δὲ ὅλον τὸν Χριστόν, ὅλον τὸ θεῖον Πνεῦμα,
ἐν τῷ Πατρὶ ληψόμεθα εἰς αἰῶνας αἰώνων.
Ἀμήν.

---

161. Ρωμ. 14,18.
162. Ἐφ. 2,19.
163. Α' Κορ. 13,12.

Καὶ θὰ εἰσακούσει σίγουρα καὶ σίγουρα θὰ ἐλεήσει,
σίγουρα θ' ἀποκαλυφθεῖ καὶ σίγουρα θὰ δείξει
καὶ τὸ χαρούμενό του φῶς θὲ νὰ μᾶς φανερώσει.
Τί ἀδιαφορεῖτε ταπεινοί, καθόλου δὲ σᾶς νοιάζει·
πῶς ἄνεση σωματικὴ καὶ δόξα προτιμᾶτε,
δόξα ἄτιμη, δόξα ἄδοξη καὶ μάταιη καὶ κούφια;
Πῶς λέτε δίχως μέριμνα τῆς ἀρετῆς τὸ βίο;
Ἔτσι δὲν εἶναι, ἀδέρφια μου, δὲν εἶναι, μὴ γελιέστε.
Μὰ ὅπως ὅσοι κτήματα, παιδιά, γυναίκα ἔχουν,
καὶ νὰ πλουτήσουν πεθυμοῦν, πρόσκαιρη δόξα νά 'χουν,
καὶ βιάζονται καὶ τρέχουνε νὰ φτάσουν στὸ σκοπό τους·
ἔτσι κι ὅποιος μετανοεῖ κι ὅποιος στὸ Θεὸ δουλεύει
πρέπει νὰ τρέχει πάντοτε καὶ ὅλος μέριμνες νά 'ναι
κι ἔτσι θὰ γίνει εὐπρόσδεκτη ἡ μεταμέλειά του
κι εὐάρεστη ἡ δουλεία του θὰ γίνει ἔτσι καὶ τέλεια
κι ὁλότελα μὲ τὸ Θεὸ ἔτσι οἰκεῖος ἀφοῦ γίνει,
μαζί του ὅλος ἑνώνεται καὶ τὸν κοιτάει στὰ μάτια
καὶ θάρρος ποὺ τοῦ ἀναλογεῖ παίρνει τότε μπροστά του,
σκοπός του ἀφοῦ τὸ θέλημα τοῦ Θεοῦ εἶναι νὰ ἐκπληρώσει
ποὺ εἴθε νὰ γίνομε κι ἐμεῖς ἄξιοι νὰ τὸ ἐκτελοῦμε
καὶ τὸ ἔλεός του μ' ὅλους τοὺς ἁγίους νὰ μοιραστοῦμε,
τώρα ὅσο αὐτὸ εἶναι δυνατὸ μέσα στὸν κόσμο τοῦτο
κι ἐκεῖ ἀκέριο τὸ Χριστὸ κι ὅλο τὸ θεῖο Πνεῦμα
μὲ τὸν Πατέρα ἂς λάβομε στὸν αἰώνα τοῦ αἰώνα.
'Αμήν.

---

159. Ὁ μοναχὸς δὲν εἶναι ὁ ἀμέριμνος κατ' ἀντίθεση πρὸς ὅποιους μεριμνοῦν γιὰ τὶς ἐπιχειρήσεις καὶ τὴν οἰκογένειά τους. Εἶναι κι αὐτὸς 'ἐμμέριμνος πάντοτε γιὰ νὰ εὐαρεστήσει στὸ Θεό·

ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸ στίχο, τὸ ποίημα, ποὺ σημειώνεται μὲ μαῦρο ἀριθμό, καὶ τὸν στίχο τοῦ ποιήματος, γιὰ τὰ ὀνόματα καὶ πράγματα στὸ ποίημα, ποὺ σημειώνεται καὶ αὐτὸ μὲ μαῦρο ἀριθμό, καὶ στὸ στίχο, ἐνῶ ἡ παραπομπὴ τῶν χωρίων στὸν Πρόλογο (Εἰσαγωγὴ) καὶ Προσευχὴ γίνεται μόνο στὴ σελίδα ποὺ βρίσκονται.

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

Γένεσις

1	11–12	**17** 133 ἑ.
	26	**23** 67
2	7	**22** 96
	8–9	**19** 111
	19–20	**21** 253
	24	**27** 52
3	8	**17** 490· **21** 45
3	13	**22** 74
	14	**Πρόλ.** 16
	23–24	**17** 451 ἑ.
11	5	**21** 47
15	6	**21** 132
17	22	**21** 47
18	3	**21** 45
22	17	**21** 132· **24** 65
4	8	**18** 139
5	6–7	**18** 161 ἑ.
13	21	**25** 13
14	5–6	**18** 180 ἑ.
	6	**18** 194
	20	**18** 188
	21	**19** 116
15	4	**19** 118
	25	**19** 119
16	15	**19** 112
	33	**20** 204
24	17	**24** 20
33	11	**17** 69 ἑ.
	18	**24** 6
	20	**19** 25 ἑ· **24** 6
	22	**25** 87
	23	**19** 25 ἑ.

Ἔξοδος

3	2	**18** 144·
	2–3	**18** 133
	14	**21** 256

Ἀριθμοὶ

16	33	**24** 89
17	23	**19** 126
24	17	**22** 5, 14, 28

Δευτερονόμιον

25	14	**24** 303
	15	**24** 312
32	13	**19** 120

Βασιλειῶν Β´

7	18	**15** 22
22	30	**24** 243

Βασιλειῶν Γ´

18	38	**25** 110

Βασιλειῶν Δ´

5	10	**24** 367

Ἐσθὴρ

4	17	**14** 66

Τωβὶτ

5	10	**26** 2
10	5	**4** 90

Μακκαβαίων Β´

1	24	**21** 356
12	25	**21** 74

Ψαλμοὶ

1	3	**17** 126
4	7	**9** 5
6	9	**20** 69
9	32	**21** 46
10	1	**21** 421
17	6	**18** 112
	12	**19** 107· **21** 262
17	30	**17** 708· **19** 107
18	15	**Πρόλ.** 24
24	7	**25** 129
25	7	**18** 177
29	4	**30** 299
35	9	**11** 48
39	15	**18** 208
44	2	**24** 29
	4	**15** 79
47	11	**Πρόλ.** 24
	13	**24** 44
48	4	**Πρόλ.** 24
50	19	**17** 627
54	7	**21** 421 ἑ., 423
56	2	**25** 20
57	5	**21** 436
61	10	**4** 69
67	3	**11** 68
	7	**11** 90
68	33	**5** 23
72	28	**27** 121
77	7	**16** 107
	13	**19** 116
	53	**19** 118
79	6	**17** 108
